
ARRIANO
ANÁBASIS DE ALEJANDRO

LIBROS IV-VIII (INDIA)

Texto bilingüe griego-español



ARRIANO

ANÁBASIS DE ALEJANDRO MAGNO

LIBROS IV - VIII (India)

TRADUCCIÓN Y NOTAS DE

ANTONIO GUZMÁN GUERRA



EDITORIAL GREDOS

Asesor para la sección griega: CARLOS GARCÍA GUAL.
Según las normas de la B. C. G., la traducción de este volumen ha sido revisada por AURELIO PÉREZ JIMÉNEZ.

www.rbalibros.com

PRIMERA EDICIÓN, 1982.
1ª. REIMPRESIÓN.
2ª. REIMPRESIÓN.
Depósito legal: M.-18.539-2008.
ISBN 978-84-249-0306-4.

LIBRO IV

SINOPSIS

CAPÍTLOS:

1-2. Alejandro en la frontera entre Sogdiana y Escitia.
3. Captura de Cirópolis.
4-6. Luchas con los escitas. Serio revés macedonio.
7. Castigo de Beso.
8. Alejandro mata a Clito.
9. Pesar de Alejandro por la muerte de su amigo Clito.
10. Calístenes.
11-12. Discurso de Calístenes contra la *proskýnesis.*
13. La conjura de los Pajes.
14. Muerte de Calístenes.
15. Legación de los escitas y corasmios.
16. Alejandro en Sogdiana.
17. Muerte de Espitamenes.
18. La Roca Sogdiana.
19-20. Roxana.
21. Alejandro toma la Roca Coriena.
22. Alejandro en Bactria. Camino de la India.
23. Campañas contra los aspasios, gureos y asacenios.
24-25. Aristía de Tolomeo, hijo de Lago.
26-27. Alejandro en Masaga.
28. En ruta hacia Aornos.
29-30. Asalto a la Roca de Aornos.

1. Οὐ πολλαῖς δὲ ἡμέραις ὕστερον ἀφικνοῦνται παρ᾽ Ἀλέξανδρον πρέσβεις παρά τε Σκυθῶν τῶν Ἀβίων καλουμένων (οὓς καὶ Ὅμηρος δικαιοτάτους ἀνθρώπους εἰπὼν ἐν τῇ ποιήσει ἐπήνεσεν· οἰκοῦσι δὲ ἐν τῇ Ἀσίᾳ οὗτοι αὐτόνομοι, οὐχ ἥκιστα διὰ πενίαν τε καὶ δικαιότητα) καὶ παρὰ τῶν ἐκ τῆς Εὐρώπης Σκυθῶν, οἳ δὴ τὸ μέγιστον ἔθνος [Σκυθικὸν] ἐν τῇ Εὐρώπῃ ἐποικοῦσιν. [2] καὶ τούτοις ξυμπέμπει Ἀλέξανδρος τῶν ἑταίρων, πρόφασιν μὲν κατὰ πρεσβείαν φιλίαν ξυνθησομένους, ὁ δὲ νοῦς τῆς πομπῆς ἐς κατασκοπήν τι μᾶλλον ἔφερε φύσεώς τε τῆς χώρας τῆς Σκυθικῆς καὶ πλήθους αὐτῶν καὶ νομαίων καὶ ὁπλίσεως, ἥντινα ἔχοντες στέλλονται ἐς τὰς μάχας. [3] Αὐτὸς δὲ πρὸς τῷ Τανάϊδι ποταμῷ ἐπενόει πόλιν οἰκίσαι, καὶ ταύτην ἑαυτοῦ ἐπώνυμον. ὅ τε γὰρ χῶρος ἐπιτήδειος αὐτῷ ἐφαίνετο αὐξῆσαι ἐπὶ μέγα τὴν πόλιν καὶ ἐν καλῷ οἰκισθήσεσθαι τῆς ἐπὶ Σκύθας, εἴποτε ξυμβαίνοι, ἐλάσεως καὶ τῆς προφυλακῆς τῆς χώρας πρὸς τὰς καταδρομὰς τῶν πέραν τοῦ ποταμοῦ ἐποικούντων βαρβάρων. [4] ἐδόκει δ᾽ ἂν καὶ μεγάλη γενέσθαι ἡ πόλις πλήθει τε τῶν ἐς αὐτὴν ξυνοικιζομένων καὶ τοῦ ὀνόματος τῇ λαμπρότητι. καὶ ἐν τούτῳ οἱ πρόσχωροι τῷ ποταμῷ βάρβαροι τούς τε τὰ φρούρια ἐν ταῖς πόλεσι σφῶν ἔχοντας στρατιώτας τῶν Μακεδόνων ξυλλαβόντες ἀπέκτειναν καὶ τὰς πόλεις ἐς ἀσφάλειάν τινα μᾶλλον ὠχύρουν. [5] ξυνεπελάβοντο δὲ αὐτοῖς τῆς ἀποστάσεως καὶ τῶν Σογδιανῶν οἱ πολλοί, ἐπαρθέντες πρὸς τῶν ξυλλαβόντων Βῆσσον, ὥστε καὶ τῶν Βακτριανῶν ἔστιν οὕς σφισιν οὗτοι ξυναπέστησαν, εἴτε δὴ καὶ δείσαντες Ἀλέξανδρον, εἴτε καὶ λόγον ἐπὶ τῇ ἀποστάσει διδόντες, ὅτι ἐς ἕνα ξύλλογον ἐπηγγέλκει Ἀλέξανδρος ξυνελθεῖν τοὺς ὑπάρχους τῆς χώρας ἐκείνης εἰς Ζαρίασπα, τὴν μεγίστην πόλιν, ὡς ἐπ᾽ ἀγαθῷ οὐδενὶ τοῦ ξυλλόγου γιγνομένου.

2. Ταῦτα ὡς ἀπηγγέλθη Ἀλεξάνδρῳ, παραγγείλας τοῖς πεζοῖς κατὰ λόχους κλίμακας ποιεῖσθαι ὅσα<ι> ἑκάστῳ λόχῳ ἐπηγγέλθησαν, αὐτὸς μὲν ἐπὶ τὴν πρώτην ἀπὸ τοῦ στρατοπέδου ὁρμηθεὶς πόλιν προὐχώρει, ᾗ ὄνομα ἦν Γάζα· ἐς γὰρ ἑπτὰ πόλεις ξυμπεφευγέναι ἐλέγοντο οἱ ἐκ τῆς χώρας βάρβαροι· [2] Κρατερὸν δὲ ἐκπέμπει πρὸς τὴν καλουμένην Κυρούπολιν, ἥπερ μεγίστη πασῶν καὶ ἐς αὐτὴν οἱ πλεῖστοι ξυνειλεγμένοι ἦσαν τῶν βαρβάρων. παρήγγελτο δὲ αὐτῷ

Alejandro en la frontera entre Sogdiana y Escitia

1 Al cabo de unos días [1] se presentaron ante Alejandro unos embajadores escitas, los llamados abios (de quienes Homero hizo público elogio en sus versos [2], llamándolos «los más justos de los hombres»). Viven éstos como pueblo independiente en el Asia, gracias a su respeto a la justicia, así como por ser extremadamente pobres. Comparecieron también unos embajadores de los escitas europeos, que son el pueblo más populoso de cuantos en Europa habitan. [2] Alejandro dispuso que algunos Compañeros les acompañaran a su regreso, so pretexto de pactar un acuerdo amistoso, aunque la verdadera intención de esta expedición era espiar la naturaleza de la región escita, el número de sus habitantes, sus costumbres y las armas que emplean cuando van a la guerra [3].
[3] Pensaba Alejandro fundar una ciudad a orillas del Tanais [4] y darle su mismo nombre, pues el lugar le parecía muy propicio para que la ciudad prosperase, muy idóneo su asentamiento ante un eventual ataque contra los escitas, y un buen bastión defensivo de la región contra las correrías de los bárbaros que habitaban el otro lado del río. [4] Además, pensaba que la ciudad se haría importante por el número de colonos y el esplendor de su nombre. Mas, he aquí que los bárbaros de la orilla del río cogieron y dieron muerte a los soldados macedonios de la guarnición de algunas de sus ciudades, a las que acto seguido fortificaron con mayor celo a fin de procurarles una mayor seguridad. [5] En este levantamiento habían participado también muchos sogdianos, animados por el grupo que había detenido a Beso, hasta el punto de que incluso indujeron a hacer defección a algunos bactrianos, apro vechando no sólo el temor que éstos sentían ante Alejandro, sino que daban esta otra razón para ello, a saber, que Alejandro había convocado a los hiparcos de esta región a una asamblea en Zariaspa, la capital, reunión que, a buen seguro, no habría de reportarles nada bueno.

2 Al tener Alejandro conocimiento de todo esto, ordenó a su infantería que, compañía por compañía, construyera un número determinado de escaleras de asalto; mientras tanto, él continuó su avance hasta Gaza, que es la primera ciudad con que uno topa al salir del campamento. Según se decía, los bárbaros de la comarca se habían refugiado en siete ciudades vecinas; [2] dispuso por ello Alejandro que Crátero marchara a la más importante de ellas, llamada Ciròpolis [5], que era donde se había congregado el mayor número de bárbaros, con orden de acampar cerca de la ciudad y levantar en su perímetro una trinchera, rodearla con una

στρατοπεδεῦσαι πλησίον τῆς πόλεως καὶ τάφρον τε ἐν κύκλῳ αὐτῆς ὀρύξαι καὶ χάρακα περιβαλέσθαι καὶ τὰς μηχανὰς ὅσαις χρῆσθαι ξυμπηγνύναι, ὡς πρὸς τοὺς ἀμφὶ Κρατερὸν τὴν γνώμην τετραμμένοι οἱ ἐκ τῆς πόλεως ταύτης ἀδύνατοι ὦσι ταῖς ἄλλαις πόλεσιν ἐπωφελεῖν. [3] αὐτὸς δὲ ἐπὶ τὴν Γάζαν ἐπεὶ ἀφίκετο, ὡς εἶχεν ἐξ ἐφόδου σημαίνει προσβάλλειν τῷ τείχει γηΐνῳ τε καὶ οὐχ ὑψηλῷ ὄντι, προσθέντας ἐν κύκλῳ πάντοθεν τὰς κλίμακας· οἱ δὲ σφενδονῆται αὐτῷ καὶ οἱ τοξόται τε καὶ ἀκοντισταὶ ὁμοῦ τῇ ἐφόδῳ τῶν πεζῶν ἐσηκόντιζον ἐς τοὺς προμαχομένους ἀπὸ τοῦ τείχους καὶ βέλη ἀπὸ μηχανῶν ἠφίετο, ὥστε ὀξέως μὲν ὑπὸ τοῦ πλήθους τῶν βελῶν ἐγυμνώθη τὸ τεῖχος τῶν προμαχομένων, ταχεῖα δὲ ἡ πρόσθεσις τῶν κλιμάκων καὶ ἡ ἀνάβασις τῶν Μακεδόνων ἡ ἐπὶ τὸ τεῖχος ἐγίγνετο. [4] τοὺς μὲν δὴ ἄνδρας πάντας ἀπέκτειναν, οὕτως ἐξ Ἀλεξάνδρου προστεταγμένον, γυναῖκας δὲ καὶ παῖδας καὶ τὴν ἄλλην λείαν διήρπασαν. ἔνθεν δὲ εὐθὺς ἦγεν ἐπὶ τὴν δευτέραν ἀπ᾽ ἐκείνης πόλιν ᾠκισμένην, καὶ ταύτην τῷ αὐτῷ τε τρόπῳ καὶ τῇ αὐτῇ ἡμέρᾳ λαμβάνει καὶ τοὺς ἁλόντας τὰ αὐτὰ ἔπραξεν. ὁ δὲ ἦγεν ἐπὶ τὴν τρίτην πόλιν, καὶ ταύτην τῇ ὑστεραίᾳ ἐπὶ τῇ πρώτῃ προσβολῇ εἷλεν. [5] Ἐν ᾧ δὲ αὐτὸς ξὺν τοῖς πεζοῖς ἀμφὶ ταῦτα εἶχε, τοὺς ἱππέας ἐκπέμπει ἐς τὰς δύο τὰς πλησίον πόλεις προστάξας παραφυλάττειν τοὺς ἀνθρώπους τοὺς ἔνδον, μήποτε τὴν ἅλωσιν αἰσθόμενοι τῶν πλησίον πόλεων καὶ ἅμα τὴν αὑτοῦ οὐ διὰ μακροῦ ἔφοδον οἱ δὲ ἐς φυγὴν τραπέντες ἄποροι αὐτῷ διώκειν γένωνται. καὶ ξυνέβη τε οὕτως ὅπως εἴκασε, καὶ ἐν δέοντι ἐγένετο αὐτῷ ἡ πομπὴ τῶν ἱππέων. [6] οἱ γὰρ τὰς δύο τὰς οὔπω ἑαλωκυίας πόλεις ἔχοντες τῶν βαρβάρων, ὡς καπνόν τε εἶδον ἀπὸ τῆς πρὸ[ς] σφῶν πόλεως ἐμπιπραμένης καί τινες καὶ ἀπὸ τοῦ πάθους αὐτοῦ διαφυγόντες αὐτάγγελοι τῆς ἁλώσεως ἐγένοντο, ὡς τάχους ἕκαστοι εἶχον ἀθρόοι ἐκ τῶν πόλεως φεύγοντες ἐμπίπτουσιν ἐς τὸ στῖφος τῶν ἱππέων ξυντεταγμένον καὶ κατεκόπησαν οἱ πλεῖστοι αὐτῶν.

3. Οὕτω δὴ τὰς πέντε πόλεις ἐν δυσὶν ἡμέραις ἑλών τε καὶ ἐξανδραποδισάμενος ᾔει ἐπὶ τὴν μεγίστην αὐτῶν τὴν Κύρου πόλιν. ἡ δὲ τετειχισμένη τε ἦν ὑψηλοτέρῳ τείχει ἤπερ αἱ ἄλλαι, οἷα δὴ ὑπὸ Κύρου οἰκισθεῖσα, καὶ τοῦ πλείστου καὶ μαχιμωτάτου τῶν ταύτῃ βαρβάρων ἐς ταύτην συμπεφευγότος οὐχ ὡσαύτως ῥᾳδία ἐξ ἐφόδου

empalizada y montar todos los ingenios de guerra que fueran precisos, a fin de que los defensores de la ciudad estuvieran por completo pendientes de las maniobras de Crátero y se vieran imposibilitados de acudir en auxilio de las demás ciudades.

[3] Alejandro, una vez en Gaza, y según venía en su camino dio una señal a sus hombres para atacar el muro (hecho de tierra y de no mucha altura) apoyando sobre él las escaleras de asalto por todo su perímetro. Simultáneamente al ataque de la infantería, los honderos, arqueros y lanzadores de dardos disparaban sus proyectiles contra los primeros defensores del muro, mientras las catapultas hacían lo propio, de modo que el muro quedó despejado de defensores en un momento a causa de la copiosa lluvia de proyectiles, con lo que la aproximación de los macedonios al muro y la fijación de las escaleras de asalto resultó tarea sumamente fácil. [4] Siguiendo las órdenes de Alejandro, dieron muerte a todos los hombres, raptaron a las mujeres y niños y se llevaron todo el botín. A continuación marchó Alejandro a la segunda ciudad en importancia por el número de habitantes; de igual modo se apoderó de ella en ese mismo día, otorgando a sus ciudadanos idéntico tratamiento. Partió luego después a la tercera ciudad, capturándola al día siguiente al primer ataque. [5] Mientras él llevaba a cabo estas acciones con su infantería, despachó a los jinetes a otras dos ciudades vecinas, con el encargo de que vigilaran a sus habitantes a fin de evitar que éstos, informados de la captura de las otras ciudades cercanas y de la proximidad del avance de Alejandro, se dieran a la fuga y resultara difícil su persecución. Los hechos ocurrieron tal como él había supuesto, de modo que el envío de la caballería se produjo en el momento más oportuno. [6] Efectivamente, los bárbaros que ocupaban estas dos ciudades aún no tomadas, al ver el humo que ascendía del incendio de las otras ciudades de su comarca, y ver cómo se iban congregando ante sus puertas algunos que habían conseguido huir de la destrucción de sus propias ciudades, llevando noticias de su captura, intentaron por su parte y a toda prisa abandonar también ellos mismos sus casas, pero fueron a caer en manos de la caballería macedonia que marchaba en perfecta formación, muriendo buen número de estos fugitivos.

Captura de Cirópolis

3 Tomó así Alejandro las cinco ciudades en dos días e hizo esclavos a sus moradores; a continuación se dirigió a la ciudad más importante de la región, Cirópolis. Era ésta una ciudad que contaba con una fortificación más elevada que las demás por haber sido fundada por el propio rey Ciro. La mayor parte, y precisamente los más belicosos de los bárbaros de la región se habían refugiado en ella, por lo que su captura se le presentaba a los macedonios muy difícil en un ataque abierto. Por ello, Alejandro pensó acercar los ingenios de guerra para derribar el muro y

ἑλεῖν τοῖς Μακεδόσιν ἐγίγνετο. ἀλλὰ μηχανὰς γὰρ προσάγων τῷ τείχει Ἀλέξανδρος ταύτῃ μὲν κατασείειν ἐπενόει τὸ τεῖχος καὶ κατὰ τὸ ἀεὶ παραρρηγνύμενον αὐτοῦ τὰς προσβολὰς ποιεῖσθαι. [2] αὐτὸς δὲ ὡς κατεῖδε τοὺς ἔκρους τοῦ ποταμοῦ, ὃς διὰ τῆς πόλεως χειμάρρους ὢν διέρχεται, ξηροὺς ἐν τῷ τότε ὕδατος καὶ οὐ ξυνεχεῖς τοῖς τείχεσιν, ἀλλ' οἵους παρασχεῖν πάροδον τοῖς στρατιώταις διαδῦναι ἐς τὴν πόλιν, ἀναλαβὼν τούς τε σωματοφύλακας καὶ τοὺς ὑπασπιστὰς καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας τετραμμένων τῶν βαρβάρων πρὸς τὰς μηχανὰς καὶ τοὺς ταύτῃ προσμαχομένους λανθάνει κατὰ τοὺς ἔκρους ξὺν ὀλίγοις τὸ πρῶτον παρελθὼν ἐς τὴν πόλιν· [3] ἀναρρήξας δὲ ἔνδοθεν τῶν πυλῶν, αἳ κατὰ τοῦτο τὸ χωρίον ἦσαν, δέχεται καὶ τοὺς ἄλλους στρατιώτας εὐπετῶς. ἔνθα δὴ οἱ βάρβαροι ἐχομένην ἤδη τὴν πόλιν αἰσθόμενοι ἐπὶ τοὺς ἀμφὶ Ἀλέξανδρον ὅμως ἐτράπησαν· καὶ γίνεται προσβολὴ αὐτῶν καρτερά, καὶ βάλλεται λίθῳ αὐτὸς Ἀλέξανδρος βιαίως τήν τε κεφαλήν καὶ τὸν αὐχένα καὶ Κρατερὸς τοξεύματι καὶ πολλοὶ ἄλλοι τῶν ἡγεμόνων· ἀλλὰ καὶ ὣς ἐξέωσαν ἐκ τῆς ἀγορᾶς τοὺς βαρβάρους. [4] καὶ ἐν τούτῳ οἱ κατὰ τὸ τεῖχος προσβεβληκότες ἔρημον ἤδη τὸ τεῖχος τῶν προμαχομένων αἱροῦσιν. ἐν μὲν δὴ τῇ πρώτῃ καταλήψει τῆς πόλεως ἀπέθανον τῶν πολεμίων μάλιστα ἐς ὀκτακισχιλίους· οἱ δὲ λοιποί (ἦσαν γὰρ οἱ πάντες ἐς μυρίους καὶ πεντακισχιλίους μαχίμους οἱ ξυνεληλυθότες) καταφεύγουσιν ἐς τὴν ἄκραν. καὶ τούτους περιστρατοπεδεύσας Ἀλέξανδρος ἡμέραν μίαν ἐφρούρησεν· οἱ δὲ ἐνδείᾳ ὕδατος ἐνεχείρισαν σφᾶς Ἀλεξάνδρῳ. [5] Τὴν δὲ ἑβδόμην πόλιν ἐξ ἐφόδου ἔλαβε, Πτολεμαῖος μὲν λέγει, ὅτι αὐτοὺς σφᾶς ἐνδόντας, Ἀριστόβουλος δέ, ὅτι βίᾳ καὶ ταύτην ἐξεῖλεν καὶ ὅτι πάντας τοὺς καταληφθέντας ἐν αὐτῇ ἀπέκτεινε. Πτολεμαῖος δὲ κατανεῖμαι λέγει αὐτὸν τοὺς ἀνθρώπους τῇ στρατιᾷ καὶ δεδεμένους κελεῦσαι φυλάσσεσθαι ἔστ' ἂν ἐκ τῆς χώρας ἀπαλλάττηται αὐτός, ὡς μηδένα ἀπολείπεσθαι τῶν τὴν ἀπόστασιν πραξάντων. [6] Ἐν τούτῳ δὲ τῶν τε ἐκ τῆς Ἀσίας Σκυθῶν στρατιὰ ἀφικνεῖται πρὸς τὰς ὄχθας τοῦ ποταμοῦ τοῦ Τανάϊδος, ἀκούσαντες οἱ πολλοὶ αὐτῶν, ὅτι ἔστιν οἳ καὶ τῶν ἐπέκεινα τοῦ ποταμοῦ βαρβάρων ἀπ' Ἀλεξάνδρου ἀφεστᾶσιν, ὡς, εἰ δή τι λόγου ὂν ἄξιον νεωτερίζοιτο, καὶ αὐτοὶ ἐπιθησόμενοι τοῖς Μακεδόσι. καὶ οἱ ἀμφὶ Σπιταμένην δὲ ἀπηγγέλθησαν ὅτι τοὺς ἐν

lanzar incursiones por aquellas partes del mismo en que progresivamente se fueran abriendo brechas.
[2] Advirtió, sin embargo, Alejandro que los canales del río que atraviesa la ciudad sólo en épocas de crecida invernal estaban a la sazón secos, por lo que existía un hueco entre su lecho y los muros por donde podrían pasar los soldados al interior de la ciudad. Reunió, pues, a los de su guardia personal, a los hipaspistas, arqueros y agrianes, y aprovechando que los bárbaros estaban atentos a los ingenios de guerra y a las tropas que junto a ellos combatían, consiguió pasar desapercibido e introducirse por los canales acompañado primero de unos pocos hombres, para dar posterior acogida al resto de sus tropas, [3] tras serles franqueada desde dentro por el propio Alejandro las puertas de esta parte de la ciudad.
Cuando los bárbaros vieron que su ciudad estaba tomada por los enemigos se volvieron contra los de Alejandro, produciéndose allí un violento combate en el que él mismo resultó herido por una piedra en la cabeza y en la pierna; también fue herido Crátero, al igual que otros muchos jefes, por los disparos de los arqueros, pero, aun así, desalojaron a los bárbaros de la plaza de la ciudad. [4] Al mismo tiempo, los que asaltaban el muro consiguieron apoderarse de él sin mayores dificultades, despejado como había quedado de defensores. En la toma de la ciudad perecieron unos ocho mil bárbaros, mientras que el resto (los combatientes allí reunidos llegaban hasta un total de quince mil hombres) se refugió en la acrópolis. Alejandro los cercó allí y mantuvo el cerco durante todo un día, al cabo del cual los refugiados se entregaron al carecer por completo de agua.
[5] También al primer asalto tomó la séptima ciudad de esta región; Tolomeo dice que sus habitantes se entregaron a Alejandro; Aristobulo, por contra, afirma que Alejandro la capturó por la fuerza, dando muerte a todos los que en ella encontró. Narra Tolomeo que Alejandro distribuyó a sus moradores entre los diversos cuerpos de su ejército, ordenando que permanecieran atados y vigilados mientras él siguiera en la región, de suerte que ninguno de los instigadores de la la sedición quedase en libertad.
[6] En esto se presentó en las orillas del Tanais un ejército de escitas del Asia, al haber tenido noticias muchos de ellos de que algunos bárbaros de este lado del río se habían sublevado contra Alejandro, en vista de lo cual pensaban unirse en el ataque contra las fuerzas macedonias, si la revuelta contra Alejandro tomaba mayor consistencia [6]. Le llegaron también noticias de Espitamenes, que decía tener asediados en la acrópolis a las tropas que Alejandro había dejado en Maracanda. [7] Dispuso al punto que

Μαρακάνδοις καταλειφθέντας ἐν τῇ ἄκρᾳ πολιορκοῦσιν. [7] ἔνθα δὴ Ἀλέξανδρος ἐπὶ μὲν τοὺς ἀμφὶ Σπιταμένην Ἀνδρόμαχόν τε ἀποστέλλει καὶ Μενέδημον καὶ Κάρανον, ἱππέας μὲν ἔχοντας τῶν ἑταίρων ἐς ἑξήκοντα καὶ τῶν μισθοφόρων ὀκτακοσίους, ὧν Κάρανος ἡγεῖτο, πεζοὺς δὲ μισθοφόρους ἐς χιλίους πεντακοσίους· ἐπιτάσσει δὲ αὐτοῖς Φαρνούχην τὸν ἑρμηνέα, τὸ μὲν γένος Λύκιον τὸν Φαρνούχην, ἐμπείρως δὲ τῆς τε φωνῆς τῶν ταύτῃ βαρβάρων ἔχοντα καὶ τὰ ἄλλα ὁμιλῆσαι αὐτοῖς δεξιὸν φαινόμενον. 4. Αὐτὸς δὲ τὴν πόλιν, ἣν ἐπενόει, τειχίσας ἐν ἡμέραις εἴκοσι καὶ ξυνοικίσας ἐς αὐτὴν τῶν τε Ἑλλήνων μισθοφόρων καὶ ὅστις τῶν προσοικούντων βαρβάρων ἐθελοντὴς μετέσχε τῆς ξυνοικήσεως καί τινας καὶ τῶν ἐκ τοῦ στρατοπέδου Μακεδόνων, ὅσοι ἀπόμαχοι ἤδη ἦσαν, θύσας τοῖς θεοῖς ὡς νόμος αὐτῷ καὶ ἀγῶνα ἱππικόν τε καὶ γυμνικὸν ποιήσας, ὡς οὐκ ἀπαλλασσομένους ἑώρα τοὺς Σκύθας ἀπὸ τῆς ὄχθης τοῦ ποταμοῦ, [2] ἀλλ᾽ ἐκτοξεύοντες ἐς τὸν ποταμὸν ἑωρῶντο οὐ πλατὺν ταύτῃ ὄντα, καί τινα καὶ πρὸς ὕβριν τοῦ Ἀλεξάνδρου βαρβαρικῶς ἐθρασύναντο, ὡς οὐκ ἂν τολμήσαντα Ἀλέξανδρον ἅψασθαι Σκυθῶν ἢ μαθόντα ἂν ὅτι περ τὸ διάφορον Σκύθαις τε καὶ τοῖς Ἀσιανοῖς βαρβάροις,—ὑπὸ τούτων παροξυνόμενος ἐπενόει διαβαίνειν ἐπ᾽ αὐτοὺς καὶ τὰς διφθέρας παρεσκεύαζεν ἐπὶ τῷ πόρῳ. [3] θυομένῳ δὲ ἐπὶ τῇ διαβάσει τὰ ἱερὰ οὐκ ἐγίγνετο· ὁ δὲ βαρέως μὲν ἔφερεν οὐ γιγνομένων, ὅμως δὲ ἐκαρτέρει καὶ ἔμενεν. ὡς δὲ οὐκ ἀνίεσαν οἱ Σκύθαι, αὖθις ἐπὶ τῇ διαβάσει ἐθύετο, καὶ αὖθις[I] κίνδυνον αὐτῷ σημαίνεσθαι Ἀρίστανδρος ὁ μάντις ἔφραζεν· ὁ δὲ κρεῖσσον ἔφη ἐς ἔσχατον κινδύνου ἐλθεῖν ἢ κατεστραμμένον ξύμπασαν ὀλίγου δεῖν τὴν Ἀσίαν γέλωτα εἶναι Σκύθαις, καθάπερ Δαρεῖος ὁ Ξέρξου πατὴρ πάλαι ἐγένετο. Ἀρίστανδρος δὲ οὐκ ἔφη παρὰ τὰ ἐκ τοῦ θείου σημαινόμενα ἄλλα ἀποδείξεσθαι, ὅτι ἄλλα ἐθέλει ἀκοῦσαι Ἀλέξανδρος. [4] Ὁ δέ, ὡς αἵ τε διφθέραι αὐτῷ παρεσκευασμέναι ἦσαν ἐπὶ τῷ πόρῳ καὶ ὁ στρατὸς ἐξωπλισμένος ἐφειστήκει τῷ ποταμῷ, αἵ τε μηχαναὶ ἀπὸ ξυνθήματος ἐξηκόντιζον ἐς τοὺς Σκύθας παριππεύοντας ἐπὶ τῇ ὄχθῃ καὶ ἔστιν οἳ αὐτῶν ἐτιτρώσκοντο ἐκ τῶν βελῶν, εἷς δὲ δὴ διὰ τοῦ γέρρου τε καὶ τοῦ

[I] αὖθις Castiglioni: αὖ ἐς codd.

marcharan contra las fuerzas de Espitamenes, Andrómaco, Menedemo y Cárano, acompañados de sesenta jinetes de los Compañeros y los ochocientos mercenarios de Cárano, más un cuerpo de mil quinientos mercenarios. Mandaba este contingente el intérprete Farnuces, un hombre de origen licio, experto conocedor de la lengua de estos bárbaros y que había demostrado antes saber tratar con ellos convenientemente [7].

Luchas con los escitas

4 Mientras tanto, Alejandro fortificó con un muro por espacio de veinte días la ciudad en cuya fundación andaba ocupado, dando asentamiento en ella a los mercenarios griegos y a todos los bárbaros vecinos de la región que voluntariamente quisieran participar como colonos, a más de aquellas tropas macedonias inhábiles ya para el ejercicio de las armas. Organizó sacrificios a los dioses según el ritual y celebró un certamen ecuestre y gimnástico.

Contemplaba Alejandro cómo los escitas no sólo no se mantenían lejos de la orilla del río, [2] sino que disparaban sus proyectiles contra la orilla macedonia aprovechando que el río es en esta parte bastante estrecho; algunos incluso le insultaban insolentemente, diciendo en lengua bárbara que no se atrevía a entablar batalla con ellos, y que en caso de hacerlo, ya aprendería cuán diferentes eran los escitas de los otros pueblos de Asia. Irritado extremadamente Alejandro por estas bravatas, decidió preparar las balsas de pieles para cruzar el río y cargar contra ellos, [3] pero al llevar a cabo los sacrificios para iniciar la travesía, las víctimas no le fueron favorables. Difícilmente sobre llevaba Alejandro este contratiempo, mas se armó de paciencia y aguardó. Pero como los escitas no cejaban en su comportamiento, de nuevo hizo sacrificios para poder comenzar el ataque, y de nuevo [8] el adivino Aristandro le dijo que le indicaban algún peligro, a lo que Alejandro replicó que era preferible correr el mayor de los riesgos, a ser objeto de burla (cual le había ocurrido a Darío, padre de Jerjes [9]) por parte de los escitas; él, que había domeñado Asia casi en su totalidad. Aristandro manifestó que no era posible interpretar los sacrificios contra la evidencia de los signos del cielo por más que Alejandro deseara obtener de ellos mejores noticias [10].

[4] Cuando Alejandro tuvo ya preparadas las balsas para cruzar el río y sus tropas estuvieron formadas al completo con sus armas a la orilla del mismo, mandó que se diera la señal para que las catapultas dispararan contra los escitas que cabalgaban por la otra orilla, resultando alcanzados algunos por los proyectiles. A uno le atravesó un proyectil su escudo y su coraza de parte a parte, y cayó derribado de su caballo. Los escitas,

θώρακος διαμπὰξ πληγεὶς πίπτει ἀπὸ τοῦ ἵππου, οἱ μὲν ἐξεπλάγησαν πρός τε τῶν βελῶν τὴν διὰ μακροῦ ἄφεσιν καὶ ὅτι ἀνὴρ ἀγαθὸς αὐτοῖς τετελευτήκει, καί ὀλίγον ἀνεχώρησαν ἀπὸ τῆς ὄχθης· [5] Ἀλέξανδρος δὲ τεταραγμένους πρὸς τὰ βέλη ἰδὼν ὑπὸ σαλπίγγων ἐπέρα τὸν ποταμὸν αὐτὸς ἡγούμενος· εἵπετο δὲ αὐτῷ καὶ ἡ ἄλλη στρατιά. πρῶτον μὲν δὴ τοὺς τοξότας καὶ σφενδονήτας ἀποβιβάσας σφενδονᾶν τε καὶ ἐκτοξεύειν ἐκέλευσεν ἐς τοὺς Σκύθας, ὡς μὴ πελάζειν αὐτοὺς τῇ φάλαγγι τῶν πεζῶν ἐκβαινούσῃ, πρὶν τὴν ἵππον αὐτῷ διαβῆναι πᾶσαν. [6] ὡς δὲ ἀθρόοι ἐπὶ τῇ ὄχθῃ ἐγένοντο, ἐφῆκεν ἐπὶ τοὺς Σκύθας τὸ μὲν πρῶτον μίαν ἱππαρχίαν τῶν ξένων καὶ τῶν σαρισσοφόρων ἴλας τέσσαρας· καὶ τούτους δεξάμενοι οἱ Σκύθαι καὶ ἐς κύκλους περιϊππεύοντες ἔβαλλόν τε πολλοὶ ὀλίγους <καὶ> αὐτοὶ οὐ χαλεπῶς διεφύγγανον. Ἀλέξανδρος δὲ τούς τε τοξότας καὶ τοὺς Ἀγριᾶνας καὶ τοὺς ἄλλους ψιλούς, ὧν Βάλακρος ἦρχεν, ἀναμίξας τοῖς ἱππεῦσιν ἐπῆγεν ἐπὶ τοὺς Σκύθας. [7] ὡς δὲ ὁμοῦ ἤδη ἐγίγνοντο, ἐλάσαι ἐκέλευσεν ἐς αὐτοὺς τῶν τε ἑταίρων τρεῖς ἱππαρχίας καὶ τοὺς ἱππακοντιστὰς ξύμπαντας· καὶ αὐτὸς δὲ τὴν λοιπὴν ἵππον ἄγων σπουδῇ ἐνέβαλεν ὀρθίαις ταῖς ἴλαις. οὔκουν ἔτι οἷοί τε ἦσαν ἐξελίσσειν τὴν ἱππασίαν ἐς κύκλους, ὡς πρόσθεν ἔτι· ὁμοῦ μὲν γὰρ ἡ ἵππος προσέκειτο αὐτοῖς, ὁμοῦ δὲ οἱ ψιλοὶ ἀναμεμιγμένοι τοῖς ἱππεῦσιν οὐκ εἴων τὰς ἐπιστροφὰς ἀσφαλεῖς ποιεῖσθαι. ἔνθα λαμπρὰ ἤδη φυγὴ τῶν Σκυθῶν ἦν· [8] καὶ πίπτουσι μὲν αὐτῶν ἐς χιλίους καὶ εἷς τῶν ἡγεμόνων, Σατράκης, ἑάλωσαν δὲ ἐς ἑκατὸν καὶ πεντήκοντα. ὡς δὲ ἡ δίωξις ὀξεῖά τε καὶ διὰ καύματος πολλοῦ ταλαιπώρως ἐγίνετο, δίψει τε ἡ στρατιὰ πᾶσα εἴχετο καὶ αὐτὸς Ἀλέξανδρος ἐλαύνων πίνει ὁποῖον ἦν ὕδωρ ἐν τῇ γῇ ἐκείνῃ. [9] καὶ ἦν γὰρ πονηρὸν τὸ ὕδωρ, ῥεῦμα ἀθρόον κατασκήπτει αὐτῷ ἐς τὴν γαστέρα· καὶ ἐπὶ τῷδε ἡ δίωξις οὐκ ἐπὶ πάντων Σκυθῶν ἐγένετο· εἰ δὲ μή, δοκοῦσιν ἄν μοι καὶ πάντες διαφθαρῆναι ἐν τῇ φυγῇ, εἰ μὴ Ἀλεξάνδρῳ τὸ σῶμα ἔκαμεν. καὶ αὐτὸς ἐς ἔσχατον κινδύνου ἐλθὼν ἐκομίσθη ὀπίσω ἐς τὸ στρατόπεδον. καὶ οὕτω ξυνέβη ἡ μαντεία Ἀριστάνδρῳ.

5. Ὀλίγον δὲ ὕστερον παρὰ τοῦ Σκυθῶν βασιλέως ἀφικνοῦνται παρ' Ἀλέξανδρον πρέσβεις, ὑπὲρ τῶν πραχθέντων ἐς ἀπολογίαν ἐκπεμφθέντες, ὅτι οὐκ ἀπὸ <τοῦ> κοινοῦ τῶν Σκυθῶν ἐπράθη, ἀλλὰ

aterrados ante la lluvia de proyectiles lanzados desde tan lejos, y al ver cómo uno de sus más bravos hombres moría, retrocedieron un poco, apartándose de la orilla. [5] Al comprobar Alejandro que los bárbaros se retiraban en desorden a causa de los proyectiles, hizo sonar las trompetas para comenzar la travesía del río, yendo él mismo a la cabeza del resto de sus tropas. Ordenó que desembarcaran primero los arqueros y honderos, y que disparasen desde lejos sus armas contra los escitas a fin de impedir que éstos se pudieran acercar a la falange de infantería que aún estaba atravesando el río, antes de que toda su caballería hubiera cruzado. [6] Una vez reunidas sus tropas en la otra orilla, lanzó contra los escitas una hiparquía [11] de mercenarios y cuatro escuadrones de lanceros [12]. Los escitas les hicieron frente y se dedicaban a dispararles sus proyectiles cabalgando en círculo a su alrededor, de tal suerte que consiguieron anular el ataque de las tropas macedonias, que eran inferiores en número y se veían enfrentadas ahora a un contingente más numeroso. Alejandro reforzó a continuación la caballería con los arqueros, agrianes y otras tropas de infantería ligera, bajo las órdenes de Bálacro, y los lanzó al ataque contra los escitas.

[7] Cuando ambos contingentes se entremezclaron en la lucha, mandó que tres hiparquías de los Compañeros y todo el cuerpo de lanzadores de dardos a caballo arremetieran contra los enemigos. Él mismo, al frente del resto de la caballería cargó a toda marcha contra los escitas con sus escuadrones en orden de columna. Los escitas ya no pudieron continuar cabalgando en círculos como hasta entonces. En efecto, fueron atacados simultáneamente por la caballería macedonia y la infantería ligera que a ellos se habían unido, impidiéndoles continuar sus circunvalaciones en seguridad. Al poco tiempo los escitas se dieron ya abiertamente a la huida [13]. [8] Murieron unos mil, con uno de sus jefes al frente, Satraces, resultando capturados unos 150 hombres. La persecución resultó difícil y agotadora a causa del mucho calor, que provocaba en el ejército una angustiosa sed, y hasta el mismo Alejandro bebía indiscriminadamente del agua que en su camino se encontraba. [9] En efecto, el agua era insalubre, lo que le originó una incesante afección diarreica. Por este motivo se desistió de perseguir a todas las tropas escitas. De no haber sido por ello, yo creo, todos hubieran perecido en aquella huida, si la salud de Alejandro no se hubiera resentido. Llegó Alejandro a caer enfermo de cierta gravedad, por lo que hubo de ser retirado al campamento. Fue así como se cumplió la profecía de Aristandro.

5 Poco después se presentaron ante Alejandro unos embajadores del rey de los escitas [14], comisionados para presentar excusas por lo ocurrido, ya que en ello no había participado todo el pueblo escita, sino que se había tratado de una escaramuza de gente dedicada al saqueo, en plan bandidos, y que el propio rey se ofrecía como garante de estas excusas.

καθ᾽ ἁρπαγὴν ληστρικῷ τρόπῳ σταλέντων, καὶ αὐτὸς ὅτι ἐθέλοι ποιεῖν τὰ ἐπαγγελλόμενα. καὶ τούτῳ φιλάνθρωπα ἐπιστέλλει Ἀλέξανδρος, ὅτι οὔτε ἀπιστοῦντα μὴ ἐπεξιέναι καλὸν αὐτῷ ἐφαίνετο, οὔτε κατὰ καιρὸν ἦν ἐν τῷ τότε ἐπεξιέναι. [2] Οἱ δὲ ἐν Μαρακάνδοις ἐν τῇ ἄκρᾳ φρουρούμενοι Μακεδόνες προσβολῆς γενομένης τῇ ἄκρᾳ ἐκ Σπιταμένους τε καὶ τῶν ἀμφ᾽ αὐτὸν ἐπεκδραμόντες ἀπέκτεινάν τε τῶν πολεμίων ἔστιν οὓς καὶ ἀπώσαντο ξύμπαντας, καὶ αὐτοὶ ἀπαθεῖς ἀπεχώρησαν ἐς τὴν ἄκραν. [3] ὡς δὲ καὶ οἱ ὑπ᾽ Ἀλεξάνδρου ἐσταλμένοι ἐς Μαράκανδα ἤδη προσάγοντες Σπιταμένει ἐξηγγέλλοντο, τὴν μὲν πολιορκίαν ἐκλείπει τῆς ἄκρας, αὐτὸς δὲ ὡς ἐς τὰ βασίλεια[I] τῆς Σογδιανῆς ἀνεχώρει. Φαρνούχης δὲ καὶ οἱ ξὺν αὐτῷ στρατηγοὶ σπεύδοντες ἐξελάσαι αὐτὸν παντάπασιν ἐπί τε τὰ ὅρια τῆς Σογδιανῆς ξυνείποντο ὑποχωροῦντι καὶ εἰς τοὺς Νομάδας τοὺς Σκύθας οὐδενὶ λογισμῷ ξυνεσβάλλουσιν. [4] ἔνθα δὴ προσλαβὼν ὁ Σπιταμένης τῶν Σκυθῶν ἱππέων ἐς ἑξακοσίους προσεπήρθη ὑπὸ τῆς ξυμμαχίας τῆς Σκυθικῆς δέξασθαι ἐπιόντας τοὺς Μακεδόνας· παραταξάμενος δὲ ἐν χωρίῳ ὁμαλῷ πρὸς τῇ ἐρήμῳ τῆς Σκυθικῆς ὑπομεῖναι μὲν τοὺς πολεμίους ἢ αὐτὸς ἐς αὐτοὺς ἐμβαλεῖν οὐκ ἤθελε, περιϊππεύων δὲ ἐτόξευεν ἐς τὴν φάλαγγα τῶν πεζῶν. [5] καὶ ἐπελαυνόντων μὲν αὐτοῖς τῶν ἀμφὶ Φαρνούχην ἔφευγεν εὐπετῶς, οἷα δὴ ὠκυτέρων τε αὐτοῖς καὶ ἐν τῷ τότε ἀκμαιοτέρων ὄντων τῶν ἵππων, τοῖς δὲ ἀμφὶ Ἀνδρόμαχον ὑπό τε τῆς ξυνεχοῦς πορείας καὶ ἅμα χιλοῦ ἀπορίᾳ κεκάκωτο ἡ ἵππος· μένουσι δὲ ἢ ὑποχωροῦσιν ἐπέκειντο εὐρώστως οἱ Σκύθαι. [6] ἔνθα δὴ πολλῶν μὲν τιτρωσκομένων ἐκ τῶν τοξευμάτων, ἔστι δὲ ὧν καὶ πιπτόντων, ἐς πλαίσιον ἰσόπλευρον τάξαντες τοὺς στρατιώτας ἀνεχώρουν ὡς ἐπὶ τὸν ποταμὸν τὸν Πολυτίμητον, ὅτι νάπος ταύτῃ ἦν, ὡς μήτε τοῖς βαρβάροις εὐπετὲς ἔτι εἶναι ἐκτοξεύειν ἐς αὐτούς, σφίσι τε οἱ πεζοὶ ὠφελιμώτεροι ὦσι. [7] Κάρανος δὲ ὁ ἱππάρχης οὐκ ἀνακοινώσας Ἀνδρομάχῳ διαβαίνειν ἐπεχείρησε τὸν ποταμὸν ὡς ἐς ἀσφαλὲς ταύτῃ καταστήσων τὴν ἵππον· καὶ οἱ πεζοὶ αὐτῷ ἐπηκολούθησαν, οὐκ ἐκ παραγγέλματος, ἀλλὰ φοβερά τε καὶ οὐδενὶ κόσμῳ ἐγένετο αὐτοῖς ἡ ἔσβασις ἡ ἐς τὸν ποταμὸν κατὰ κρημνώδεις

[I] βασίλεια codd: βόρεια Polak, Roos etc, pero ver App. VIII 16.

Alejandro le contestó amigablemente, ya que si desconfiaba del rey no le parecía honesto no reemprender el ataque, pero era consciente de no ser el momento más oportuno para poder hacerlo.

[2] Por su parte, los macedonios que habían quedado sitiados por las tropas de Espitamenes en la acrópolis de Maracanda [15], al producirse el ataque de éstos salieron resueltamente, dando muerte a algunos de los sitiadores, y consiguiendo que todos los demás retrocedieran regresaron ellos indemnes a la acrópolis. [3] Cuando Espitamenes tuvo noticias de que las tropas enviadas por Alejandro a Maracanda estaban ya próximas a la ciudad, abandonó el asedio a la ciudadela y se retiró a la residencia real [16] de Sogdiana. Farnuces y sus oficiales se apresuraron a expulsarlo de la región y, persiguiéndolo en su huida hacia las montañas de Sogdiana, llegaron a entrar en combate con los escitas nómadas, sin saber el riesgo que con esta acción corrían.

[4] Espitamenes, después de haber recibido seiscientos jinetes escitas como refuerzos, reavivó su ánimo para hacer frente junto a sus aliados a sus perseguidores macedonios, para lo cual dispuso su ejército en un lugar llano, próximo al desierto escita. Su plan no era aguardar a los enemigos ni iniciar él el ataque, sino que su caballería, maniobrando en círculos, disparara sus proyectiles sobre la falange de infantería macedonia. [5] Cuando las fuerzas de Farnuces cayeron sobre los escitas, éstos se dieron a la fuga inmediatamente, y consiguieron ponerse a salvo con gran facilidad, ya que sus caballos eran más veloces al estar más descansados, mientras que la caballería de Andrómaco daba evidentes síntomas de agotamiento debido a la ininterrumpida cabalgada hasta llegar allí y la escasez de forraje que ya se hacía sentir. Sin embargo, si las tropas de Farnuces se detenían o retrocedían, los escitas les atacaban con plena decisión. [6] Muchos resultaron alcanzados por las flechas y encontraron así muerte segura. Los oficiales retiraron a sus hombres a una altiplanicie cuadrada en dirección al río Politimeto, donde había un pequeño soto, de suerte que los escitas no podían ya acertarles con sus disparos, mientras que ellos sí podían servirse de su infantería con mayor provecho frente a los escitas.

[7] Cárano, comandante de caballería, intentó atravesar el río, a fin de poner a buen recaudo a sus hombres, sin informar de ello a Andrómaco. Acto seguido fueron tras ellos los hombres de infantería, sin autorización de nadie, produciéndose un desordenado y peligroso descenso hacia el río por sus escarpadas riberas.

[8] En seguida se percataron los bárbaros del error en que habían incurrido

τὰς ὄχθας. [8] καὶ οἱ βάρβαροι αἰσθόμενοι τὴν ἁμαρτίαν τῶν Μακεδόνων αὐτοῖς ἵπποις ἔνθεν καὶ ἔνθεν ἐσβάλλουσιν ἐς τὸν πόρον. καὶ οἱ μὲν τῶν ἤδη διαβεβηκότων καὶ ἀποχωρούντων εἴχοντο, οἱ δὲ τοὺς διαβαίνοντας ἀντιμέτωποι ταχθέντες ἀνεῖλουν ἐς τὸν ποταμόν, οἱ δὲ ἀπὸ τῶν πλαγίων ἐξετόξευον ἐς αὐτούς, [9] οἱ δὲ τοῖς ἔτι ἐσβαίνουσιν ἐπέκειντο, ὥστε ἀπορίᾳ πάντοθεν ξυνεχόμενοι οἱ Μακεδόνες ἐς νῆσόν τινα τῶν ἐν τῷ ποταμῷ ξυμφεύγουσιν οὐ μεγάλην. καὶ περιστάντες αὐτοὺς οἱ Σκύθαι τε καὶ οἱ ξὺν Σπιταμένει ἱππεῖς ἐν κύκλῳ πάντας κατετόξευσαν· ὀλίγους δὲ ἠνδραποδίσαντο αὐτῶν, καὶ τούτους πάντας ἀπέκτειναν.

6. Ἀριστόβουλος δὲ ἐνέδρᾳ τὸ πολὺ τῆς στρατιᾶς διαφθαρῆναι λέγει, τῶν Σκυθῶν ἐν παραδείσῳ κρυφθέντων, οἳ ἐκ τοῦ ἀφανοῦς ἐπεγένοντο τοῖς Μακεδόσιν ἐν αὐτῷ τῷ ἔργῳ· ἵνα τὸν μὲν Φαρνούχην παραχωρεῖν τῆς ἡγεμονίας τοῖς ξυμπεμφθεῖσι Μακεδόσιν, ὡς οὐκ ἐμπείρως ἔχοντα ἔργων πολεμικῶν, ἀλλ᾽ ἐπὶ τῷ καθομιλῆσαι τοὺς βαρβάρους μᾶλλόν τι πρὸς Ἀλεξάνδρου ἢ ἐπὶ τῷ ἐν ταῖς μάχαις ἐξηγεῖσθαι ἐσταλμένον, τοὺς δὲ Μακεδόνας τε εἶναι καὶ ἑταίρους βασιλέως. [2] Ἀνδρόμαχον δὲ καὶ Κάρανον καὶ Μενέδημον οὐ δέξασθαι τὴν ἡγεμονίαν, τὸ μέν τι ὡς μὴ δοκεῖν παρὰ τὰ ἐπηγγελμένα ὑπὸ Ἀλεξάνδρου αὐτούς τι κατὰ σφᾶς νεωτερίζειν, τὸ δὲ καὶ ἐν αὐτῷ τῷ δεινῷ οὐκ ἐθελήσαντας, εἰ δή τι πταίσειαν, μὴ ὅσον κατ᾽ ἄνδρα μόνον μετέχειν αὐτοῦ, ἀλλὰ καὶ ὡς τὸ πᾶν αὐτοὺς κακῶς ἐξηγησαμένους. ἐν τούτῳ δὴ τῷ θορύβῳ τε καὶ τῇ ἀταξίᾳ ἐπιθεμένους αὐτοῖς τοὺς βαρβάρους κατακόψαι πάντας, ὥστε ἱππέας μὲν μὴ πλείονας τῶν τεσσαράκοντα ἀποσωθῆναι, πεζοὺς δὲ ἐς τριακοσίους. [3] Ταῦτα δὲ ὡς ἠγγέλθη Ἀλεξάνδρῳ, ἤλγησέ τε τῷ πάθει τῶν στρατιωτῶν καὶ ἔγνω σπουδῇ ἐλαύνειν ὡς ἐπὶ Σπιταμένην τε καὶ τοὺς ἀμφ᾽ αὐτὸν βαρβάρους. ἀναλαβὼν οὖν τῶν τε ἑταίρων ἱππέων τοὺς ἡμισέας καὶ τοὺς ὑπασπιστὰς ξύμπαντας καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας καὶ τῆς φάλαγγος τοὺς κουφοτάτους ᾔει ὡς ἐπὶ Μαράκανδα, ἵνα ἐπανήκειν Σπιταμένην ἐπυνθάνετο καὶ αὖθις πολιορκεῖν τοὺς ἐν τῇ ἄκρᾳ. [4] καὶ αὐτὸς μὲν ἐν τρισὶν ἡμέραις διελθὼν χιλίους καὶ πεντακοσίους σταδίους τῇ τετάρτῃ ὑπὸ τὴν ἕω προσῆγε τῇ πόλει. Σπιταμένης δὲ καὶ οἱ ἀμφ᾽ αὐτόν, ὡς ἐξηγγέλθη προσάγων Ἀλέξανδρος, οὐκ ἔμειναν, ἀλλ᾽ ἐκλιπόντες τὴν πόλιν φεύγουσιν. [5] ὁ δὲ

estos macedonios, por lo que se lanzaron de aquí y de allá sobre ellos a interceptarles el paso con su caballería. Unos presionaban sobre las tropas macedonias que habían ya cruzado el río y se alejaban de la orilla; [9] otros, colocados frente a frente a los que aún hacían la travesía, cargaron sobre éstos; otros les disparaban sus flechas cogiéndoles de costado, mientras otros, finalmente, caían sobre los que aún estaban embarcados, de suerte que los macedonios, constreñidos por situación tan apurada, buscaron común refugio en un islote del río. Los escitas y las tropas de Espitamenes les rodearon con su caballería, alcanzándoles con sus disparos. Tomaron algunos prisioneros, a los que luego dieron muerte [17].

Serio revés macedonio frente a los escitas

6 Aristobulo cuenta en su relato, sin embargo, que la mayor parte de este ejército macedonio pereció en una emboscada. En efecto, los escitas se habían ocultado en un bosquecillo y desde este escondrijo se lanzaron en plena acción contra los macedonios. Fue en estos momentos cuando Farnuces transmitió el mando a los macedonios que le habían acompañado, ya que él era un hombre que carecía de experiencia en el mando militar, y había sido enviado por Alejandro más en calidad de intérprete, capaz de entablar unas conversaciones orientadas a negociar con los bárbaros, que como jefe que dirige una acción militar; por lo demás, los otros eran macedonios, y aun Compañeros del rey. [2] Sin embargo, Andrómaco, Cárano y Menedemo no querían aceptar los poderes que se les transmitían, de un lado, porque no querían dar la impresión de que ellos, por propia iniciativa, alteraban las órdenes de Alejandro; de otro lado, porque no estaban dispuestos a hacerse cargo del mando en un momento de crisis, no fuera que en caso de fracaso aparecieran ellos como causantes del mismo, no sólo a título personal, sino responsables de haber sido los que condujeron al desastre en su conjunto. En medio de este confusionismo y desorden les atacaron los bárbaros, causando la destrucción total entre ellos, de suerte que fueron no más de cuarenta los jinetes que se salvaron, y tan sólo unos trescientos soldados de infantería [18]. [3] Al tener Alejandro noticias del desastre, y apenado por la desgracia de sus soldados, decidió ponerse en camino a toda prisa contra Espitamenes y sus tropas de bárbaros. Reclutó a la mitad de la caballería de los Compañeros, a todos los hipaspistas, arqueros y agrianes, y la infantería ligera de la falange, poniéndose con ellos camino hacia Maracanda, adonde, según sus noticias, había vuelto Espitamenes para poner sitio de nuevo a los refugiados en la acrópolis. [4] Alejandro recorrió mil quinientos estadios [19] en tres días, llegando a la ciudad al amanecer del cuarto. Espitamenes y sus tropas, enterados de que Alejandro se aproximaba, no lo esperaron, sino que huyeron abandonando la ciudad. [5] Alejandro no cesó de perseguirlos, y al llegar

ἐχόμενος αὐτῶν ἐδίωκεν· ὡς δὲ ἐπὶ <τὸν> χῶρον ἧκεν, οὗ ἡ μάχη ἐγένετο, θάψας τοὺς στρατιώτας ὡς ἐκ τῶν παρόντων εἵπετο ἔστε ἐπὶ τὴν ἔρημον τοῖς φεύγουσιν. ἐκεῖθεν δὲ ἀναστρέφων ἐπόρθει τὴν χώραν καὶ τοὺς ἐς τὰ ἐρύματα καταπεφευγότας τῶν βαρβάρων ἔκτεινεν, ὅτι ξυνεπιθέσθαι ἐξηγγέλλοντο καὶ αὐτοὶ τοῖς Μακεδόσι· καὶ ἐπῆλθε πᾶσαν τὴν χώραν ὅσην ὁ ποταμὸς ὁ Πολυτίμητος ἐπάρδων ἐπέρχεται. [6] ἵνα δὲ ἀφανίζεται τῷ ποταμῷ τὸ ὕδωρ, ἐντεῦθεν ἤδη τὸ ἐπέκεινα ἔρημος ἡ χώρα ἐστίν· ἀφανίζεται δὲ καίπερ πολλοῦ ὢν ὕδατος ἐς τὴν ψάμμον. καὶ ἄλλοι ποταμοὶ ὡσαύτως ἐκεῖ ἀφανίζονται μεγάλοι καὶ ἀέ[ν]ναοι, ὅ τε Ἔπαρδος, ὃς ῥέει διὰ Μάρδων τῆς χώρας, καὶ Ἄρειος, ὅτου ἐπώνυμος ἡ τῶν Ἀρείων γῆ ἐστιν, καὶ Ἐτύμανδρος, ὃς δι᾽ Εὐεργετῶν ῥέει. [7] καὶ εἰσὶ ξύμπαντες οὗτοι τηλικοῦτοι ποταμοὶ ὥστε οὐδεὶς αὐτῶν μείων ἐστὶ τοῦ Πηνειοῦ τοῦ Θεσσαλικοῦ ποταμοῦ, ὃς διὰ τῶν Τεμπῶν ῥέων ἐκδιδοῖ ἐς θάλασσαν· ὁ δὲ Πολυτίμητος πολὺ ἔτι μείζων ἢ κατὰ τὸν Πηνειὸν ποταμόν ἐστι.

7. Ταῦτα δὲ διαπραξάμενος ἐς Ζαρίασπα ἀφίκετο· καὶ αὐτοῦ κατέμενεν ἔστε παρελθεῖν τὸ ἀκμαῖον τοῦ χειμῶνος. ἐν τούτῳ δὲ ἀφίκοντο παρ᾽ αὐτὸν Φραταφέρνης τε ὁ Παρθυαίων σατράπης καὶ Στασάνωρ ὁ ἐς Ἀρείους ἀποπεμφθεὶς ὡς Ἀρσάκην ξυλληψόμενος, τόν τε Ἀρσάκην δεδεμένον ἄγοντες καὶ Βραζάνην, ὅντινα Βῆσσος τῆς Παρθυαίων σατράπην κατέστησε, καί τινας ἄλλους τῶν τότε ξὺν Βήσσῳ ἀποστάντων. [2] ἧκον δὲ ἐν τῷ αὐτῷ Ἐπόκιλλος καὶ Μελαμνίδας καὶ Πτολεμαῖος ὁ τῶν Θρᾳκῶν στρατηγὸς ἀπὸ θαλάσσης, οἳ τά τε χρήματα <τὰ> ξὺν Μένητι πεμφθέντα καὶ τοὺς ξυμμάχους ὡς ἐπὶ θάλασσαν κατήγαγον. καὶ Ἄσανδρος δὲ ἐν τούτῳ ἧκεν καὶ Νέαρχος, στρατιὰν Ἑλλήνων μισθοφόρων ἄγοντες, καὶ †Βῆσσός τε ὁ Συρίας σατράπης καὶ Ἀσκληπιόδωρος ὁ ὕπαρχος, ἀπὸ θαλάσσης καὶ οὗτοι στρατιὰν ἄγοντες. [3] Ἔνθα δὴ ξύλλογον ἐκ τῶν παρόντων ξυναγαγὼν Ἀλέξανδρος παρήγαγεν ἐς αὐτοὺς Βῆσσον· καὶ κατηγορήσας τὴν Δαρείου προδοσίαν τήν τε ῥῖνα Βήσσου ἀποτμηθῆναι καὶ τὰ ὦτα ἄκρα ἐκέλευσεν, αὐτὸν δὲ ἐς Ἐκβάτανα ἄγεσθαι, ὡς ἐκεῖ ἐν τῷ Μήδων τε καὶ Περσῶν ξυλλόγῳ ἀποθανούμενον. [4] καὶ ἐγὼ οὔτε τὴν ἄγαν ταύτην τιμωρίαν Βήσσου ἐπαινῶ, ἀλλὰ βαρβαρικὴν εἶναι τίθεμαι τῶν ἀκρωτηρίων τὴν λώβην καὶ ὑπαχθῆναι Ἀλέξανδρον ξύμφημι ἐς ζῆλον

al lugar donde se había desarrollado el combate, dio sepultura a sus soldados muertos con el máximo boato que las circunstancias permitían, y continuó su persecución tras los fugitivos hasta el desierto. Dióse luego la vuelta devastando todo el territorio y mató a todos los bárbaros que se habían refugiado en las fortificaciones, ya que tenía noticias de que también éstos habían participado en el ataque contra los macedonios. Recorrió, así, todo el territorio que riega el río Politimeto [20]. [6] El territorio se vuelve desértico justo allí donde el agua del río desaparece en la arena, cosa que ocurre a pesar de ser río muy caudaloso. También hay más ríos que desaparecen en aquella región, y aun río grandes y que no están sometidos a estiaje, así el Epardo, que fluye por la tierra de los Mardos; el Ario, epónimo de la región de Aria, y el Etimandro, cuyas aguas discurren por el territorio de los Evergetas [21]. [7] Todos estos ríos son de gran importancia, y ninguno de ellos es menor que el Peneo, que es un río de Tesalia que atraviesa el Tempe antes de desembocar en el mar. Por su parte, el Politimeto es mucho mayor que este río Peneo.

Castigo de Beso .

7 Tras llevar a cabo cuanto se lleva dicho, Alejandro regresó a Zariaspa, donde iba a permanecer hasta que pasara lo más crudo del invierno [22]. Estando allí se presentaron ante él Fratafernes, sátrapa de Partia, y Estasanor, que había ido a Aria para detener a Arsaces, a quien trajo encadenado al igual que a Brazanes, nombrado por Beso sátrapa de Partia, y a algunos otros que habían participado en la insurrección de Beso. [2] También comparecieron en este momento Epocilo, Melanidas y Tolomeo, general tracio, venidos todos ellos de la costa. Fueron éstos los que habían escoltado hasta el mar el tesoro enviado con Menes y al contingente de tropas aliadas. Al poco aparecieron Asandro y Nearco, al frente de un cuerpo de mercenarios griegos, y también Beso [23], el sátrapa de Siria, y el gobernador [24] Asclepiodoro, ambos con sus respectivos hombres, venidos también de la costa.

[3] Convocó allí Alejandro una junta e hizo comparecer ante los presentes a Beso, a quien Alejandro acusó de haber traicionado a Darío, por lo que dispuso le fuera cortada la punta de la nariz y los extremos de las orejas, para ser posteriormente enviado a Ecbatana a morir ante la asamblea de los medos y persas [25].

[4] Por mi parte, yo no apruebo [26] esta modalidad de extrema venganza en la persona de Beso, antes bien, la mutilación de las orejas la tengo por cosa propia de bárbaros y nada elogiable [26], y confieso que Alejandro se sintió atraído a imitar el tipo de vida opulenta de medos y persas y los

τοῦ Μηδικοῦ τε καὶ Περσικοῦ πλούτου καὶ τῆς κατὰ τοὺς βαρβάρους βασιλέας οὐκ ἴσης ἐς τοὺς ὑπηκόους ξυνδιαιτήσεως, ἐσθῆτά τε ὅτι Μηδικὴν ἀντὶ τῆς Μακεδονικῆς τε καὶ πατρίου Ἡρακλείδης ὢν μετέλαβεν, οὐδαμῇ ἐπαινῶ, καὶ τὴν κίταριν τὴν Περσικὴν τῶν νενικημένων ἀντὶ ὧν αὐτὸς ὁ νικῶν πάλαι ἐφόρει ἀμεῖψαι οὐκ ἐπῃδέσθη, [5] οὐδὲν τούτων ἐπαινῶ, ἀλλ'εἴπερ τι ἄλλο, καὶ τὰ Ἀλεξάνδρου μεγάλα πράγματα ἐς τεκμηρίωσιν τίθεμαι ὡς οὔτε τὸ σῶμα ὅτῳ εἴη καρτερόν, οὔτε ὅστις γένει ἐπιφανής, οὔτε κατὰ πόλεμον εἰ δή τις διευτυχοίη ἔτι μᾶλλον ἢ Ἀλέξανδρος, οὐδὲ εἰ τὴν Λιβύην τις πρὸς τῇ Ἀσίᾳ, καθάπερ οὖν ἐπενόει ἐκεῖνος, ἐκπεριπλεύσας κατάσχοι, οὐδὲ εἰ τὴν Εὐρώπην ἐπὶ τῇ Ἀσίᾳ τε καὶ Λιβύῃ τρίτην, τούτων πάντων οὐδέν τι ὄφελος ἐς εὐδαιμονίαν ἀνθρώπου, εἰ μὴ σωφρονεῖν ἐν ταὐτῷ ὑπάρχοι τούτῳ τῷ ἀνθρώπῳ τῷ τὰ μεγάλα, ὡς δοκεῖ, πράγματα πράξαντι.

8. Ἔνθα δὴ καὶ τὸ Κλείτου τοῦ Δρωπίδου πάθημα καὶ τὴν Ἀλεξάνδρου ἐπ' αὐτῷ ξυμφοράν, εἰ καὶ ὀλίγον ὕστερον ἐπράχθη, οὐκ ἔξω τοῦ καιροῦ ἀφηγήσομαι. εἶναι μὲν γὰρ ἡμέραν ἱερὰν τοῦ Διονύσου Μακεδόσι καὶ θύειν Διονύσῳ ὅσα ἔτη ἐν αὐτῇ Ἀλέξανδρον· [2] τὸν δὲ τοῦ Διονύσου μὲν ἐν τῷ τότε ἀμελῆσαι λέγουσι, Διοσκούροιν δὲ θῦσαι, ἐξ ὅτου δὴ ἐπιφρασθέντα τοῖν Διοσκούροιν τὴν θυσίαν· πόρρω δὲ τοῦ πότου προϊόντος (καὶ γὰρ καὶ τὰ τῶν πότων ἤδη Ἀλεξάνδρῳ ἐς τὸ βαρβαρικώτερον νενεωτέριστο) ἀλλ' ἔν γε τῷ πότῳ τότε ὑπὲρ τοῖν Διοσκούροιν λόγους γίγνεσθαι, ὅπως ἐς Δία ἀνηνέχθη αὐτοῖν ἡ γένεσις ἀφαιρεθεῖσα Τυνδάρεω. [3] καί τινας τῶν παρόντων κολακείᾳ τῇ Ἀλεξάνδρου, οἷοι δὴ ἄνδρες διέφθειράν τε ἀεὶ καὶ οὔποτε παύσονται ἐπιτρίβοντες τὰ τῶν ἀεὶ βασιλέων πράγματα, κατ' οὐδὲν ἀξιοῦν συμβάλλειν Ἀλεξάνδρῳ τε καὶ τοῖς Ἀλεξάνδρου ἔργοις τὸν Πολυδεύκην καὶ τὸν Κάστορα. οἱ δὲ οὐδὲ τοῦ Ἡρακλέους ἀπείχοντο ἐν τῷ πότῳ· ἀλλὰ τὸν φθόνον γὰρ ἐμποδὼν ἵστασθαι τοῖς ζῶσι τὸ μὴ οὐ τὰς δικαίας τιμὰς αὐτοῖς ἐκ τῶν ξυνόντων γίγνεσθαι. [4] Κλεῖτον δὲ δῆλον μὲν εἶναι πάλαι ἤδη ἀχθόμενον τοῦ τε Ἀλεξάνδρου τῇ ἐς τὸ βαρβαρικώτερον μετακινήσει καὶ τῶν κολακευόντων αὐτὸν τοῖς λόγοις· τότε δὲ καὶ αὐτὸν πρὸς τοῦ οἴνου παροξυνόμενον οὐκ ἐᾶν οὔτε ἐς τὸ θεῖον ὑβρίζειν, οὔτε [ἐς] τὰ τῶν πάλαι ἡρώων ἔργα ἐκφαυλίζοντας

hábitos de la realeza bárbara, tan dada a distanciar sus hábitos de los de sus súbditos. [5] En modo alguno puedo aprobar [26] tampoco, por muy descendiente de Heracles que sea, que decidiera trocar la vestimenta tradicional macedonia por la de los medos, ni el gorro con que él en vencedor se tocaba desde hacía tiempo, por la tiara de los vencidos persas.

Entiendo yo que el gran éxito de Alejandro es la mejor prueba de que ni la fuerza física, ni el ser de noble familia, ni tener continuados éxitos en la milicia, aun mayores que los de Alejandro (incluso quien pensara, después de navegar por toda Libia, someter —como intentaba Alejandro— todo el Asia, o pretendiera hacer de Europa el tercer continente sometido a sus dominios para añadirlo a los de Asia y Libia) contribuyen más a la felicidad del hombre, si no le ayuda ello a ser más sensato y controlarse a sí mismo, aunque se sea, como parece, autor de grandes y magníficas hazañas [27].

Alejandro mata a Clito

8 Creo que no está fuera de lugar referir ahora la tragedia de Clito, hijo de Dropides, y el pesar que ello originó en Alejandro, aunque el suceso ocurrió algo más tarde [28]. Ocurrió así: celebraban los macedonios, un día al año, la festividad de Dioniso, en que Alejandro tenía por costumbre ofrecerle un sacrificio. [2] Parece que en ese año Alejandro desatendió la celebración en honor de Dioniso y se decidió a sacrificar, no sabemos por qué razón, a los Dioscuros. Durante la celebración de la fiesta se estuvo bebiendo durante largo rato (y es que Alejandro ya había adquirido por entonces el hábito de beber a la usanza bárbara [29]) y, en el curso de la charla y mientras se seguía bebiendo, se suscitó el tema de los Dioscuros, y cómo la paternidad de éstos se le había asignado a Zeus en detrimento de Tindáreo.

[3] Algunos de los presentes intentaban adular a Alejandro (son estos hombres que por siempre existieron y existirán, y que con sus intrigas perjudican las decisiones reales) [30] diciendo que no podía ni compararse a Cástor y Pólux con Alejandro y sus hazañas.

Hubo algunos incluso que no respetaron en medio de la orgía ni siquiera la figura de Heracles. Es la envidia, decían, la que impide que a los vivos se les tributen y reconozcan los honores que les son debidos por parte de los demás.

[4] Clito ya se había mostrado desde hacía tiempo molesto por esta desviación de Alejandro hacia las costumbres bárbaras, así como por la presencia de estos aduladores que con sus palabras le lisonjeaban. Pero fue en este momento cuando, estimulado por el vino, manifestó que no estaba dispuesto a permitir insolencias contra la divinidad, ni a que las hazañas de los antiguos héroes quedaran preteridas para atribuir a Alejandro honores inmerecidos, [5] pues las hazañas de Alejandro ni eran

χάριν ταύτην ἄχαριν προστιθέναι Ἀλεξάνδρῳ. [5] εἶναι γὰρ οὖν οὐδὲ τὰ Ἀλεξάνδρου οὕτω τι μεγάλα καὶ θαυμαστὰ ὡς ἐκεῖνοι ἐπαίρουσιν· οὔκουν μόνον καταπρᾶξαι αὐτά, ἀλλὰ τὸ πολὺ γὰρ μέρος Μακεδόνων εἶναι τὰ ἔργα. καὶ τοῦτον τὸν λόγον ἀνιᾶσαι Ἀλέξανδρον λεχθέντα. οὐδὲ ἐγὼ ἐπαινῶ τὸν λόγον, ἀλλὰ ἱκανὸν γὰρ εἶναι τίθεμαι ἐν τοιᾷδε παροινίᾳ τὸ καθ᾽ αὑτὸν σιγῶντα ἔχειν μηδὲ τὰ αὐτὰ τοῖς ἄλλοις ἐς κολακείαν πλημμελεῖν. [6] ὡς δὲ καὶ τῶν Φιλίππου τινὲς ἔργων, ὅτι οὐ μεγάλα οὐδὲ θαυμαστὰ Φιλίππῳ κατεπράχθη, οὐδεμιᾷ ξὺν δίκῃ ἐπεμνήσθησαν, χαριζόμενοι καὶ οὗτοι Ἀλεξάνδρῳ, τὸν Κλεῖτον ἤδη οὐκέτι ἐν ἑαυτοῦ ὄντα πρεσβεύειν μὲν τὰ τοῦ Φιλίππου, καταβάλλειν δὲ Ἀλέξανδρόν τε καὶ τὰ τούτου ἔργα, παροινοῦντα ἤδη τὸν Κλεῖτον, τά τε ἄλλα καὶ πολὺν εἶναι ἐξονειδίζοντα Ἀλεξάνδρῳ, ὅτι πρὸς αὑτοῦ ἄρα ἐσώθη, ὁπότε ἡ ἱππομαχία ἡ ἐπὶ Γρανίκῳ ξυνειστήκει πρὸς Πέρσας· [7] καὶ δὴ καὶ τὴν δεξιὰν τὴν αὑτοῦ σοβαρῶς ἀνατείναντα, αὕτη σε ἡ χείρ, φάναι, ὦ Ἀλέξανδρε, ἐν τῷ τότε ἔσωσε. καὶ Ἀλέξανδρον οὐκέτι φέρειν τοῦ Κλείτου τὴν παροινίαν τε καὶ ὕβριν, ἀλλὰ ἀναπηδᾶν γὰρ ξὺν ὀργῇ ἐπ᾽ αὐτόν, κατέχεσθαι δὲ ὑπὸ τῶν ξυμπινόντων. Κλεῖτον δὲ οὐκ ἀνιέναι ὑβρίζοντα. [8] Ἀλέξανδρος δὲ ἐβόα ἄρα καλῶν τοὺς ὑπασπιστάς· οὐδενὸς δὲ ὑπακούοντος ἐς ταὐτὰ ἔφη καθεστηκέναι Δαρείῳ, ὁπότε πρὸς Βήσσου τε καὶ τῶν ἀμφὶ Βῆσσον ξυλληφθεὶς ἤγετο οὐδὲν ἄλλο ὅτι μὴ ὄνομα ὢν βασιλέως. οὔκουν ἔτι οἵους τε εἶναι κατέχειν αὐτὸν τοὺς ἑταίρους, ἀλλ᾽ ἀναπηδήσαντα γὰρ οἱ μὲν λόγχην ἁρπάσαι λέγουσι τῶν σωματοφυλάκων τινὸς καὶ ταύτῃ παίσαντα Κλεῖτον ἀποκτεῖναι, [9] οἱ δὲ σάρισσαν παρὰ τῶν φυλάκων τινὸς [καὶ ταύτῃ].[I] Ἀριστόβουλος δὲ ὅθεν μὲν ἡ παροινία ὡρμήθη οὐ λέγει, Κλείτου δὲ γενέσθαι μόνου τὴν ἁμαρτίαν, ὅν γε ὠργισμένου Ἀλεξάνδρου καὶ ἀναπηδήσαντος ἐπ᾽ αὐτὸν ὡς διαχρησομένου ἀπαχθῆναι μὲν διὰ θυρῶν ἔξω ὑπὲρ τὸ τεῖχός τε καὶ τὴν τάφρον τῆς ἄκρας, ἵνα ἐγίνετο, πρὸς Πτολεμαίου τοῦ Λάγου τοῦ σωματοφύλακος· οὐ καρτερήσαντα δὲ ἀναστρέψαι αὖθις καὶ περιπετῆ Ἀλεξάνδρῳ γενέσθαι Κλεῖτον ἀνακαλοῦντι, καὶ φάναι ὅτι· οὗτός τοι ἐγὼ ὁ Κλεῖτος, ὦ Ἀλέξανδρε· καὶ ἐν τούτῳ πληγέντα τῇ σαρίσσῃ ἀποθανεῖν.

[I] Borrado por Castiglioni.

tan grandes ni tan admirables como aquéllos ensalzaban, ni las había llevado a cabo él sólo, antes bien eran común patrimonio de la mayor parte del pueblo macedonio. Al oír todo esto, Alejandro se irritó sobremanera.

Fueron, desde luego, palabras que yo no puedo aprobar, pues considero que cuando se está bebido es conveniente que cada cual sepa guardar silencio y no sumarse a lo que otros dicen por adulación.

[6] Cuando algunos de los presentes recordaron, injustamente y sólo por lisonjear a Alejandro, que las hazañas de Filipo no habían sido tan grandes ni portentosas, Clito, fuera de sí al oír ya esto, empezó a elogiar a Filipo al tiempo que se daba a lanzar infundios contra Alejandro y sus obras. Bajo los influjos del vino Clito denostaba por todo a Alejandro, espetándole que él mismo le había salvado la vida en cierta ocasión, durante el combate contra la caballería persa en Gránico. [7] Aún más, levantó su mano derecha altaneramente gritando: «Esta mano fue la que a ti, Alejandro, te salvó en aquella ocasión» [31]. Alejandro ya no aguantó más la borracha insolencia de Clito, y se lanzó sobre él en un ataque de ira, pero fue interceptado por los compañeros de fiesta. Clito no cesaba de comportarse insolentemente, [8] por lo que Alejandro requirió a los hipaspistas [32], mas al no obedecerle ninguno, exclamó: «He llegado a la misma situación que Darío, cuando fue detenido y conducido prisionero por Beso y sus secuaces. No tengo de rey más que el nombre.»

Los Compañeros se vieron entonces incapaces de contenerle, ya que, según dicen algunos, dio un gran salto y arrebató a uno de los de su guardia personal su lanza y golpeó con ella a Clito hasta matarlo; [9] según otros fue con una sarisa de uno de la guardia.

Aristobulo no nos cuenta cómo se originó esta pendencia de borrachos, pero afirma que la falta estuvo en Clito, pues cuando ocurrió el ataque de ira en que Alejandro se abalanzó sobre él para matarlo, Clito fue expulsado del recinto y fuera de los muros de la acrópolis (donde tuvo lugar el incidente) a manos de Tolomeo el hijo de Lago, uno de la guardia personal de Alejandro, pero Clito no supo contenerse y regresó [33] sobre sus pasos al lugar de la pendencia, topándose con Alejandro que llamaba a Clito por su nombre, a lo que éste contestó: «Aquí estoy yo, Clito, a quien tú llamas, Alejandro.» En este momento le asestó Alejandro un golpe con la sarisa y lo mató.

9. Καὶ ἐγὼ Κλεῖτον μὲν τῆς ὕβρεως τῆς ἐς τὸν βασιλέα τὸν αὑτοῦ μεγαλωστὶ μέμφομαι· Ἀλέξανδρον δὲ τῆς συμφορᾶς οἰκτείρω, ὅτι δυοῖν κακοῖν ἐν τῷ τότε ἡττημένον ἐπέδειξεν αὑτόν, ὑφ᾽ ὅτων δὴ καὶ τοῦ ἑτέρου οὐκ ἐπέοικεν ἄνδρα σωφρονοῦντα ἐξηττᾶσθαι, ὀργῆς τε καὶ παροινίας. [2] ἀλλὰ τὰ ἐπὶ τοῖσδε αὖ ἐπαινῶ Ἀλεξάνδρου, ὅτι παραυτίκα ἔγνω σχέτλιον ἔργον ἐργασάμενος. καὶ λέγουσιν εἰσὶν οἳ [τὰ Ἀλεξάνδρου] ὅτι ἐρείσας τὴν σάρισσαν πρὸς τὸν τοῖχον ἐπιπίπτειν ἐγνώκει αὐτῇ, ὡς οὐ καλὸν αὐτῷ ζῆν ἀποκτείναντι φίλον αὑτοῦ ἐν οἴνῳ. [3] οἱ πολλοὶ δὲ ξυγγραφεῖς τοῦτο μὲν οὐ λέγουσιν, ἀπελθόντα δὲ ἐς τὴν εὐνὴν κεῖσθαι ὀδυρόμενον, αὐτόν τε τὸν Κλεῖτον ὀνομαστὶ ἀνακαλοῦντα καὶ τὴν Κλείτου μὲν ἀδελφήν, αὑτὸν δὲ ἀναθρεψαμένην, Λανίκην τὴν Δρωπίδου παῖδα, ὡς καλὰ ἄρα αὐτῇ τροφεῖα ἀποτετικὼς εἴη ἀνδρωθείς, [4] ἣ γε τοὺς μὲν παῖδας τοὺς ἑαυτῆς ὑπὲρ αὐτοῦ μαχομένους ἐπεῖδεν ἀποθανόντας, τὸν ἀδελφὸν δὲ αὐτῆς αὐτὸς αὐτοχειρίᾳ ἔκτεινε· φονέα τε τῶν φίλων οὐ διαλείπειν αὑτὸν ἀνακαλοῦντα, ἄσιτόν τε καὶ ἄποτον καρτερεῖν ἔστε ἐπὶ τρεῖς ἡμέρας, οὐδέ τινα ἄλλην θεραπείαν θεραπεῦσαι τὸ σῶμα. [5] Καὶ ἐπὶ τούτοις τῶν μάντεών τινες μῆνιν ἐκ Διονύσου ᾖδον, ὅτι ἡ θυσία ἐξελείφθη Ἀλεξάνδρῳ ἡ τοῦ Διονύσου. καὶ Ἀλέξανδρος μόγις πρὸς τῶν ἑταίρων πεισθεὶς σίτου τε ἥψατο καὶ τὸ σῶμα κακῶς ἐθεράπευσε· καὶ τῷ Διονύσῳ τὴν θυσίαν ἀπέδωκεν, ἐπεὶ οὐδὲ αὐτῷ ἄκοντι ἦν ἐς μῆνιν τοῦ θείου μᾶλλόν τι ἢ τὴν αὑτοῦ κακότητα ἀναφέρεσθαι τὴν ξυμφοράν. [6] ταῦτα μεγαλωστὶ ἐπαινῶ Ἀλεξάνδρου, τὸ μήτε ἀπαυθαδιάσασθαι ἐπὶ κακῷ, μήτε προστάτην τε καὶ ξυνήγορον κακίονα ἔτι γενέσθαι τοῦ ἁμαρτηθέντος, ἀλλὰ ξυμφῆσαι γὰρ ἐπταικέναι ἄνθρωπόν γε ὄντα. [7] Εἰσὶ δὲ οἵ λέγουσιν Ἀνάξαρχον τὸν σοφιστὴν ἐλθεῖν μὲν παρ᾽ Ἀλέξανδρον κληθέντα, ὡς παραμυθησόμενον· εὑρόντα δὲ κείμενον καὶ ἐπιστένοντα, ἀγνοεῖν, φάναι ἐπιγελάσαντα, διότι ἐπὶ τῷδε οἱ πάλαι σοφοὶ ἄνδρες τὴν Δίκην πάρεδρον τῷ Διῒ ἐποίησαν ὡς ὅ τι ἂν πρὸς τοῦ Διὸς κυρωθῇ, τοῦτο ξὺν δίκῃ πεπραγμένον. καὶ οὖν καὶ τὰ ἐκ βασιλέως μεγάλου γιγνόμενα δίκαια χρῆναι νομίζεσθαι, πρῶτα μὲν πρὸς αὐτοῦ βασιλέως, ἔπειτα πρὸς τῶν ἄλλων ἀνθρώπων. [8] ταῦτα εἰπόντα παραμυθήσασθαι μὲν Ἀλέξανδρον ἐν τῷ τότε, κακὸν δὲ μέγα, ὡς ἐγώ φημι, ἐξεργάσασθαι Ἀλεξάνδρῳ καὶ μεῖζον ἔτι ἢ ὅτῳ τότε ξυνείχετο,

Pesar de Alejandro por la muerte de Clito.

9 Yo reprocho con firmeza a Clito su insolencia para con el rey, al igual que lamento el infortunio de Alejandro, que se mostró en esta ocasión dominado por dos vicios, la cólera y la bebida, por ninguno de los cuales está bien que un hombre sensato sea dominado. [2] Pero he de elogiar a Alejandro por lo que a continuación ocurrió, al reconocer acto seguido que había obrado horriblemente. Dicen algunos que Alejandro apoyó la sarisa contra la pared dispuesto a espetarse en ella, ya que no le parecía medianamente honroso seguir viviendo después de haber dado muerte a un amigo bajo los efectos del vino.

[3] Es cierto, sin embargo, que la mayoría de los historiadores cuentan otra versión bien distinta, según la cual Alejandro marchó a su cama y en ella se postró llorando, llamando por su nombre a Clito y a su hermana, Lanice [34], hija de Dropides, que le había criado a él. ¡Con qué favor le pagaba, ahora que él se había hecho un hombre, a ella que le había criado. [4] A ella que había visto cómo sus hijos encontraron la muerte por defender a Alejandro, y se enteraba ahora de que éste había dado muerte con sus propias manos a su hermano!

No cesaba Alejandro de llamarse asesino de su amigo y, durante tres días, rehusó comer y beber, abandonando incluso su cuidado personal.

[5] En esta ocasión algunos adivinos entonaron «la cólera de Dioniso» ante la negligencia de Alejandro hacia Dioniso. A duras penas pudieron convencerle los Compañeros para que tomara alimento y cuidara su presencia corporal. Finalmente, ofreció a Dioniso el sacrificio debido, ya que se sentía proclive a imputar el pasado infortunio más a la cólera del dios que a su propia maldad. [6] En esto apruebo sin reservas la conducta de Alejandro, toda vez que no hizo alardes de su mal proceder, ni tomó el papel de campeón y abogado de mayores actos de maldad, sino que admitió haber errado como mortal que era [35].

[7] Dicen algunos que el sofista Anaxarco [36] fue requerido para que con su presencia consolara a Alejandro. Encontró a éste sobre la cama, gimiendo, y le dijo sonriéndole: «¿No sabes por qué los hombres sabios de antaño consideraron a la Justicia compañera de sede de Zeus? Ello es porque todo lo que de parte de Zeus [37] se lleva a su cumplimiento es ejecutado con Justicia. Pues bien, de igual modo deben considerarse justos todos los actos de un gran rey, en primer lugar por el propio rey y, luego, por todos los demás hombres.»

[8] Parece que estas palabras consolaron a Alejandro de momento, aunque yo creo que provocaron en él un gran daño, mayor incluso que la aflicción que entonces sufría, si es verdad que consideraba opinión propia

εἴπερ οὖν σοφοῦ ἀνδρὸς τήνδε ἔγνω τὴν δόξαν, ὡς οὐ τὰ δίκαια ἄρα χρὴ σπουδῇ ἐπιλεγόμενον πράττειν τὸν βασιλέα, ἀλλὰ ὅ τι ἂν καὶ ὅπως οὖν ἐκ βασιλέως πραχθῇ, τοῦτο δίκαιον νομίζειν. [9] ἐπεὶ καὶ προσκυνεῖσθαι ἐθέλειν Ἀλέξανδρον λόγος κατέχει, ὑπούσης μὲν αὐτῷ καὶ τῆς ἀμφὶ τοῦ Ἄμμωνος πατρὸς μᾶλλόν τι ἢ Φιλίππου δόξης, θαυμάζοντα δὲ ἤδη τὰ Περσῶν καὶ Μήδων τῆς τε ἐσθῆτος τῇ ἀμείψει καὶ τῆς ἄλλης θεραπείας τῇ μετακοσμήσει. οὐκ ἐνδεῆσαι δὲ οὐδὲ πρὸς τοῦτο αὐτῷ τοὺς κολακείᾳ ἐς αὐτὸ ἐνδιδόντας, ἄλλους τέ τινας καὶ δὴ καὶ τῶν σοφιστῶν τῶν ἀμφ᾽ αὐτὸν Ἀνάξαρχόν τε καὶ Ἆγιν Ἀργεῖον, ἐποποιόν. 10. Καλλισθένην δὲ τὸν Ὀλύνθιον Ἀριστοτέλους τε τῶν λόγων διακηκοότα καὶ τὸν τρόπον ὄντα ὑπαγροικότερον οὐκ ἐπαινεῖν ταῦτα. τούτου μὲν δὴ ἕνεκα καὶ αὐτὸς Καλλισθένει ξυμφέρομαι, ἐκεῖνα δὲ οὐκέτι ἐπιεικῆ δοκῶ τοῦ Καλλισθένους, εἴπερ ἀληθῆ ξυγγέγραπται, ὅτι ὑφ᾽ αὐτῷ εἶναι ἀπέφαινε καὶ τῇ αὑτοῦ ξυγγραφῇ Ἀλέξανδρόν τε καὶ τὰ Ἀλεξάνδρου ἔργα, [2] οὔκουν αὐτὸς ἀφῖχθαι ἐξ Ἀλεξάνδρου δόξαν κτησόμενος, ἀλλὰ ἐκεῖνον εὐκλεᾶ ἐς ἀνθρώπους ποιήσων· καὶ οὖν καὶ τοῦ θείου τὴν μετουσίαν Ἀλεξάνδρῳ οὐκ ἐξ ὧν Ὀλυμπιὰς ὑπὲρ τῆς γενέσεως αὐτοῦ ψεύδεται ἀνηρτῆσθαι, ἀλλὰ ἐξ ὧν ἂν αὐτὸς ὑπὲρ Ἀλεξάνδρου ξυγγράψας ἐξενέγκῃ ἐς ἀνθρώπους. [3] εἰσὶ δὲ οἳ καὶ τάδε ἀνέγραψαν, ὡς ἄρα ἤρετο αὐτόν ποτε Φιλώτας ὅντινα οἴοιτο μάλιστα τιμηθῆναι πρὸς τῆς Ἀθηναίων πόλεως· τὸν δὲ ἀποκρίνασθαι Ἁρμόδιον καὶ Ἀριστογείτονα, ὅτι τὸν ἕτερον τοῖν τυράννοιν ἔκτειναν καὶ τυραννίδα ὅτι κατέλυσαν. [4] ἐρέσθαι δὲ αὖθις τὸν Φιλώταν εἰ τῷ τύραννον κτείναντι ὑπάρχοι παρ᾽ οὕστινας ἐθέλει τῶν Ἑλλήνων φυγόντα σώζεσθαι· καὶ ἀποκρίνασθαι αὖθις Καλλισθένην, εἰ καὶ μὴ παρ᾽ ἄλλους, παρά γε Ἀθηναίους ὅτι φυγόντι ὑπάρχοι σώζεσθαι. τούτους γὰρ καὶ πρὸς Εὐρυσθέα πολεμῆσαι ὑπέρ τῶν παίδων τῶν Ἡρακλέους, τυραννοῦντα ἐν τῷ τότε τῆς Ἑλλάδος. [5] Ὑπὲρ δὲ τῆς προσκυνήσεως ὅπως ἠναντιώθη Ἀλεξάνδρῳ, καὶ τοιόσδε κατέχει λόγος. ξυγκεῖσθαι μὲν γὰρ τῷ Ἀλεξάνδρῳ πρὸς τοὺς σοφιστάς τε καὶ τοὺς ἀμφ᾽ αὐτὸν Περσῶν καὶ Μήδων τοὺς δοκιμωτάτους μνήμην τοῦ λόγου τοῦδε ἐν πότῳ ἐμβαλεῖν· [6] ἄρξαι δὲ τοῦ λόγου Ἀνάξαρχον, ὡς πολὺ δικαιότερον ἂν θεὸν νομιζόμενον Ἀλέξανδρον Διονύσου τε καὶ Ἡρακλέους, μὴ ὅτι τῶν ἔργων ἕνεκα ὅσα καὶ ἡλίκα καταπέπρακται

de un hombre sabio eso de que no es obligación de un rey previsor adecuar todas sus acciones a la Justicia, sino que hay que considerar justo cualquier cosa ejecutada por un rey de cualquier modo.

[9] Lo cierto es que prevaleció la versión de que Alejandro era partidario de la *proskýnesis* [38], por subsistir la idea de que su padre fue Amón y no Filipo [39], al igual que empezaba a manifestar su clara admiración por los vestidos persas y medos, a los que ya había cambiado, lo mismo que en todo lo referente a las nuevas modas en el atavío; tampoco carecía por este tiempo de aduladores pendientes de él en todo, menester en el que sobresalían especialmente dos sofistas que formaban parte de sus tertulias, Anaxarco, y el poeta épico Agis, natural de Argos.

***Calístenes*.**

10 Según se cuenta, el olintio Calístenes, que había asistido a las charlas de Aristóteles y que era hombre de carácter un tanto rudo, no aprobaba en absoluto este proceder de Alejandro, opinión ésta que yo comparto con Calístenes, aunque no me parezca razonable su afirmación (si es verdad que la hizo así) de que Alejandro y sus hazañas deben su celebridad al relato que de ellas hiciera el propio Calístenes. [2] No se trataba, decía, de que él hubiera ganado fama por Alejandro, sino que más bien fue él quien hizo célebre a Alejandro ante los hombres. Y si a los ojos de los hombres Alejandro participaba de naturaleza divina no se debía ello a las invenciones que sobre su nacimiento había tramado Olimpíade, sino que era por lo que él había escrito y divulgado entre los hombres acerca de la figura de Alejandro.

[3] Cuentan algunos la siguiente anécdota: preguntó Filotas a Calístenes en cierta ocasión qué ciudadano ateniense merecía su más alta estima. «Harmodio y Aristogitón —le contestó—, por haber dado muerte a uno de los dos tiranos y haber acabado con la tiranía» [40]. [4] De nuevo le preguntó Filotas, inquiriendo si a un tiranicida le sería posible encontrar asilo político en algún lugar de Grecia, a lo que Calístenes habría contestado: «De no encontrarlo en otra parte, al menos entre el pueblo ateniense sí le sería posible, pues ya ellos en tiempos lejanos habían defendido a los hijos de Heracles contra Euristeo, tirano a la sazón en Grecia.»

[5] También corre por ahí el siguiente relato a propósito de la oposición que Calístenes manifestaba frente a Alejandro sobre la *proskýnesis*: convinieron Alejandro, los sofistas y los más ilustres persas y medos de sus tertulias traer a colación este tema en el transcurso de una de sus charlas [41]. [6] Comenzó la argumentación Anaxarco, haciendo ver cómo Alejandro debía ser considerado con mayor justicia un dios que el propio Dioniso o Heracles [42]. Y ello, no tanto porque las hazañas de Alejandro fueran mayores y más numerosas,

Ἀλεξάνδρῳ, ἀλλὰ καὶ ὅτι Διόνυσος μὲν Θηβαῖος ἦν, οὐδέν τι προσήκων Μακεδόσι, καὶ Ἡρακλῆς Ἀργεῖος, οὐδὲ οὗτος προσήκων ὅτι μὴ κατὰ γένος τὸ Ἀλεξάνδρου· Ἡρακλείδην γὰρ εἶναι Ἀλέξανδρον· [7] Μακεδόνας δὲ ἂν τὸν σφῶν βασιλέα δικαιότερον θείαις τιμαῖς κοσμοῦντας. καὶ γὰρ οὐδὲ ἐκεῖνο εἶναι ἀμφίλογον ὅτι ἀπελθόντα γε ἐξ ἀνθρώπων ὡς θεὸν τιμήσουσι· πόσῳ δὴ δικαιότερον ζῶντα γεραίρειν ἤπερ τελευτήσαντα ἐς οὐδὲν ὄφελος τῷ τιμωμένῳ.

11. Λεχθέντων δὲ τούτων τε καὶ τοιούτων λόγων πρὸς Ἀναξάρχου τοὺς μὲν μετεσχηκότας τῆς βουλῆς ἐπαινεῖν τὸν λόγον καὶ δὴ ἐθέλειν ἄρχεσθαι τῆς προσκυνήσεως, τοὺς Μακεδόνας δὲ τοὺς πολλοὺς ἀχθομένους τῷ λόγῳ σιγῇ ἔχειν. [2] Καλλισθένην δὲ ὑπολαβόντα, Ἀλέξανδρον μέν, εἰπεῖν, ὦ Ἀνάξαρχε, οὐδεμιᾶς ἀνάξιον ἀποφαίνω τιμῆς ὅσαι ξύμμετροι ἀνθρώπῳ· ἀλλὰ διακεκρίσθαι γὰρ τοῖς ἀνθρώποις ὅσαι τε ἀνθρώπιναι τιμαὶ καὶ ὅσαι θεῖαι πολλοῖς μὲν καὶ ἄλλοις, καθάπερ ναῶν τε οἰκοδομήσει καὶ ἀγαλμάτων ἀναστάσει καὶ τεμένη ὅτι τοῖς θεοῖς ἐξαιρεῖται καὶ θύεται ἐκείνοις καὶ σπένδεται, καὶ ὕμνοι μὲν ἐς τοὺς θεοὺς ποιοῦνται, ἔπαινοι δὲ ἐς ἀνθρώπους—ἀτὰρ οὐχ ἥκιστα τῷ τῆς προσκυνήσεως νόμῳ. [3] τοὺς μὲν γὰρ ἀνθρώπους φιλεῖσθαι πρὸς τῶν ἀσπαζομένων, τὸ θεῖον δέ, ὅτι ἄνω που ἱδρυμένον καὶ οὐδὲ ψαῦσαι αὐτοῦ θέμις, ἐπὶ τῷδε ἄρα τῇ προσκυνήσει γεραίρεται, καὶ χοροὶ τοῖς θεοῖς ἵστανται καὶ παιᾶνες ἐπὶ τοῖς θεοῖς ᾄδονται. καὶ οὐδὲν θαυμαστόν, ὁπότε γε καὶ αὐτῶν τῶν θεῶν ἄλλοις ἄλλαι τιμαὶ πρόσκεινται, καὶ ναὶ μὰ Δία ἥρωσιν ἄλλαι, καὶ αὗται ἀποκεκριμέναι τοῦ θείου. [4] οὔκουν εἰκὸς ξύμπαντα ταῦτα ἀναταράσσοντας τοὺς μὲν ἀνθρώπους ἐς σχῆμα ὑπέρογκον καθιστάναι τῶν τιμῶν ταῖς ὑπερβολαῖς, τοὺς θεοὺς δὲ τό γε ἐπὶ σφίσιν ἐς ταπεινότητα οὐ πρέπουσαν καταβάλλειν τὰ ἴσα ἀνθρώποις τιμῶντας. οὔκουν οὐδὲ Ἀλέξανδρον ἀνασχέσθαι ἄν, εἰ τῶν ἰδιωτῶν τις εἰσποιοῖτο ταῖς βασιλικαῖς τιμαῖς χειροτονίᾳ ἢ ψήφῳ οὐ δικαίᾳ. [5] πολὺ ἂν οὖν δικαιότερον τοὺς θεοὺς δυσχεραίνειν ὅσοι ἄνθρωποι ἐς τὰς θείας τιμὰς σφᾶς εἰσποιοῦσιν ἢ πρὸς ἄλλων εἰσποιούμενοι ἀνέχονται. Ἀλέξανδρον δὲ πόρρω τοῦ ἱκανοῦ ἀνδρῶν ἀγαθῶν τὸν ἄριστον εἶναί τε καὶ δοκεῖν, καὶ βασιλέων τὸν βασιλικώτατον καὶ στρατηγῶν τὸν ἀξιοστρατηγότατον. [6] καὶ σέ, εἴπερ τινὰ ἄλλον, ὦ Ἀνάξαρχε,

sino porque Dioniso era tebano, sin parentesco por tanto con los macedonios, y Heracles un argivo, también extraño a la estirpe macedonia, a no ser por la línea de parentesco con Alejandro, ya que éste era descendiente de Heracles.

[7] De otra parte, lo más justo parecía ser que los macedonios honraran con honores divinos a su propio rey, pues no había la menor duda de que así harían cuando él no estuviera ya en este mundo, y que por tanto ¿cómo iba a ser más justo que le honraran como a un dios cuando hubiera muerto (cuando ya no obtendría de ello provecho alguno) que ahora que aún vivía?

Discurso de Calístenes contra la «proskýnesis»

11 Una vez que Anaxarco expuso su argumentación de la manera que he dicho, los que compartían sus mismos puntos de vista elogiaron su exposición, manifestando su voluntad de que se instaurara la *proskýnesis;* en cambio, los macedonios, en su mayor parte irritados con la argumentación, guardaban silencio. [2] Tomó entonces la palabra Calístenes y dijo [43]: «Anaxarco, de ningún honor que atribuible sea a un hombre declaro yo indigno a Alejandro; pero son muchos los medios de distinguir qué honores son propios del hombre y cuáles han reservado los hombres a los dioses. A los dioses se les erigen templos e imágenes, se les reservan bosques sagrados, a ellos se les sacrifica, y en su honor se celebran libaciones y se componen himnos; a los hombres, en cambio, corresponden los elogios. Mas en modo alguno esta costumbre de la *proskýnesis* es cosa insignificante [44].

[3] »Los hombres, al saludarse se dan un beso de amistad; pero si la *proskýnesis* se reserva a la divinidad como máximo honor es porque se trata de algo que está por encima de nosotros y no nos es lícito ni siquiera tocarlo; también en su honor se organizan los coros y se entonan peanes. Nada hay de extraño en ello, cuando ni siquiera los dioses todos reciben idénticos honores. Es más, por Zeus, hasta los héroes reciben honores distintos del de los dioses. [4] No parece, pues, adecuado confundir todo esto y ensalzar a los hombres a una dignidad excesiva, exagerando sus honores, para aminorar (en la medida en que los hombres pueden influir en esto) la honra de los dioses hasta niveles inadecuados, queriéndolos igualar a los hombres.

»Alejandro no consentiría, desde luego, que ningún particular accediera a los honores reales por elección o votación injusta; [5] por ello parece que con mayor razón sientan aversión los dioses contra cualquier hombre que buscara para sí acceder a los honores divinos, o que consintiera que otros le otorgaran y reconocieran dichos honores. Alejandro es, y así se le considera además con toda razón, el mejor de los hombres, el más regio rey, y el general más valeroso de todos los generales. [6] Y era a ti, antes que a ningún otro, Anaxarco, a quien

εἰσηγητήν τε τούτων τῶν λόγων ἐχρῆν γίγνεσθαι καὶ κωλυτὴν τῶν ἐναντίων, ἐπὶ σοφίᾳ τε καὶ παιδεύσει Ἀλεξάνδρῳ ξυνόντα. οὔκουν ἄρχειν γε τοῦδε τοῦ λόγου πρέπον ἦν, ἀλλὰ μεμνῆσθαι γὰρ οὐ Καμβύσῃ οὐδὲ Ξέρξῃ ξυνόντα ἢ ξυμβουλεύοντα, ἀλλὰ Φιλίππου μὲν παιδί, Ἡρακλείδῃ δὲ ἀπὸ γένους καὶ Αἰακίδῃ, ὅτου οἱ πρόγονοι ἐξ Ἄργους ἐς Μακεδονίαν ἦλθον, οὐδὲ βίᾳ, ἀλλὰ νόμῳ Μακεδόνων ἄρχοντες διετέλεσαν. [7] οὔκουν οὐδὲ αὐτῷ τῷ Ἡρακλεῖ ζῶντι ἔτι θεῖαι τιμαὶ παρ᾽ Ἑλλήνων ἐγένοντο, ἀλλ᾽ οὐδὲ τελευτήσαντι πρόσθεν ἢ πρὸς τοῦ θεοῦ τοῦ ἐς Δελφοῖς ἐπιθεσπισθῆναι ὡς θεὸν τιμᾶν Ἡρακλέα. εἰ δέ, ὅτι ἐν τῇ βαρβάρῳ γῇ οἱ λόγοι γίγνονται, βαρβαρικὰ χρὴ ἔχειν τὰ φρονήματα, καὶ ἐγὼ τῆς Ἑλλάδος μεμνῆσθαί σε ἀξιῶ, ὦ Ἀλέξανδρε, ἧς ἕνεκα ὁ πᾶς στόλος σοι ἐγένετο, προσθεῖναι τὴν Ἀσίαν τῇ Ἑλλάδι. [8] καὶ οὖν ἐνθυμήθητι, ἐκεῖσε ἐπανελθὼν ἆρά γε καὶ τοὺς Ἕλληνας τοὺς ἐλευθερωτάτους προσαναγκάσεις ἐς τὴν προσκύνησιν, ἢ Ἑλλήνων μὲν ἀφέξῃ, Μακεδόσι δὲ προσθήσεις τήνδε τὴν ἀτιμίαν, ἢ διακεκριμένα ἔσται σοι αὐτῷ τὰ τῶν τιμῶν ἐς ἅπαν, ὡς πρὸς Ἑλλήνων μὲν καὶ Μακεδόνων ἀνθρωπίνως τε καὶ Ἑλληνικῶς τιμᾶσθαι, πρὸς δὲ τῶν βαρβάρων μόνων βαρβαρικῶς; [9] εἰ δὲ ὑπὲρ Κύρου τοῦ Καμβύσου λέγεται πρῶτον προσκυνηθῆναι ἀνθρώπων Κῦρον καὶ ἐπὶ τῷδε ἐμμεῖναι Πέρσαις τε καὶ Μήδοις τήνδε τὴν ταπεινότητα, χρὴ ἐνθυμεῖσθαι ὅτι τὸν Κῦρον ἐκεῖνον Σκύθαι ἐσωφρόνισαν, πένητες ἄνδρες καὶ αὐτόνομοι, καὶ Δαρεῖον ἄλλοι αὖ Σκύθαι, καὶ Ξέρξην Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι, καὶ Ἀρτοξέρξην Κλέαρχος καὶ Ξενοφῶν καὶ οἱ ξὺν τούτοις μύριοι, καὶ Δαρεῖον τοῦτον Ἀλέξανδρος μὴ προσκυνούμενος.

12. Ταῦτα δὴ καὶ τοιαῦτα εἰπόντα Καλλισθένην ἀνιᾶσαι μὲν μεγαλωστὶ Ἀλέξανδρον, Μακεδόσι δὲ πρὸς θυμοῦ εἰπεῖν. καὶ τοῦτο γνόντα Ἀλέξανδρον πέμψαντα κωλῦσαι Μακεδόνας[I] μεμνῆσθαι ἔτι τῆς προσκυνήσεως. [2] ἀλλὰ σιγῆς γὰρ γενομένης ἐπὶ τοῖς λόγοις ἀναστάντας Περσῶν τοὺς πρεσβυτάτους ἐφεξῆς προσκυνεῖν. Λεοννάτον δέ, ἕνα τῶν ἑταίρων, ἐπειδή τις ἐδόκει τῶν Περσῶν αὐτῷ οὐκ ἐν κόσμῳ προσκυνῆσαι, τὸν δὲ ἐπιγελάσαι τῷ σχήματι τοῦ Περσοῦ

[I] Roos pone entre corchetes esta palabra.

correspondía ser el promotor [45] de estas reflexiones y censor de las contrarias, ya que asistes a Alejandro como sabio consejero y asesor. Inoportuno es que tú hayas encabezado una tal propuesta, en vez de recordar que no asistes ni aconsejas a un Cambises o un Jerjes, sino al hijo de Filipo, descendiente de Heracles y de Eaco, cuyos antepasados vinieron de Argos a Macedonia, donde reinan ininterrumpidamente desde entonces, no por la fuerza, sino de acuerdo con leyes justas.

[7] »Ni siquiera a Heracles tributaron honores divinos los griegos mientras vivió, e incluso después de muerto hubo de esperarse a que el dios de Delfos diera su autorización para tributarle honores propios de un dios. Ahora bien, si por encontrarnos tratando este tema en una región bárbara hay que pensar con mentalidad bárbara, creo, Alejandro, que he de pedirte que te acuerdes de Grecia, por cuyo motivo organizaste esta expedición, a fin de anexionar Asia a Grecia. [8] Considera detenidamente lo siguiente: cuando regreses a Grecia, ¿vas a obligar a los griegos, que son los hombres que en mayor aprecio tienen su libertad, a aceptar la *proskýnesis,* o eximirás de ella a los griegos, manteniéndola como afrentosa obligación para los macedonios? ¿O tal vez piensas delimitar de una vez por todas estas cuestiones de honores, de modo que recibas los que son propios del hombre de parte de griegos y macedonios, y reservarás modalidades que usan los bárbaros sólo para cuando te halles entre bárbaros?

[9] »Si, como se cuenta, Ciro el hijo de Cambises fue el primer hombre que recibió los honores de la *proskýnesis,* y esta humillante costumbre permaneció desde entonces entre persas y medos, debes recapacitar en que a este Ciro [46] bien cuerdo lo volvieron los escitas, gente libre aunque pobre, al igual que los otros escitas lo hicieron con Darío; los atenienses y lacedemonios con Jerjes [47]; Clearco y Jenofonte al frente de sus diez mil hombres con Artajerjes [48]; y tú mismo, Alejandro, que hasta ahora no has recibido este honor de la *proskýnesis,* lo has hecho con Darío.»

12 Tras pronunciar Calístenes su alocución en tales términos, Alejandro se sintió gravemente contrariado, aunque, por contra, sus palabras causaron entre los macedonios especial contento. Alejandro, conocedor de estas impresiones, manifestó su autorización a los macedonios de que podían olvidarse [49] de la *proskýnesis.* [2] Se produjo entonces tras las palabras de Alejandro un profundo silencio, y los más ancianos persas se fueron levantando y prosternando uno tras otro ante Alejandro. Leónato [50], uno de los Compañeros, observando que uno de los persas se postraba ante Alejandro con poca gracia, hizo mofa de la postura poco

ὡς ταπεινῷ· καὶ τούτῳ χαλεπήναντα τότε Ἀλέξανδρον ξυναλλαγῆναι αὖθις. ἀναγέγραπται δὲ δὴ καὶ τοιόσδε λόγος. [3] προπίνειν φιάλην χρυσῆν ἐν κύκλῳ Ἀλέξανδρον πρώτοις μὲν τούτοις πρὸς οὕστινας ξυνέκειτο αὐτῷ τὰ τῆς προσκυνήσεως, τὸν δὲ πρῶτον ἐκπιόντα τὴν φιάλην προσκυνῆσαί τε ἀναστάντα καὶ φιληθῆναι πρὸς αὐτοῦ, καὶ τοῦτο ἐφεξῆς διὰ πάντων χωρῆσαι. [4] ὡς δὲ ἐς Καλλισθένην ἧκεν ἡ πρόποσις, ἀναστῆναι μὲν Καλλισθένην καὶ ἐκπιεῖν τὴν φιάλην, καὶ προσελθόντα ἐθέλειν φιλῆσαι οὐ προσκυνήσαντα. τὸν δὲ τυχεῖν μὲν τότε διαλεγόμενον Ἡφαιστίωνι· οὔκουν προσέχειν τὸν νοῦν, εἰ καὶ τὰ τῆς προσκυνήσεως ἐπιτελῆ τῷ Καλλισθένει ἐγένετο. [5] ἀλλὰ Δημήτριον γὰρ τὸν Πυθώνακτος, ἕνα τῶν ἑταίρων, ὡς προσῄει αὐτῷ ὁ Καλλισθένης φιλήσων, φάναι ὅτι οὐ προσκυνήσας πρόσεισιν. καὶ τὸν Ἀλέξανδρον οὐ παρασχεῖν φιλῆσαι ἑαυτόν· τὸν δὲ Καλλισθένην, φιλήματι, φάναι, ἔλαττον ἔχων ἄπειμι. [6] Καὶ τούτων ἐγώ, ὅσα ἐς ὕβριν τε τὴν Ἀλεξάνδρου τὴν ἐν τῷ παραυτίκα καὶ ἐς σκαιότητα τὴν Καλλισθένους φέροντα, οὐδὲν οὐδαμῇ ἐπαινῶ, ἀλλὰ τὸ καθ᾽ αὑτὸν γὰρ κοσμίως τίθεσθαι ἐξαρκεῖν φημί, αὔξοντα ὡς ἀνυστὸν τὰ βασιλέως πράγματα ὅτῳ τις ξυνεῖναι οὐκ ἀπηξίωσεν. [7] οὔκουν ἀπεικότως δι᾽ ἀπεχθείας γενέσθαι Ἀλεξάνδρῳ Καλλισθένην τίθεμαι ἐπὶ τῇ ἀκαίρῳ τε παρρησίᾳ καὶ ὑπερόγκῳ ἀβελτερίᾳ. ἐφ᾽ ὅτῳ τεκμαίρομαι μὴ χαλεπῶς πιστευθῆναι τοὺς κατειπόντας Καλλισθένους, ὅτι μετέσχε τῆς ἐπιβουλῆς τῆς γενομένης Ἀλεξάνδρῳ ἐκ τῶν παίδων, τοὺς δέ, ὅτι καὶ ἐπῆρεν αὐτὸς ἐς τὸ ἐπιβουλεῦσαι. ξυνέβη δὲ τὰ τῆς ἐπιβουλῆς ὧδε.

13. Ἐκ Φιλίππου ἦν ἤδη καθεστηκὸς τῶν ἐν τέλει Μακεδόνων τοὺς παῖδας ὅσοι ἐς ἡλικίαν ἐμειρακιεύοντο καταλέγεσθαι ἐς θεραπείαν τοῦ βασιλέως, τά τε περὶ τὴν ἄλλην δίαιταν τοῦ σώματος διακονεῖσθαι βασιλεῖ καὶ κοιμώμενον φυλάσσειν τούτοις ἐπετέτραπτο. καὶ ὁπότε ἐξελαύνοι βασιλεύς, τοὺς ἵππους παρὰ τῶν ἱπποκόμων δεχόμενοι ἐκεῖνοι προσῆγον καὶ ἀνέβαλλον οὗτοι βασιλέα τὸν Περσικὸν τρόπον καὶ τῆς ἐπὶ θήρᾳ φιλοτιμίας βασιλεῖ κοινωνοὶ ἦσαν. [2] τούτων καὶ Ἑρμόλαος ἦν, Σωπόλιδος μὲν παῖς, φιλοσοφίᾳ δὲ ἐδόκει προσέχειν τὸν νοῦν καὶ Καλλισθένην θεραπεύειν ἐπὶ τῷδε. ὑπὲρ τούτου λόγος κατέχει, ὅτι ἐν θήρᾳ προσφερομένου Ἀλεξάνδρῳ συὸς

honrosa del persa. Esto le valió la irritación de Alejandro, aunque algo más tarde se reconcilió de nuevo con él.

También se comentaba la siguiente anécdota [51]: [3] Alejandro hizo pasar una copa de oro para beber en honor de aquellos que en un principio habían estado de acuerdo con él en ese tema de la *proskýnesis;* bebió de ella el primero, se puso en pie, y se postró ante Alejandro mientras recibía de él un beso. Así, uno tras otro, fue repitiéndose el ceremonial, [4] mas cuando el turno de beber llegó a Calístenes, se levantó éste y bebió de la copa, acercándose a Alejandro a besarle con el beso de despedida [52] sin haberse postrado ante él. Casualmente se hallaba Alejandro en ese momento charlando con Hefestión, sin prestar atención a si Calístenes cumplía fielmente el ceremonial de la *proskýnesis.* [5] Sin embargo, Demetrio el hijo de Pitonacte, uno de los Compañeros, que sí lo observaba hizo saber que Calístenes se acercaba por el beso de Alejandro sin haberse postrado ante él. Ante esta observación, Alejandro no consintió que Calístenes le besara, ante lo que éste exclamó: «Me marcho con un beso de menos» [53]. [6] De este incidente yo no puedo en modo alguno aprobar ni la arrogancia mostrada en este momento por Alejandro, ni el torpe proceder de Calístenes; antes bien, entiendo que un hombre debe saber comportarse en todo momento con decoro en su conducta particular, y estar dispuesto a ensalzar lo más posible todo lo concerniente a la monarquía, si es que se declara servidor de su rey.

[7] Por esto creo que no fue del todo inconveniente la animadversión que Alejandro mantuvo contra Calístenes, motivada por la importuna libertad de expresión y la arrogante necedad de que Calístenes hizo gala. De donde colijo yo que fácilmente alcanzaron credibilidad los detractores de Calístenes cuando le acusaron de haber participado en el complot que contra Alejandro prepararon sus Pajes; más aún, que llegara a creerse incluso por parte de algunos que el propio Calístenes fue uno de sus promotores. Acaeció esto de la siguiente manera [54]:

La conjura de los Pajes.

13 Existía una tradición, que se remontaba a los tiempos de Filipo, por la cual los hijos de los macedonios ricos e influyentes, al llegar a la adolescencia eran seleccionados para pasar al servicio del Rey. Implicaba este servicio, a más de la asistencia a la persona del monarca, actuar de guardia cuando se retiraba a dormir. Acompañaban también al rey cuando éste montaba a caballo, haciéndose cargo alguno de ellos del caballo cuando lo traían los palafreneros, y ayudaban al rey a montar al modo persa, siendo sus competidores en las jornadas de cacería. [2] Uno de ellos era un tal Hermolao, hijo de Sopólide, dedicado al parecer al estudio de la filosofía y asiduo acompañante por este motivo de Calístenes. Sigue así la anécdota que de él se cuenta: en el transcurso de una cacería un jabalí se lanzó sobre Alejandro, y fue Hermolao quien abatió a la fiera

ἔφθη βαλὼν τὸν σῦν ὁ Ἑρμόλαος· καὶ ὁ μὲν σῦς πίπτει βληθείς, Ἀλέξανδρος δὲ τοῦ καιροῦ ὑστερήσας ἐχαλέπηνε τῷ Ἑρμολάῳ καὶ κελεύει αὐτὸν πρὸς ὀργὴν πληγὰς λαβεῖν ὁρώντων τῶν ἄλλων παίδων, καὶ τὸν ἵππον αὐτοῦ ἀφείλετο. [3] Τοῦτον τὸν Ἑρμόλαον ἀλγήσαντα τῇ ὕβρει φράσαι πρὸς Σώστρατον τὸν Ἀμύντου, ἡλικιώτην τε ἑαυτοῦ καὶ ἐραστὴν ὄντα, ὅτι οὐ βιωτόν οἵ ἐστι μὴ τιμωρησαμένῳ Ἀλέξανδρον τῆς ὕβρεως, καὶ τὸν Σώστρατον οὐ χαλεπῶς συμπεῖσαι μετασχεῖν τοῦ ἔργου, ἅτε ἐρῶντα. [4] ὑπὸ τούτων δὲ ἀναπεισθῆναι Ἀντίπατρόν τε τὸν Ἀσκληπιοδώρου τοῦ Συρίας σατραπεύσαντος καὶ Ἐπιμένην τὸν Ἀρσαίου καὶ Ἀντικλέα τὸν Θεοκρίτου καὶ Φιλώταν τὸν Κάρσιδος τοῦ Θρᾳκός. ὡς οὖν περιῆκεν ἐς Ἀντίπατρον ἡ νυκτερινὴ φυλακή, ταύτῃ τῇ νυκτὶ ξυγκείμενον εἶναι ἀποκτεῖναι Ἀλέξανδρον, κοιμωμένῳ ἐπιπεσόντας. [5] Ξυμβῆναι δὲ οἱ μὲν αὐτομάτως λέγουσιν ἔστε <ἐφ᾽> ἡμέραν πίνειν Ἀλέξανδρον, Ἀριστόβουλος δὲ ὧδε ἀνέγραψε. Σύραν γυναῖκα ἐφομαρτεῖν Ἀλεξάνδρῳ κάτοχον ἐκ τοῦ θείου γιγνομένην καὶ ταύτην τὸ μὲν πρῶτου γέλωτα εἶναι Ἀλεξάνδρῳ τε καὶ τοῖς ἀμφ᾽ αὐτόν· ὡς δὲ τὰ πάντα ἐν τῇ κατοχῇ ἀληθεύουσα ἐφαίνετο, οὐκέτι ἀμελεῖσθαι ὑπ᾽ Ἀλεξάνδρου, ἀλλ᾽ εἶναι γὰρ τῇ Σύρᾳ πρόσοδον πρὸς τὸν βασιλέα καὶ νύκτωρ καὶ μεθ᾽ ἡμέραν, καὶ καθεύδοντι πολλάκις ἤδη ἐπιστῆναι. [6] καὶ δὴ καὶ τότε ἀπαλλασσομένου ἐκ τοῦ πότου κατεχομένην ἐκ τοῦ θείου ἐντυχεῖν, καὶ δεῖσθαι ἐπανελθόντα πίνειν ὅλην τὴν νύκτα· καὶ Ἀλέξανδρον θεῖόν τι εἶναι νομίσαντα ἐπανελθεῖν τε καὶ πίνειν, καὶ οὕτως τοῖς παισὶ διαπεσεῖν τὸ ἔργον. [7] Τῇ δὲ ὑστεραίᾳ Ἐπιμένης ὁ Ἀρσαίου τῶν μετεχόντων τῆς ἐπιβουλῆς φράζει τὴν πρᾶξιν Χαρικλεῖ τῷ Μενάνδρου, ἐραστῇ ἑαυτοῦ γεγονότι· Χαρικλῆς δὲ φράζει Εὐρυλόχῳ τῷ ἀδελφῷ τῷ Ἐπιμένους. καὶ ὁ Εὐρύλοχος ἐλθὼν ἐπὶ τὴν σκηνὴν τὴν Ἀλεξάνδρου Πτολεμαίῳ τῷ Λάγου τῷ σωματοφύλακι καταλέγει ἅπαν τὸ πρᾶγμα· ὁ δὲ Ἀλεξάνδρῳ ἔφρασε. καὶ ὁ Ἀλέξανδρος ξυλλαβεῖν κελεύει ὧν τὰ ὀνόματα εἶπεν ὁ Εὐρύλοχος· καὶ οὗτοι στρεβλούμενοι σφῶν τε αὐτῶν κατεῖπον τὴν ἐπιβουλὴν καί τινας καὶ ἄλλους ὠνόμασαν.

14. Ἀριστόβουλος μὲν λέγει ὅτι καὶ Καλλισθένην ἐπᾶραι σφᾶς ἔφασαν ἐς τὸ τόλμημα· καὶ Πτολεμαῖος ὡσαύτως λέγει. οἱ δὲ πολλοὶ οὐ ταύτῃ λέγουσιν, ἀλλὰ διὰ μῖσος γὰρ τὸ ἤδη ὂν πρὸς Καλλισθένην ἐξ

antes de que Alejandro pudiera reaccionar. El jabalí cayó malherido por Hermolao, lo que le valió la animadversión de Alejandro, molesto consigo mismo por no haber sabido reaccionar a tiempo. Cegado por la ira, Alejandro mandó azotar a Hermolao en presencia de los demás Pajes, despojándole de su caballo. [3] Dolido Hermolao por la injuria recibida, habló a Sóstrato, el hijo de Amintas, joven de su misma edad a más de su amante, de que no merecía la pena seguir viviendo sin castigar a Alejandro por su insolencia. Consiguió convencer a Sóstrato fácilmente, como amante suyo que era, de que participara en este plan [55], [4] y entre ambos convencieron a Antípatro, el hijo de Asclepiodoro, que había sido sátrapa de Siria; luego a Epímenes, hijo de Arseo; a Anticles, hijo de Teócrito, y a Filotas, hijo de Carsis el tracio. Convinieron todos en que cuando le correspondiera el turno de guardia de noche a Antípatro asesinarían a Alejandro, atacándole cuando ya estuviera acostado.

[5] Según relatan algunos por su cuenta, acaeció que Alejandro estuvo bebiendo aquella noche casi hasta el amanecer; por su parte, Aristobulo narra este pasaje de la siguiente manera: una mujer siria, inspirada por don de la divinidad, seguía por entonces constantemente los pasos de Alejandro, aunque éste y los de su séquito la tomaban al principio a broma. Mas como vieran al cabo de algún tiempo que cuanto ella decía hallándose en trance se cumplía, Alejandro empezó a prestarle atención, permitiéndole el acceso a su persona a cualquier hora del día o de la noche, hasta llegar a convertirse en vigilante del sueño del rey mientras este dormía. [6] Pues bien, fue en esta ocasión cuando ella, hallándose en trance adivinatorio, se encontró con Alejandro que se retiraba de la fiesta y le aconsejó que volviera sobre sus pasos y continuara bebiendo durante toda la noche [56]. Alejandro vio en este aviso una señal del cielo, por lo que se volvió a reemprender la fiesta, dando así al traste con el complot de las Pajes.

[7] Al día siguiente Epímenes, el hijo de Arseo, uno de los conjurados, comentó a Caricles, hijo de Menandro, a la sazón su amante, todo el complot. Caricles lo contó a Euríloco, hermano de Epímenes, y este Euríloco se presentó en la tienda de Alejandro a narrarle con todo lujo de detalles el asunto a Tolomeo, el hijo de Lago, miembro de la guardia personal de Alejandro. Al momento informó éste de todo a Alejandro, quien ordenó acto seguido la detención de aquellos que Euríloco había mencionado. Sometidos a tortura, confesaron su complot y citaron los nombres de los demás conjurados.

***Muerte de Calístenes*.**

14 Aristobulo nos cuenta que Calístenes fue uno de los instigadores del complot, y en este testimonio coincide con él Tolomeo. Otros, sin embargo, tienen del suceso una versión diferente, según la cual Alejandro dio fácil crédito a las acusaciones contra Calístenes sólo por el odio que

Ἀλεξάνδρου καὶ ὅτι ὁ Ἑρμόλαος ἐς τὰ μάλιστα ἐπιτήδειος ἦν τῷ Καλλισθένει, οὐ χαλεπῶς πιστεῦσαι τὰ χείρω ὑπὲρ Καλλισθένους Ἀλέξανδρον. [2] ἤδη δέ τινες καὶ τάδε ἀνέγραψαν, τὸν Ἑρμόλαον προαχθέντα ἐς τοὺς Μακεδόνας ὁμολογεῖν τε ἐπιβουλεῦσαι—καὶ γὰρ οὐκ εἶναι ἔτι ἐλευθέρῳ ἀνδρὶ φέρειν τὴν ὕβριν τὴν Ἀλεξάνδρου—πάντα καταλέγοντα, τήν τε Φιλώτα οὐκ ἔνδικον τελευτὴν καὶ <τὴν> τοῦ πατρὸς αὐτοῦ Παρμενίωνος ἔτι ἐκνομωτέραν καὶ τῶν ἄλλων τῶν τότε ἀποθανόντων, καὶ τὴν Κλείτου ἐν μέθῃ ἀναίρεσιν, καὶ τὴν ἐσθῆτα τὴν Μηδικήν, καὶ τὴν προσκύνησιν τὴν βουλευθεῖσαν καὶ οὔπω πεπαυμένην, καὶ πότους τε καὶ ὕπνους τοὺς Ἀλεξάνδρου· ταῦτα οὐ φέροντα ἔτι ἐλευθερῶσαι ἐθελῆσαι ἑαυτόν τε καὶ τοὺς ἄλλους Μακεδόνας. τοῦτον μὲν δὴ αὐτόν τε καὶ τοὺς ξὺν αὐτῷ ξυλληφθέντας καταλευσθῆναι πρὸς τῶν παρόντων. [3] Καλλισθένην δὲ Ἀριστόβουλος μὲν λέγει δεδεμένον ἐν πέδαις ξυμπεριάγεσθαι τῇ στρατιᾷ, ἔπειτα νόσῳ τελευτῆσαι, Πτολεμαῖος δὲ ὁ Λάγου στρεβλωθέντα καὶ κρεμασθέντα ἀποθανεῖν. οὕτως οὐδὲ οἱ πάνυ πιστοὶ ἐς τὴν ἀφήγησιν καὶ ξυγγενόμενοι ἐν τῷ τότε Ἀλεξάνδρῳ ὑπὲρ τῶν γνωρίμων τε καὶ οὐ λαθόντων σφᾶς ὅπως ἐπράχθη ξύμφωνα ἀνέγραψαν. [4] πολλὰ δὲ καὶ ἄλλα ὑπὲρ τούτων αὐτῶν ἄλλοι ἄλλως ἀφηγήσαντο, ἀλλ᾽ ἐμοὶ ταῦτα ἀποχρῶντα ἔστω ἀναγεγραμμένα. ταῦτα μὲν δὴ οὐ πολλῷ ὕστερον πραχθέντα ἐγὼ ἐν τοῖσδε τοῖς ἀμφὶ Κλεῖτον ξυνενεχθεῖσιν Ἀλεξάνδρου ἀνέγραψα, τούτοις μᾶλλόν τι οἰκεῖα ὑπολαβὼν ἐς τὴν ἀφήγησιν.

15. Παρ᾽ Ἀλέξανδρον δὲ ἧκεν καὶ αὖθις Σκυθῶν τῶν ἐκ τῆς Εὐρώπης πρεσβεία ξὺν τοῖς πρέσβεσιν οἷς αὐτὸς ἐς Σκύθας ἔστειλεν. ὁ μὲν δὴ τότε βασιλεὺς τῶν Σκυθῶν ὅτε οὗτοι ὑπὸ Ἀλεξάνδρου ἐπέμποντο τετελευτηκὼς ἐτύγχανεν, ἀδελφὸς δὲ ἐκείνου ἐβασίλευεν. [2] ἦν δὲ ὁ νοῦς τῆς πρεσβείας Σκύθας καὶ δῶρα ἔφερον Ἀλεξάνδρῳ παρὰ τοῦ Ἀλεξάνδρῳ παρὰ τοῦ Ἀλεξάνδρῳ παρὰ τοῦ βασιλέως τῶν Σκυθῶν ὅσα μέγιστα νομίζεται ἐν Σκύθαις· καὶ τὴν θυγατέρα ὅτι ἐθέλει Ἀλεξάνδρῳ δοῦναι γυναῖκα βεβαιότητος οὕνεκα τῆς πρὸς Ἀλέξανδρον φιλίας τε καὶ ξυμμαχίας. [3] εἰ δὲ ἀπαξιοῖ τὴν Σκυθῶν βασίλισσαν γῆμαι Ἀλέξανδρος, ἀλλὰ τῶν γε σατραπῶν τῶν τῆς Σκυθικῆς χώρας καὶ ὅσοι ἄλλοι δυνάσται κατὰ τὴν γῆν τὴν Σκυθίδα, τούτων τὰς παῖδας ἐθέλειν δοῦναι τοῖς πιστοτάτοις τῶν ἀμφ᾽ Ἀλέξανδρον· ἥξειν δὲ καὶ αὐτὸς

ya por entonces sentía hacia su persona, y porque Hermolao mantenía uno amistad especial con Calístenes. [2] A este propósito, algunos historiadores nos traen a la memoria que Hermolao reconoció, al ser conducido ante los macedonios, haber formado parte del complot (ya que a su juicio ningún hombre libre podía soportar más la soberbia de Alejandro), al tiempo que hacía el recuento de las nuevas costumbres y sucesos últimamente acaecidos: la injusta muerte de Filotas, y la aún más ilegal muerte de su padre, Parmenión, y las de otros que por entonces habían perecido asesinados, la eliminación de Clito en el transcurso de la fiesta, las modas medas en el vestir, la recomendada y aún no derogada costumbre de la *proskýnesis,* así como las fiestas y horas a que últimamente se solía recoger Alejandro. De todo esto quería él verse libre y liberar a los demás macedonios.

Él y los con él apresados fueron apedreados por los presentes. [3] Según cuenta Aristobulo, Calístenes fue cargado de grilletes y tuvo que desfilar así ante todo el campamento, muriendo más tarde de enfermedad. Según Tolomeo, el hijo de Lago, sin embargo, fue sometido a tortura y colgado hasta que murió.

Observemos cómo ni las fuentes generalmente fiables, que acompañaban incluso a Alejandro [57] en esta ocasión, concuerdan en las versiones que nos transmiten de los hechos que entonces ocurrieron, a pesar de ser éstos bien conocidos y públicos. [4] Hay todavía varías otras versiones a propósito de estos sucesos; básteme a mí, empero, con lo que ya he recordado. Como dije, estos acontecimientos tuvieron lugar, cronológicamente hablando, un poco más tarde [58], aunque yo he preferido traerlos a colación a propósito del incidente de Clito y Alejandro, por considerar que era aquí donde mejor cuadraban al hilo en que voy desarrollando mi narración.

Legación de los escitas y corasmios.

15 De nuevo se presentó ante Alejandro una legación de los escitas europeos, acompañando a los embajadores que Alejandro había enviado a Escitia [59]. Resultaba que el rey escita a quien Alejandro los había despachado acababa de morir y era ahora su hermano quien le sucedía en el trono. [2] El propósito de la legación escita era expresar a Alejandro que los escitas estaban dispuestos a cumplir cuanto Alejandro ordenara, en prueba de lo cual le traían regalos de parte de su rey, precisamente aquellos que los propios escitas estiman como más valiosos. El rey escita ofrecía su hija a Alejandro por esposa como garantía de amistad y alianza. [3] Ahora bien, si Alejandro descartaba su boda con la princesa escita, estaba dispuesto a ofrecer a los más leales hombres de Alejandro las hijas de los sátrapas y de los nobles del pueblo escita. El propio rey estaba presto,

ἔφασκεν, εἰ κελεύοιτο, ὡς παρ᾽ αὐτοῦ Ἀλεξάνδρου ἀκοῦσαι ὅσα ἐπαγγέλλοι. [4] ἀφίκετο δ᾽ ἐν τούτῳ παρ᾽ Ἀλέξανδρον καὶ Φαρασμάνης ὁ Χορασμίων βασιλεὺς ξὺν ἱππεῦσι χιλίοις καὶ πεντακοσίοις. ἔφασκεν δὲ ὁ Φαρασμάνης ὅμορος οἰκεῖν τῷ τε Κόλχων γένει καὶ ταῖς γυναιξὶ ταῖς Ἀμαζόσι, καὶ εἰ ἐθέλοι Ἀλέξανδρος ἐπὶ Κόλχους τε καὶ Ἀμαζόνας ἐλάσας καταστρέψασθαι τὰ ἐπὶ τὸν πόντον τὸν Εὔξεινον ταύτῃ καθήκοντα γένη, ὁδῶν τε ἡγεμὼν ἔσεσθαι ἐπηγγέλλετο καὶ τὰ ἐπιτήδεια τῇ στρατιᾷ παρασκευάσειν. [5] Τοῖς τε οὖν παρὰ τῶν Σκυθῶν ἥκουσι φιλάνθρωπα ἀποκρίνεται Ἀλέξανδρος καὶ ἐς τὸν τότε καιρὸν ξύμφορα, γάμου δὲ οὐδὲν δεῖσθαι Σκυθικοῦ, καὶ Φαρασμάνην ἐπαινέσας τε καὶ φιλίαν καὶ ξυμμαχίαν πρὸς αὐτὸν ξυνθέμενος αὐτῷ μὲν τότε οὐκ ἔφη ἐν καιρῷ εἶναι ἐλαύνειν ἐπὶ τὸν Πόντον· Ἀρταβάζῳ δὲ τῷ Πέρσῃ, ὅτῳ τὰ Βακτρίων ἐξ Ἀλεξάνδρου ἐπετέτακτο, καὶ ὅσοι ἄλλοι πρόσχωροι τούτῳ σατράπαι ξυστήσας Φαρασμάνην ἀποπέμπει ἐς τὰ ἤθη τὰ αὑτοῦ. [6] αὑτῷ δὲ τὰ Ἰνδῶν ἔφη ἐν τῷ τότε μέλειν. τούτους γὰρ καταστρεψάμενος πᾶσαν ἂν ἤδη ἔχειν τὴν Ἀσίαν· ἐχομένης δὲ τῆς Ἀσίας ἐπανιέναι ἂν ἐς τὴν Ἑλλάδα, ἐκεῖθεν δ᾽ ἐφ᾽ Ἑλλησπόντου τε καὶ τῆς Προποντίδος ξὺν τῇ δυνάμει πάσῃ τῇ τε ναυτικῇ καὶ τῇ πεζικῇ ἐλάσειν εἴσω τοῦ Πόντου· καὶ ἐς τὸ τότε ἠξίου ἀποθέσθαι Φαρασμάνην ὅσα ἐν τῷ παραυτίκα ἐπηγγέλλετο. [7] Αὐτὸς δὲ ἐπὶ τὸν Ὦξον τε ποταμὸν ᾔει αὖθις καὶ εἰς τὴν Σογδιανὴν προχωρεῖν ἐγνώκει, ὅτι πολλοὺς τῶν Σογδιανῶν ἐς τὰ ἐρύματα ξυμπεφευγέναι ἠγγέλλετο οὐδὲ ἐθέλειν κατακούειν τοῦ σατράπου, ὅστις αὐτοῖς ἐξ Ἀλεξάνδρου ἐπετέτακτο. στρατοπεδεύοντος δὲ αὐτοῦ ἐπὶ τῷ ποταμῷ τῷ Ὤξῳ οὐ μακρὰν τῆς σκηνῆς τῆς αὐτοῦ Ἀλεξάνδρου πηγὴ ὕδατος καὶ ἄλλη ἐλαίου πηγὴ πλησίον αὐτῆς ἀνέσχε. [8] καὶ Πτολεμαίῳ τῷ Λάγου τῷ σωματοφύλακι ἐπειδὴ ἐσηγγέλθη τὸ τέρας, Πτολεμαῖος Ἀλεξάνδρῳ ἔφρασεν. Ἀλέξανδρος δὲ ἔθυεν ἐπὶ τῷ φάσματι ὅσα οἱ μάντεις ἐξηγοῦντο. Ἀρίστανδρος δὲ πόνων εἶναι σημεῖον τοῦ ἐλαίου τὴν πηγὴν ἔφασκεν, ἀλλὰ καὶ νίκην ἐπὶ τοῖς πόνοις σημαίνειν.

16. Διαβὰς οὖν ξὺν μέρει τῆς στρατιᾶς ἐς τὴν Σογδιανήν, Πολυπέρχοντα δὲ καὶ Ἄτταλον καὶ Γοργίαν καὶ Μελέαγρον αὐτοῦ ἐν Βάκτροις ὑπολιπόμενος τούτοις μὲν παρήγγειλεν τὴν τε χώραν ἐν φυλακῇ ἔχειν, ὡς μή τι νεωτερίσωσιν οἱ ταύτῃ βάρβαροι, καὶ τοὺς ἔτι

si se le autorizaba a presentarse ante Alejandro y oír de él lo que tuviera a bien disponer [60].

[4] Compareció también por este tiempo ante Alejandro Farásmanes, el rey de los corasmios, acompañado de mil quinientos jinetes, diciendo que era vecino del pueblo de los colcos y del de las amazonas [61], y que estaba dispuesto a servirle de guía por la región y proporcionarle provisiones para su ejército, en el caso de que quisiera atacar a los colcos y las amazonas y subyugar a los pueblos que habitan aquella zona del Ponto Euxino [62].

[5] Alejandro contestó a los embajadores escitas amablemente y de la manera que mejor le convenía por el momento, diciendo que no tenía necesidad de casarse con una princesa escita. En cuanto a Farásmenes, elogió su gesto, ofrecióle su amistad y alianza, aunque le dijo que en estos momentos no entraba en sus planes avanzar hacia el Ponto. Envió Alejandro a Farásmenes de regreso a su país, después de haberlo presentado al persa Artabazo, a quien Alejandro había dejado al frente de la Bactria, y a los demás sátrapas de las regiones vecinas. [6] Afirmó que en la actualidad su interés era llegar a la India, y que una vez allí y dueño ya de la India, tendría bajo su poder todo el Asia, y una vez en su poder Asia podría regresar a Grecia, para más tarde adentrarse por el Helesponto y la Propóntide hacia el interior de la región del Ponto con todas sus fuerzas de infantería y su armada. Pidió, pues, a Farásmenes que aplazara para entonces las muestras de amistad que ahora le ofrecía [63].

[7] Alejandro se volvió hacia el río Oxo tras tomar la decisión de avanzar hacia Sogdiana, por haberse informado de que muchos sogdianos se habían refugiado en sus fuertes y no obedecían ya las órdenes del sátrapa nombrado por Alejandro. Cerca de donde él había fijado su tienda en el campamento cercano al río Oxo brotaron dos manantiales cercanos entre sí: uno de agua y otro de una sustancia oleaginosa [64]. [8] Se dio conocimiento de este fenómeno a Tolomeo, el hijo de Lago, miembro de su guardia personal, quien fue a anunciarlo a Alejandro. Ofreció éste un sacrificio ante este portento, según dispusieron los adivinos. Aristandro interpretó la fuente de aceite como indicio de futuros sufrimientos, pero ello apuntaba también a la victoria que tras algunos contratiempos sobrevendría.

***Alejandro en Sogdiana*.**

16 Con una parte de su ejército avanzó Alejandro hacia Sogdiana, dejando en Bactria a Poliperconte, Átalo, Gorgias y Meleagro con el encargo de proteger la región, evitando cualquier intento de sublevación de los bactrios de aquella zona, y de

ἀφεστηκότας αὐτῶν ἐξαιρεῖν· [2] αὐτὸς δὲ ἐς πέντε μέρη διελὼν τὴν ἅμα οἷ στρατιὰν τῶν μὲν Ἡφαιστίωνα ἄρχειν ἔταξε, τῶν δὲ Πτολεμαῖον τὸν Λάγου τὸν σωματοφύλακα· τοῖς τρίτοις δὲ Περδίκκαν ἐπέταξε· τῆς δὲ τετάρτης τάξεως Κοῖνος καὶ Ἀρτάβαζος ἡγοῦντο αὐτῷ· τὴν δὲ πέμπτην μοῖραν ἀναλαβὼν αὐτὸς ἐπῄει τὴν χώραν ὡς ἐπὶ Μαράκανδα. [3] καὶ οἱ ἄλλοι ὡς ἑκάστοις προὐχώρει ἐπῄεσαν, τοὺς μέν τινας τῶν ἐς τὰ ἐρύματα ξυμπεφευγότων βίᾳ ἐξαιροῦντες, τοὺς δὲ καὶ ὁμολογίᾳ προσχωροῦντάς σφισιν ἀναλαμβάνοντες. ὡς δὲ ξύμπασα αὐτῷ ἡ δύναμις ἐπελθοῦσα τῶν Σογδιανῶν τῆς χώρας τὴν πολλὴν ἐς Μαράκανδα ἀφίκετο, Ἡφαιστίωνα μὲν ἐκπέμπει τὰς ἐν τῇ Σογδιανῇ πόλεις συνοικίζειν, Κοῖνον δὲ καὶ Ἀρτάβαζον ὡς ἐς Σκύθας, ὅτι ἐς Σκύθας καταπεφευγέναι Σπιταμένης αὐτῷ ἐξηγγέλλετο, αὐτὸς δὲ ξὺν τῇ λοιπῇ στρατιᾷ ἐπιὼν τῆς Σογδιανῆς ὅσα ἔτι πρὸς τῶν ἀφεστηκότων κατείχετο ταῦτα οὐ χαλεπῶς ἐξῄρει. [4] Ἐν τούτοις δὲ Ἀλεξάνδρου ὄντος Σπιταμένης τε καὶ σὺν αὐτῷ τῶν Σογδιανῶν τινες φυγάδων ἐς τῶν Σκυθῶν τῶν Μασσαγετῶν καλουμένων τὴν χώραν ξυμπεφευγότες ξυναγαγόντες τῶν Μασσαγετῶν ἱππέας ἑξακοσίους ἀφίκοντο πρός τι φρούριον τῶν κατὰ τὴν Βακτριανήν. [5] καὶ τῷ τε φρουράρχῳ οὐδὲν πολέμιον προσδεχομένῳ ἐπιπεσόντες καὶ τοῖς ξὺν τούτῳ τὴν φυλακὴν ἔχουσιν τοὺς μὲν στρατιώτας διέφθειραν, τὸν φρούραρχον δὲ ἑλόντες ἐν φυλακῇ εἶχον. θαρσήσαντες δὲ ἐπὶ τοῦ φρουρίου τῇ καταλήψει ὀλίγαις ἡμέραις ὕστερον Ζαριάσποις πελάσαντες τῇ μὲν πόλει προσβαλεῖν ἀπέγνωσαν, λείαν δὲ πολλὴν περιβαλλόμενοι ἤλαυνον. [6] Ἦσαν δὲ ἐν τοῖς Ζαριάσποις νόσῳ ὑπολελειμμένοι τῶν ἑταίρων ἱππέων οὐ πολλοὶ καὶ ξὺν τούτοις Πείθων τε ὁ Σωσικλέους, ἐπὶ τῆς βασιλικῆς θεραπείας τῆς ἐν Ζαριάσποις τεταγμένος, καὶ Ἀριστόνικος ὁ κιθαρῳδός. καὶ οὗτοι αἰσθόμενοι τῶν Σκυθῶν τὴν καταδρομήν (ἤδη γὰρ ἐκ τῆς νόσου ἀναρρωσθέντες ὅπλα τε ἔφερον καὶ τῶν ἵππων ἐπέβαινον) ξυναγαγόντες τούς τε μισθοφόρους ἱππέας ἐς ὀγδοήκοντα, οἳ ἐπὶ φυλακῇ τῶν Ζαριάσπων ὑπολελειμμένοι ἦσαν, καὶ τῶν παίδων τινὰς τῶν βασιλικῶν ἐκβοηθοῦσιν ἐπὶ τοὺς Μασσαγέτας. [7] καὶ τῇ μὲν πρώτῃ προσβολῇ οὐδὲν ὑποτοπήσασι τοῖς Σκύθαις ἐπιπεσόντες τήν τε λείαν ξύμπασαν ἀφείλοντο αὐτοὺς καὶ τῶν ἀγόντων τὴν λείαν οὐκ ὀλίγους ἀπέκτειναν. ἐπανιόντες δὲ αὐτοὶ ἀτάκτως, ἅτε οὐδενὸς

eliminar a los que aún fomentaban la secesión.

[2] Dividió sus tropas en cinco partes, encargando a Hefestión el mando de una de ellas, otra a Tolomeo, hijo de Lago, miembro de su guardia personal; al frente de la tercera sección puso a Perdicas; Ceno y Artabazo comandarían el cuarto batallón, reservándose para sí la quinta y última, con la que emprendió la marcha hacia Maracanda. [3] Las cuatro restantes secciones continuaron su avance según sus propios éxitos se lo iban posibilitando, dando muerte a los que se habían refugiado en los fuertes, o acogiendo a los que se les rendían bajo ciertas condiciones. Una vez estuvo todo su ejército en Maracanda, después de haber atravesado la mayor parte del territorio sogdiano, despachó a Hefestión a asentar algunos colonos en determinadas ciudades sogdianas, y a Ceno y Artabazo hacia territorio escita, ya que había tenido noticias de que Espitámenes había encontrado allí refugio. Mientras tanto él se dirigió con el resto de las tropas a aquellas zonas de Sogdiana ocupadas aún por los rebeldes, a los que desalojó de sus asentamientos sin mayor dificultad.

[4] Ocupado Alejandro en estas maniobras, Espitámenes y algunos fugitivos sogdianos que le acompañaban escaparon a la región de los escitas conocida con el nombre de Maságeta [65], reclutaron allí seiscientos jinetes maságetas y se presentaron frente a uno de los fuertes de la región de Bactria. [5] Cayeron inesperadamente sobre la guarnición del fuerte, sorprendiendo al comandante de puesto, que en modo alguno esperaba un ataque del enemigo; dieron muerte a la guarnición y retuvieron como prisionero y rehén al comandante del puesto. Envalentonados por la fácil captura de este fuerte, se acercaron pocos días después a Zariaspa [66], aunque no se decidieron a atacar la ciudad, sino que la rodearon con sus tropas, llevándose de ella abundante botín.

[6] En Zariaspa habían quedado algunos jinetes del grupo de los Compañeros, aquejados de alguna enfermedad, y con ellos estaba como defensor, por encargo del rey, Pitón, hijo de Sosicles, y el citaredo Aristónico. Al tener éstos noticias de la incursión que llevaban a cabo contra la ciudad los escitas (y dado que ya estaban en gran parte restablecidos de sus enfermedades y podían utilizar sus armas y montar a caballo), reunieron unos ochenta jinetes mercenarios que componían la guarnición de Zariaspa, a más de algunos pajes al servicio del rey, y salieron de la ciudad lanzándose en tromba contra los masagetas.

[7] Al caer por sorpresa sobre los escitas, ajenos por completo a este ataque, recuperaron el botín que éstos habían robado, y dieron muerte a gran parte de los encargados de su transporte y custodia. Sin embargo, al iniciar el regreso a la ciudad lo hicieron en completo desorden, por no

ἐξηγουμένου, ἐνεδρευθέντες πρὸς Σπιταμένους καὶ τῶν Σκυθῶν τῶν μὲν ἑταίρων ἀποβάλλουσιν ἑπτά, τῶν δὲ μισθοφόρων ἱππέων ἑξήκοντα. καὶ Ἀριστόνικος ὁ κιθαρῳδὸς αὐτοῦ ἀποθνήσκει, οὐ κατὰ κιθαρῳδὸν ἀνὴρ ἀγαθὸς γενόμενος. Πείθων δὲ τρωθεὶς ζῶν λαμβάνεται πρὸς τῶν Σκυθῶν.

17. Καὶ ταῦτα ὡς Κρατερῷ ἐξηγγέλθη, σπουδῇ ἐπὶ τοὺς Μασσαγέτας ἤλαυνεν. οἱ δὲ ὡς ἐπύθοντο πλησίον ἐπελαύνοντά σφισι Κρατερόν, ἔφευγον ἀνὰ κράτος ὡς εἰς τὴν ἐρήμην. καὶ Κρατερὸς ἐχόμενος αὐτῶν αὐτοῖς τε ἐκείνοις περιπίπτει οὐ πόρρω τῆς ἐρήμου καὶ ἄλλοις ἱππεῦσι Μασσαγετῶν ὑπὲρ τοὺς χιλίους. [2] καὶ μάχη γίγνεται τῶν τε Μακεδόνων καὶ τῶν Σκυθῶν καρτερά· καὶ ἐνίκων οἱ Μακεδόνες. τῶν δὲ Σκυθῶν ἀπέθανον μὲν ἑκατὸν καὶ πεντήκοντα ἱππεῖς· οἱ δε ἄλλοι οὐ χαλεπῶς ἐς τὴν ἐρήμην διεσώθησαν, ὅτι ἄπορον ἦν προσωτέρω τοῖς Μακεδόσι διώκειν. [3] Καὶ ἐν τούτῳ Ἀλέξανδρος Ἀρτάβαζον μὲν τῆς σατραπείας τῆς Βακτρίων ἀπαλλάττει δεηθέντα διὰ γῆρας, Ἀμύνταν δὲ τὸν Νικολάου σατράπην ἀντ᾽ αὐτοῦ καθίστησι. Κοῖνον δὲ ἀπολείπει αὐτοῦ τὴν τε αὑτοῦ τάξιν καὶ τὴν Μελεάγρου ἔχοντα καὶ τῶν ἑταίρων ἱππέων ἐς τετρακοσίους καὶ τοὺς ἱππακοντιστὰς πάντας καὶ τῶν Βακτρίων τε καὶ Σογδιανῶν καὶ ὅσοι ἄλλοι μετὰ Ἀμύντου ἐτάχθησαν, προστάξας ἅπασιν ἀκούειν Κοίνου καὶ διαχειμάζειν αὐτοῦ ἐν τῇ Σογδιανῇ, τῆς τε χώρας ἕνεκα τῆς φυλακῆς καὶ εἴ πῃ ἄρα Σπιταμένην περιφερόμενον κατὰ τὸν χειμῶνα ἐνεδρεύσαντας ξυλλαβεῖν.

[4] Σπιταμένης δὲ καὶ οἱ ἀμφ᾽ αὐτὸν ὡς φρουραῖς τε πάντα κατειλημμένα ἑώρων ἐκ τῶν Μακεδόνων καί σφιν ἄπορα πάντῃ τὰ τῆς φυγῆς ἐγίγνετο, ὡς ἐπὶ Κοῖνόν τε καὶ τὴν ξὺν τούτῳ στρατιὰν ἐτράποντο, ὡς ταύτῃ μᾶλλόν τι ἀξιόμαχοι ἐσόμενοι. ἀφικόμενοι δὲ ἐς Γαβάς, χωρίον τῆς Σογδιανῆς ὀχυρὸν ἐν μεθορίῳ τῆς τε Σογδιανῶν γῆς καὶ τῆς Μασσαγετῶν Σκυθῶν ᾠκισμένον, ἀναπείθουσιν οὐ χαλεπῶς τῶν Σκυθῶν ἱππέας ἐς τρισχιλίους συνεμβάλλειν σφίσιν ἐς τὴν Σογδιανήν. [5] οἱ δὲ Σκύθαι οὗτοι ἀπορίᾳ τε πολλῇ ἔχονται καὶ ἅμα ὅτι οὔτε πόλεις εἰσὶν αὐτοῖς οὔτε ἑδραῖοι οἰκοῦσιν, ὡς δειμαίνειν ἂν περὶ τῶν φιλτάτων, οὐ χαλεποὶ ἀναπεισθῆναί εἰσιν ἐς ἄλλον καὶ ἄλλον πόλεμον. ὡς δὲ Κοῖνός τε καὶ οἱ ἀμφ᾽ αὐτὸν ἔμαθον προσιόντας τοὺς ξὺν Σπιταμένει ἱππέας, ἀπήντων καὶ αὐτοὶ μετὰ τῆς στρατιᾶς.

haber nadie que impusiera su autoridad; dio ello ocasión a que Espitámenes y los escitas les tendieran una emboscada, en la que perecieron siete de los Compañeros y sesenta jinetes mercenarios. Pereció el citaredo Aristónico [67], que se había portado con valentía mayor de la que cabía esperar de un citaredo. Pitón resultó herido y fue hecho prisionero por los escitas.

Muerte de Espitámenes.

17 Al tener noticias Crátero de estos incidentes, marchó a toda prisa contra los maságetas, quienes, al enterarse de que Crátero les seguía muy de cerca, huyeron a todo correr en dirección al desierto. Crátero inició su persecución, alcanzando a los escitas y a los mil jinetes maságetas que les acompañaban no lejos del desierto. [2] El combate entre macedonios y escitas fue terrible. Resultaron vencedores los macedonios, que dieron muerte a unos ciento cincuenta jinetes escitas, aunque los demás consiguieron salvarse fácilmente y se internaron en el desierto, donde la persecución resultaba inviable para los macedonios.

[3] Alejandro relevó por entonces a Artábazo del cargo de sátrapa de Bactria, atendiendo la propia petición del interesado por razones de edad; designó en su lugar como sátrapa a Amintas, hijo de Nicolao [68]. Dejó como guarnición también allí a Ceno al frente de su batallón y del de Meleagro, con mando igualmente sobre cuatrocientos jinetes de los Compañeros y sobre el cuerpo completo de los hipaspistas, así como de los bactrianos y sogdianos, a más de las tropas que hasta ahora habían estado bajo el mando de Amintas. La misión de todas estas fuerzas a las órdenes de Ceno era pasar el invierno allí en Sogdiana para asegurar la defensa del territorio y tender una emboscada a Espitámenes, en caso de que durante el invierno hiciera por allí alguna incursión. [4] Espitámenes y sus hombres encontraron todos los puestos ocupados por las guarniciones macedonias, por lo que no les fue posible escapar por ninguna parte, ante lo cual decidieron marchar contra Ceno y su ejército, en la idea de que por allí tendrían mejores expectativas de éxito en el combate. Se presentaron, pues, ante las puertas de Gaba, plaza fuerte de Sogdiana, limítrofe entre esta región y la de los escitas maságetas, convenciendo fácilmente a unos tres mil jinetes escitas para que se les unieran en su ataque contra la región sogdiana. [5] Estos escitas viven en medio de la más mísera pobreza, carecen de ciudades y de viviendas sólidamente edificadas, por lo que no tienen apego a sus enseres, y de ahí que se dejen persuadir con la mayor facilidad a alistarse en cualquier expedición guerrera.

Al informarse Ceno y sus hombres de que las tropas de Espitámenes se les aproximaban, les salieron a su encuentro con todas sus tropas en formación.

[6] καὶ γίγνεται αὐτῶν μάχη καρτερά, καὶ νικῶσιν οἱ Μακεδόνες, ὥστε τῶν μὲν βαρβάρων ἱππέων ὑπὲρ τοὺς ὀκτακοσίους πεσεῖν ἐν τῇ μάχῃ, τῶν δὲ ξὺν Κοίνῳ ἱππέας μὲν ἐς εἴκοσι καὶ πέντε, πεζοὺς δὲ δώδεκα. οἵ τε οὖν Σογδιανοὶ οἱ ἔτι ὑπολειπόμενοι ξὺν Σπιταμένει καὶ τῶν Βακτρίων οἱ πολλοὶ ἀπολείπουσιν ἐν τῇ φυγῇ Σπιταμένην καὶ ἀφικόμενοι παρὰ Κοῖνον παρέδοσαν σφᾶς αὐτοὺς Κοίνῳ, [7] οἵ τε Μασσαγέται οἱ Σκύθαι κακῶς πεπραγότες τὰ μὲν σκευοφόρα τῶν ξυμπαραταξαμένων σφίσι Βακτρίων τε καὶ Σογδιανῶν διήρπασαν, αὐτοὶ δὲ ξὺν Σπιταμένει ἐς τὴν ἔρημον ἔφευγον. ὡς δὲ ἐξηγγέλλετο αὐτοῖς Ἀλέξανδρος ἐν ὁρμῇ ὢν ἐπὶ τὴν ἔρημον ἐλαύνειν ἀποτεμόντες τοῦ Σπιταμένους τὴν κεφαλὴν παρὰ Ἀλέξανδρον πέμπουσιν, ὡς ἀποτρέψοντες ἀπὸ σφῶν αὐτῶν τούτῳ τῷ ἔργῳ.

18. Καὶ ἐν τούτῳ Κοῖνός τε ἐς Ναύτακα παρ᾽ Ἀλέξανδρον ἐπανέρχεται καὶ οἱ ἀμφὶ Κρατερόν τε καὶ Φραταφέρνην τὸν τῶν Παρθυαίων σατράπην καὶ Στασάνωρ ὁ Ἀρείων, πεπραγμένων σφίσι πάντων ὅσα ἐξ Ἀλεξάνδρου ἐτέτακτο. [2] Ἀλέξανδρος δὲ περὶ Ναύτακα ἀναπαύων τὴν στρατιὰν ὅ τι περ ἀκμαῖον τοῦ χειμῶνος, Φραταφέρνην μὲν ἀποστέλλει ἐς Μάρδους καὶ Ταπ<ο>ύρους <Αὐτο>φραδάτην ἐπανάξοντα τὸν σατράπην, ὅτι πολλάκις ἤδη μετάπεμπτος ἐξ Ἀλεξάνδρου γιγνόμενος οὐχ ὑπήκουε καλοῦντι. [3] Στασάνορα δὲ ἐς Δράγγας σατράπην ἐκπέμπει, ἐς Μήδους δὲ Ἀτροπάτην ἐπὶ σατραπείᾳ καὶ τοῦτον τῇ Μήδων, ὅτι Ὀξυδάτης ἐθελοκακεῖν αὐτῷ ἐφαίνετο. Σταμένην δὲ ἐπὶ Βαβυλῶνος στέλλει, ὅτι Μαζαῖος ὁ Βαβυλώνιος ὕπαρχος τετελευτηκέναι αὐτῷ ἐξηγγέλλετο. Σώπολιν δὲ καὶ Ἐπόκιλλον καὶ Μεν[ν]ίδαν ἐς Μακεδονίαν ἐκπέμπει, τὴν στρατιὰν τὴν ἐκ Μακεδονίας αὐτῷ ἀνάξοντας. [4] Ἅμα δὲ τῷ ἦρι ὑποφαίνοντι προὐχώρει ὡς ἐπὶ τὴν ἐν τῇ Σογδιανῇ πέτραν, ἐς ἣν πολλοὺς μὲν τῶν Σογδιανῶν ξυμπεφευγέναι αὐτῷ ἐξηγγέλλετο· καὶ ἡ Ὀξυάρτου δὲ γυνὴ τοῦ Βακτρίου καὶ αἱ παῖδες αἱ Ὀξυάρτου ἐς τὴν πέτραν ταύτην ξυμπεφευγέναι ἐλέγοντο, Ὀξυάρτου αὐτὰς ὡς ἐς ἀνάλωτον δῆθεν τὸ χωρίον ἐκεῖνο ὑπεκθεμένου, ὅτι καὶ αὐτὸς ἀφειστήκει ἀπ᾽ Ἀλεξάνδρου. ταύτης γὰρ ἐξαιρεθείσης οὐκέτι οὐδὲν ὑπολειφθήσεσθαι ἐδόκει τῶν Σογδιανῶν τοῖς νεωτερίζειν ἐθέλουσιν. [5] ὡς δὲ ἐπέλασαν τῇ πέτρᾳ, καταλαμβάνει πάντῃ ἀπότομον ἐς τὴν προσβολὴν σιτία τε

[6] Se produjo un violento choque, en el que vencieron los macedonios. Perecieron unos ochocientos jinetes bárbaros en esta batalla, mientras que de parte de Ceno fueron unos veinticinco jinetes y unos doce soldados de infantería las víctimas. A la vista de esto, los sogdianos que seguían a Espitámenes, y buen número de bactrianos abandonaron a éste en su huida y se pasaron a Ceno en calidad de tránsfugas. [7] Los escitas maságetas, tras el revés sufrido, rapiñaron las acémilas de los bactrios y sogdianos que con ellos habían formado como compañeros, huyendo acto seguido al desierto con Espitámenes. Al tener noticias de que Alejandro les seguía de cerca por el desierto, cortaron la cabeza a Espitámenes y se la enviaron a Alejandro, buscando con esta acción distraer a Alejandro para que dejara de perseguirles [69].

La Roca Sogdiana.

18 Mientras tanto Ceno había regresado a Nautaca al encuentro de Alejandro, al igual que Crátero y sus hombres, así como Fratafernes el sátrapra de Partia, y Estasanor, sátrapa de Aria, una vez ejecutadas las órdenes de Alejandro. [2] Dio allí Alejandro a sus hombres un descanso en Nautaca, aprovechando que el invierno era sumamente crudo. Envió luego a Fratafernes a la región de los mardos y tapurios [70] para que trajeran a su presencia al sátrapa Autofrádates, que ya había sido citado varias veces con anterioridad a que compareciera ante Alejandro, sin que aquél hubiera atendido la requisitoria.

[3] Designó a Estasanor sátrapa de la Drangiana, y envió a Media a Antrópates como sátrapa de los medos, por parecerle que Oxidrates no le era totalmente leal. Envió luego a Estámenes a Babilonia, pues, según noticias a él llegadas, Maceo, el gobernador [71] de Babilonia, había fallecido. Finalmente, encargó a Sópolis, Epocilo y Menidas que marcharan a Macedonia a hacerse cargo del nuevo ejército macedonio y traerlo a su presencia.

[4] No hizo más que despuntar la primavera [72], cuando Alejandro se dispuso a avanzar hacia la Roca Sogdiana, en la que habían encontrado seguro refugio, según informaciones a él llegadas, buen número de sogdianos. La propia mujer de Oxiartes el bactrio y sus hijas estaban en este refugio, según se decía; allí las había llevado Oxiarte por ser un lugar algo apartado e inexpugnable y que él mismo había sublevado antes contra Alejandro . Estaba convencido Alejandro de que una vez tomada esta posición fuerte no les quedaría nada que hacer a los sogdianos que pretendieran sublevarse. [5] A medida que se aproximaba a la roca, observó Alejandro con gran sorpresa que resultaba prácticamente inexpugnable por todas partes, y que

ξυγκεκομισμένους τοὺς βαρβάρους ὡς ἐς χρόνιον πολιορκίαν. καὶ χιὼν πολλὴ ἐπιπεσοῦσα τήν τε πρόσβασιν ἀπορωτέραν ἐποίει τοῖς Μακεδόσι καὶ ἅμα ἐν ἀφθονίᾳ ὕδατος τοὺς βαρβάρους διῆγεν. ἀλλὰ καὶ ὣς προσβάλλειν ἐδόκει τῷ χωρίῳ. [6] καὶ γάρ τι καὶ ὑπέρογκον ὑπὸ τῶν βαρβάρων λεχθὲν ἐς φιλοτιμίαν ξὺν ὀργῇ ἐμβεβλήκει Ἀλέξανδρον. προκληθέντες γὰρ ἐς ξύμβασιν καὶ προτεινομένου σφίσιν, ὅτι σώοις ὑπάρξει ἐπὶ τὰ σφέτερα ἀπαλλαγῆναι παραδοῦσι τὸ χωρίον, οἱ δὲ σὺν γέλωτι βαρβαρίζοντες πτηνοὺς ἐκέλευον ζητεῖν στρατιώτας Ἀλέξανδρον, οἵτινες αὐτῷ ἐξαιρήσουσι τὸ ὄρος, ὡς τῶν γε ἄλλων ἀνθρώπων οὐδεμίαν ὤραν σφίσιν οὖσαν. [7] ἔνθα δὴ ἐκήρυξεν Ἀλέξανδρος τῷ μὲν πρώτῳ ἀναβάντι δώδεκα τάλαντα εἶναι τὸ γέρας, δευτέρῳ δὲ ἐπὶ τούτῳ τὰ δεύτερα καὶ τρίτῳ τὰ ἐφεξῆς, ὡς τελευταῖον εἶναι τῷ τελευταίῳ ἀνελθόντι τριακοσίους δαρεικοὺς τὸ γέρας. καὶ τοῦτο τὸ κήρυγμα παρώξυνεν ἔτι μᾶλλον καὶ ἄλλως τοὺς Μακεδόνας ὡρμημένους.

19. Ξυνταξάμενοι δὴ ὅσοι πετροβατεῖν ἐν ταῖς πολιορκίαις αὐτῷ μεμελετήκεσαν, ἐς τριακοσίους τὸν ἀριθμόν, καὶ πασσάλους μικροὺς σιδηροῦς, οἷς αἱ σκηναὶ καταπεπήγεσαν αὐτοῖς, παρασκευάσαντες, τοῦ καταπηγνύναι αὐτοὺς ἔς τε τὴν χιόνα ὅπου πεπηγυῖα φανείη καὶ εἴ πού τι τῆς χώρας ἔρημον χιόνος ὑποφαίνοιτο, καὶ τούτους καλωδίοις ἐκ λίνου ἰσχυροῖς ἐκδήσαντες τῆς νυκτὸς προὐχώρουν κατὰ τὸ ἀποτομώτατόν τε τῆς πέτρας καὶ ταύτῃ ἀφυλακτότατον. [2] καὶ τούτους τοὺς πασσάλους καταπηγνύντες τοὺς μὲν ἐς τὴν γῆν, ὅπου διεφαίνετο, τοὺς δὲ καὶ τῆς χιόνος ἐς τὰ μάλιστα οὐ θρυφθησόμενα, ἀνεῖλκον σφᾶς αὐτοὺς ἄλλοι ἄλλῃ τῆς πέτρας. καὶ τούτων ἐς τριάκοντα μὲν ἐν τῇ ἀναβάσει διεφθάρησαν, ὥστε οὐδὲ τὰ σώματα αὐτῶν ἐς ταφὴν εὑρέθη ἐμπεσόντα ἄλλῃ καὶ ἄλλῃ τῆς χιόνος. [3] οἱ δὲ λοιποὶ ἀναβάντες ὑπὸ τὴν ἕω καὶ τὸ ἄκρον τοῦ ὄρους καταλαβόντες σινδόνας κατέσειον ὡς ἐπὶ τὸ στρατόπεδον τῶν Μακεδόνων, οὕτως αὐτοῖς ἐξ Ἀλεξάνδρου παρηγγελμένον. πέμψας δὴ κήρυκα ἐμβοῆσαι ἐκέλευσε τοῖς προφυλάσσουσι τῶν βαρβάρων μὴ διατρίβειν ἔτι, ἀλλὰ παραδιδόναι σφᾶς· ἐξευρῆσθαι γὰρ δὴ τοὺς πτηνοὺς ἀνθρώπους καὶ ἔχεσθαι ὑπὸ αὐτῶν τοῦ ὄρους τὰ ἄκρα· καὶ ἅμα ἐδείκνυεν τοὺς ὑπὲρ τῆς κορυφῆς στρατιώτας. [4] Οἱ δὲ βάρβαροι ἐκπλαγέντες τῷ παραλόγῳ τῆς ὄψεως

los bárbaros habían conducido a su interior suficientes provisiones para un largo asedio. De otra parte, una gran nevada que había caído recientemente dificultaba el acceso a los macedonios, al tiempo que aseguraba aprovisionamiento de agua a los bárbaros. Aun con todos estos inconvenientes, Alejandro decidió el asalto a la fortaleza. [6] Habían hecho los bárbaros declaraciones en extremo jactanciosas que habían provocado en Alejandro un vivo interés por alcanzar gloria en esta afanosa empresa. En efecto, en el transcurso de unas entrevistas mantenidas para procurar la salvación y retirada de los sitiados a cambio de abandonar el fuerte, éstos, en tono de burla, dijeron en su jerga bárbara a Alejandro que buscara soldados con alas, con los que tal vez podría capturar la plaza, en la convicción de que ningún otro mortal podría hacerla suya. [7] Ante esto, hizo proclamar Alejandro que para el primero que subiera habría una recompensa de doce talentos, para el segundo un segundo premio, otro para el tercero, y así sucesivamente hasta el último que subiera, que obtendría uno no menor de trescientos daricos [73]. El efecto de esta proclama no hizo sino avivar aún más los ánimos de los macedonios, ávidos como ya estaban por escalar la roca.

Roxana.

19 Se reunieron a propósito los hombres que ya en otros asedios habían adquirido práctica en escalar posiciones difíciles, unos trescientos aproximadamente. Se equiparon con unas pequeñas estacas de hierro, las mismas que se utilizan para fijar los vientos de las tiendas, y las fueron hincando en la nieve cuando ésta tenía suficiente consistencia, o en las calvas de roca que entre la nieve aparecían; las enlazaron luego con resistentes cordeles de lino, avanzando así durante toda la noche por la parte más abrupta de la roca, que era precisamente la menos vigilada. [2] Clavando, como queda dicho, las estacas sobre la roca donde ésta se hacía visible, y la mayor parte de ellas sobre la nieve que resistía sin hacerse polvo, fueron ascendiendo uno tras otro por la roca. En la escalada perecieron unos treinta hombres, cuyos cuerpos cayeron despeñados por distintos lugares, sin que fueran jamás localizados para darles sepultura. [3] Sin embargo, los demás consiguieron culminar la ascensión del monte antes del amanecer. Desde allá arriba agitaron unas banderas para hacerse visibles al ejército madeconio, siguiendo con ello las instrucciones que Alejandro les diera. Envió entonces Alejandro un heraldo a las primeras filas de los bárbaros, no a conversar por más tiempo, sino a decirles que se rindieran, ya que él había conseguido los hombres con alas que necesitaba (al propio tiempo el mensajero debía señalar a la cima del monte para que vieran que los macedonios tenían copada las alturas). [4] Ante esto, los bárbaros quedaron estupefactos, no dando crédito a lo que sus ojos veían.

καὶ πλείονάς τε ὑποτοπήσαντες εἶναι τοὺς κατέχοντας τὰ ἄκρα καὶ ἀκριβῶς ὡπλισμένους ἐνέδοσαν σφᾶς αὐτούς· οὕτω πρὸς τὴν ὄψιν τῶν ὀλίγων ἐκείνων Μακεδόνων φοβεροὶ ἐγένοντο. ἔνθα δὴ ἄλλων τε πολλῶν γυναῖκες καὶ παῖδες ἐλήφθησαν καὶ ἡ γυνὴ ἡ Ὀξυάρτου καὶ οἱ παῖδες. [5] καὶ ἦν γὰρ Ὀξυάρτῃ παῖς παρθένος ἐν ὥρᾳ γάμου, Ῥωξάνη ὀνόματι, ἣν δὴ καλλίστην τῶν Ἀσιανῶν γυναικῶν λέγουσιν ὀφθῆναι οἱ ξὺν Ἀλεξάνδρῳ στρατεύσαντες μετά γε τὴν Δαρείου γυναῖκα. καὶ ταύτην ἰδόντα Ἀλέξανδρον ἐς ἔρωτα ἐλθεῖν αὐτῆς· ἐρασθέντα δὲ οὐκ ἐθελῆσαι ὑβρίσαι καθάπερ αἰχμάλωτον, ἀλλὰ γῆμαι γὰρ οὐκ ἀπαξιῶσαι. [6] καὶ τοῦτο ἐγὼ Ἀλεξάνδρου τὸ ἔργον ἐπαινῶ μᾶλλόν τι ἢ μέμφομαι. καίτοι τῆς γε Δαρείου γυναικός, ἣ καλλίστη δὴ ἐλέγετο τῶν ἐν τῇ Ἀσίᾳ γυναικῶν, ἢ οὐκ ἦλθεν ἐς ἐπιθυμίαν ἢ καρτερὸς αὐτὸς αὑτοῦ ἐγένετο, νέος τε ὢν καὶ τὰ μάλιστα ἐν ἀκμῇ τῆς εὐτυχίας, ὁπότε ὑβρίζουσιν οἱ ἄνθρωποι· ὁ δὲ κατῃδέσθη τε καὶ ἐφείσατο, σωφροσύνῃ τε πολλῇ διαχρώμενος καὶ δόξης ἅμα ἀγαθῆς οὐκ ἀτόπῳ ἐφέσει.

20. Καὶ τοίνυν καὶ λόγος κατέχει ὀλίγον μετὰ τὴν μάχην, ἣ πρὸς Ἰσσῷ Δαρείῳ τε καὶ Ἀλεξάνδρῳ ξυνέβη, ἀποδράντα ἐλθεῖν παρὰ Δαρεῖον τὸν εὐνοῦχον τὸν φύλακα αὐτῷ τῆς γυναικός. καὶ τοῦτον ὡς εἶδε Δαρεῖος, πρῶτα μὲν πυθέσθαι εἰ ζῶσιν αὐτῷ αἱ παῖδες [καὶ οἱ υἱοὶ] καὶ ἡ γυνή τε καὶ ἡ μήτηρ. [2] ὡς δὲ ζώσας τε ἐπύθετο καὶ βασίλισσαι ὅτι καλοῦνται καὶ ἡ θεραπεία ὅτι ἀμφ᾽ αὐτάς ἐστιν, ἥντινα καὶ ἐπὶ Δαρείου ἐθεραπεύοντο, ἐπὶ τῷδε αὖ πυθέσθαι εἰ σωφρονεῖ αὐτῷ ἡ γυνὴ ἔτι. ὡς δὲ σωφρονοῦσαν ἐπύθετο, αὖθις ἐρέσθαι μή τι βίαιον ἐξ Ἀλεξάνδρου αὐτῇ ἐς ὕβριν ξυνέβη· καὶ τὸν εὐνοῦχον ἐπομόσαντα φάναι ὅτι· ὦ βασιλεῦ, οὕτω τοι ὡς ἀπέλιπες ἔχει ἡ σὴ γυνή, καὶ Ἀλέξανδρος ἀνδρῶν ἄριστός τέ ἐστι καὶ σωφρονέστατος. ἐπὶ τοῖσδε ἀνατεῖναι Δαρεῖον ἐς τὸν οὐρανὸν τὰς χεῖρας καὶ εὔξασθαι ὧδε· [3] ἀλλ᾽ ὦ Ζεῦ βασιλεῦ, ὅτῳ ἐπιτέτραπται νέμειν τὰ βασιλέων πράγματα ἐν ἀνθρώποις, σὺ νῦν μάλιστα μὲν ἐμοὶ φύλαξον Περσῶν τε καὶ Μήδων τὴν ἀρχήν, ὥσπερ οὖν καὶ ἔδωκας· εἰ δὲ δὴ ἐγὼ οὐκέτι σοι βασιλεὺς τῆς Ἀσίας, σὺ δὲ μηδενὶ ἄλλῳ ὅτι μὴ Ἀλεξάνδρῳ παραδοῦναι τὸ ἐμὸν κράτος. οὕτως οὐδὲ πρὸς τῶν πολεμίων ἄρα ἀμελεῖται ὅσα σώφρονα ἔργα.

[4] Ὀξυάρτης δὲ ἀκούσας τοὺς παῖδας ἐχομένους, ἀκούσας δὲ καὶ ὑπὲρ Ῥωξάνης τῆς θυγατρὸς ὅτι μέλει αὐτῆς Ἀλεξάνδρῳ, θαρσήσας ἀφίκετο

Temiendo que los que ocupaban las alturas fueran más de los que en realidad eran y estuvieran perfectamente pertrechados, se entregaron sin ofrecer resistencia. Tal fue el miedo que sintieron a la vista de aquel reducido número de macedonios. Fueron hechos prisioneros mujeres y niños, y entre ellos la mujer e hijas de Oxiartes.

[5] Tenía este Oxiartes una hija, en edad núbil, aún virgen, de nombre Roxana. Los que servían a las órdenes de Alejandro afirmaban [74] que era la mujer más hermosa que en Asia habían visto después de la mujer de Darío. Alejandro, una vez que la vio, quedó enamorado de ella. Aun prendado de ella como se sintió, no quiso forzarla a sus deseos, aunque era su cautiva, sino que consideró más digno tomarla por esposa [75].

[6] Apruebo yo este modo de proceder de Alejandro y su conducta, en modo alguno censurable. Por lo que a la mujer de Darío respecta, la más hermosa según se decía de todo el Asia, o no sintió deseo por ella o se supo controlar, y eso siendo Alejandro joven como era y en el culmen de su poderío, momentos en que los jóvenes son más dados a la intransigencia. Alejandro, sin embargo, la respetó y se abstuvo de gozar de ella, haciendo gala de una buena dosis de templanza y de un propósito —muy conveniente, por cierto— de buena reputación [76].

20 A propósito, se cuenta un relato [77], según el cual, poco después de la batalla que tuvo lugar entre Alejandro y Darío en Iso, el eunuco de la mujer de Darío había conseguido escaparse y pasarse al campamento de Darío. Al verle éste le preguntó, en primer lugar, si seguían vivas sus hijas [78], su mujer y su madre. [2] Se enteró por él de que seguían vivas, y que se las seguía llamando y tratando según su propio rango de familia real, al igual que cuando vivían en la corte de Darío; tras lo cual preguntó si su mujer le guardaba fidelidad. A la respuesta afirmativa del eunuco, volvió a preguntarle Darío si no había tenido que ceder por fuerza ante la intransigencia de los deseos de Alejandro. Bajo juramente dijo el eunuco: [3] «Soberano mío, tu mujer está tal cual tú mismo la dejaste, y Alejandro es el mejor hombre y de mayor templanza del mundo.» Ante tales palabras, Darío alzó sus manos al cielo, así rogando: «Soberano Zeus [79], con potestad para arbitrar los asuntos de los reyes entre los hombres, presérvame ante todo el poder sobre medos y persas, ya que tú mismo me lo diste. Pero, si no he de ser yo el rey de Asia por más tiempo, no entregues a ningún otro mortal que a Alejandro mi poder.»
Hasta tal punto las acciones virtuosas merecen el reconocimiento incluso de los propios enemigos.

[4] Así, cuando Oxiartes tuvo noticias de que sus hijas habían caído prisioneras de Alejandro, y que éste mostraba interés por su hija Roxana, en un acto de audacia se presentó ante

παρὰ Ἀλέξανδρον, καὶ ἦν ἐν τιμῇ παρ᾽ αὐτῷ, ᾗπερ εἰκὸς ἐπὶ ξυντυχίᾳ τοιαύτῃ.

21. Ἀλέξανδρος δέ, ὡς τὰ ἐν Σογδιανοῖς αὐτῷ διεπέπρακτο, ἐχομένης ἤδη καὶ τῆς πέτρας ἐς Παρειτάκας προὐχώρει, ὅτι καὶ ἐν Παρειτάκαις χωρίον τι ὀχυρόν, ἄλλην πέτραν, κατέχειν ἐλέγοντο πολλοὶ τῶν βαρβάρων. ἐκαλεῖτο δὲ αὕτη Χοριήνου ἡ πέτρα· καὶ ἐς αὐτὴν αὐτός τε ὁ Χοριήνης ξυμπεφεύγει καὶ ἄλλοι τῶν ὑπάρχων οὐκ ὀλίγοι. [2] ἦν δὲ τὸ μὲν ὕψος τῆς πέτρας ἐς σταδίους εἴκοσι, κύκλος δὲ ἐς ἑξήκοντα· αὐτὴ δὲ ἀπότομος πάντοθεν, ἄνοδος δὲ ἐς αὐτὴν μία καὶ αὐτὴ στενή τε καὶ οὐκ εὔπορος, οἷα δὴ παρὰ τὴν φύσιν τοῦ χωρίου πεποιημένη, ὡς χαλεπὴ εἶναι καὶ μηδενὸς εἴργοντος καὶ καθ᾽ ἕνα ἀνελθεῖν, φάραγξ τε κύκλῳ περιεῖργε τὴν πέτραν βαθεῖα, ὥστε ὅστις προσάξειν στρατιὰν τῇ πέτρᾳ ἔμελλε, πολὺ πρόσθεν αὐτῷ τὴν φάραγγα εἶναι χωστέον, ὡς ἐξ ὁμαλοῦ ὁρμᾶσθαι προσάγοντα ἐς προσβολὴν τὸν στρατόν. Ἀλλὰ καὶ ὣς Ἀλέξανδρος ἥπτετο τοῦ ἔργου· [3] οὕτως πάντα ᾤετο χρῆναι βατά τε αὐτῷ καὶ ἐξαιρετέα εἶναι, ἐς τοσόνδε τόλμης τε καὶ εὐτυχίας προκεχωρήκει. τέμνων δὴ τὰς ἐλάτας (πολλαὶ γὰρ καὶ ὑπερύψηλοι ἐλάται ἦσαν ἐν κύκλῳ τοῦ ὄρους) κλίμακας ἐκ τούτων ἐποίει, ὡς κάθοδον εἶναι ἐς τὴν φάραγγα τῇ στρατιᾷ· οὐ γὰρ ἦν ἄλλως κατελθεῖν ἐς αὐτήν. [4] καὶ τὰς μὲν ἡμέρας αὐτὸς Ἀλέξανδρος ἐφειστήκει τῷ ἔργῳ τὸ ἥμισυ τοῦ στρατοῦ ἔχων ἐργαζόμενον, τὰς δὲ νύκτας ἐν μέρει οἱ σωματοφύλακες αὐτῷ εἰργάζοντο, Περδίκκας τε καὶ Λεοννάτος καὶ Πτολεμαῖος ὁ Λάγου, τῷ λοιπῷ μέρει τῆς στρατιᾶς τριχῇ διανενεμημένῳ, ὅπερ αὐτῷ ἐς τὴν νύκτα ἀπετέτακτο. ἤνυτον δὲ τῆς ἡμέρας οὐ πλέον ἤπερ εἴκοσι πήχεις καὶ τῆς νυκτὸς ὀλίγον ἀποδέον, καίτοι ξυμπάσης τῆς στρατιᾶς ἐργαζομένης· οὕτω τό τε χωρίον ἄπορον ἦν καὶ τὸ ἔργον ἐν αὐτῷ χαλεπόν. [5] κατιόντες δ᾽ ἐς τὴν φάραγγα πασσάλους κατεπήγνυον ἐς τὸ ὀξύτατον τῆς φάραγγος, διέχοντας ἀλλήλων ὅσον ξύμμετρον πρὸς ἰσχύν τε καὶ ξυνοχὴν τῶν ἐπιβαλλομένων. ἐπέβαλλον δὲ πλέγματα ἐκ λύγων εἰς γεφύρας μάλιστα ἰδέαν, καὶ ταῦτα ξυνδοῦντες χοῦν ἄνωθεν ἐπεφόρουν, ὡς ἐξ ὁμαλοῦ γίγνεσθαι τῇ στρατιᾷ τὴν πρόσοδον τὴν πρὸς τὴν πέτραν. [6] Οἱ δὲ βάρβαροι τὰ μὲν πρῶτα κατεφρόνουν ὡς ἀπόρου πάντῃ τοῦ ἐγχειρήματος· ὡς δὲ τοξεύματα ἤδη ἐς τὴν πέτραν ἐξικνεῖτο καὶ αὐτοὶ

Alejandro, de quien recibió un trato muy distinguido, cual procedía ante tal feliz situación.

***Alejandro toma la Roca Coriena*.**

21 Alejandro, cumplida su misión en Sogdiana, y conquistada ya la Roca, prosiguió su avance hacia los paretecos, donde según se decía habían encontrado refugio muchos bárbaros de la zona en las alturas de otro pico rocoso, conocido con el nombre de Roca Coriena. En ella se había refugiado el mismo Corienes acompañado de un buen número de sus gobernadores. [2] La altura de esta roca era de unos veinte estadios [80], y su perímetro de unos sesenta. En todo su contorno estaba cortada a pico, con una sola vía de acceso, estrecha y de difícil paso, por haber sido construida en lucha contra la propia naturaleza del terreno, y desde luego muy incómoda de ascender, incluso yendo de uno en uno y aunque nadie nos cerrara el paso. Un profundo precipicio rodeaba la roca en todo su contorno, de suerte que cualquiera que quisiera hacer pasar un ejército a la misma debía antes rellenar por un lado el terraplén, para poder así llevar sus fuerzas al asalto por este pasadizo a nivel.

[3] Con todo y con eso, Alejandro se aplicó a la empresa. Su idea era la de no dejar lugar alguno sin tomar porque le hubiera resultado inaccesible; hasta tal grado de osadía le habían conducido sus anteriores éxitos [81]. Mandó ahora cortar los pinos que en gran número y de muy buen tamaño rodeaban el monte, para construir con ellos escaleras por las que su ejército pudiera bajar al fondo del barranco, única manera ésta de hacerlo.

[4] Durante el día era el propio Alejandro el que supervisaba los trabajos en los que tenía ocupados la mitad de sus hombres; por la noche se turnaba su guardia personal, Perdicas, Leónato y Tolomeo, hijo de Lago, cada uno al frente de un tercio del ejército, según la distribución que de él se había hecho para los trabajos nocturnos.

En el turno de día avanzaron no más de veinte codos [82], y por la noche algo menos, aun estando todo el ejército manos a la obra, debido a lo inaccesible del terreno y lo penoso del trabajo que en él se realizaba. [5] Una vez en el fondo del barranco, fijaron unas estacas en lo más profundo de él, guardando entre sí una distancia conveniente para que resistiera el peso y la carga que sobre ellas se iba a echar. Superpusieron sobre las estacas unas redes de mimbres a modo de puente, todo bien atado entre sí, y sobre ello vertían tierra por arriba hasta procurar enrasar el nivel del barranco para que el ejército pudiera franquear lo que era un desnivel natural.

[6] Al principio los bárbaros despreciaron este intento por vano, como cosa por completo irrealizable. Pero cuando las flechas empezaron a alcanzar

ἀδύνατοι ἦσαν ἄνωθεν ἐξείργειν τοὺς Μακεδόνας (ἐπεποίητο γὰρ αὐτοῖς προκαλύμματα πρὸς τὰ βέλη, ὡς ὑπ᾽ αὐτοῖς ἀβλαβῶς ἐργάζεσθαι) ἐκπλαγεὶς ὁ Χοριήνης πρὸς τὰ γιγνόμενα κήρυκα πέμπει πρὸς Ἀλέξανδρον, δεόμενος Ὀξυάρτην οἱ ἀναπέμψαι. καὶ πέμπει Ὀξυάρτην Ἀλέξανδρος. [7] ὁ δὲ ἀφικόμενος πείθει Χοριήνην ἐπιτρέψαι Ἀλεξάνδρῳ αὑτόν τε καὶ τὸ χωρίον. βίᾳ μὲν γὰρ οὐδὲν ὅ τι οὐχ ἁλωτὸν εἶναι Ἀλεξάνδρῳ καὶ τῇ στρατιᾷ τῇ ἐκείνου, ἐς πίστιν δὲ ἐλθόντος καὶ φιλίαν, . . .[I] τὴν πίστιν τε καὶ δικαιότητα μεγαλωστὶ ἐπῄνει τοῦ βασιλέως, τά τε ἄλλα καὶ τὸ αὑτοῦ ἐν πρώτοις ἐς βεβαίωσιν τοῦ λόγου προφέρων. [8] τούτοις πεισθεὶς ὁ Χοριήνης αὐτός τε ἧκε παρ᾽ Ἀλέξανδρον καὶ τῶν οἰκείων τινὲς καὶ ἑταίρων αὐτοῦ. ἐλθόντι δὲ τῷ Χοριήνῃ φιλάνθρωπά τε ἀποκρινάμενος καὶ πίστιν ἐς φιλίαν δοὺς αὐτὸν μὲν κατέχει, πέμψαι δὲ κελεύει τῶν συγκατελθόντων τινὰς αὐτῷ ἐς τὴν πέτραν τοὺς κελεύσοντας ἐνδοῦναι τὸ χωρίον. [9] καὶ ἐνδίδοται ὑπὸ τῶν ξυμπεφευγότων, ὥστε καὶ αὐτὸς Ἀλέξανδρος ἀναλαβὼν τῶν ὑπασπιστῶν ἐς πεντακοσίους ἀνέβη κατὰ θέαν τῆς πέτρας, καὶ τοσούτου ἐδέησεν ἀνεπιεικές τι ἐς τὸν Χοριήνην ἔργον ἀποδείξασθαι, ὥστε καὶ αὐτὸ τὸ χωρίον ἐκεῖνο ἐπιτρέπει Χοριήνῃ καὶ ὕπαρχον εἶναι ὅσωνπερ καὶ πρόσθεν ἔδωκεν. [10] Ξυνέβη δὲ χειμῶνί τε κακοπαθῆσαι αὐτῷ τὴν στρατιὰν πολλῆς χιόνος ἐπιπεσούσης ἐν τῇ πολιορκίᾳ καὶ ἅμα ἀπορίᾳ τῶν ἐπιτηδείων ἐπιέσθησαν. ἀλλὰ Χοριήνης ἐς δίμηνον σιτία ἔφη δώσειν τῇ στρατιᾷ καὶ ἔδωκεν σῖτόν τε καὶ οἶνον τῶν ἐν τῇ πέτρᾳ ἀποθέτων κρέα τε ταριχηρὰ κατὰ σκηνήν. καὶ ταῦτα δοὺς οὐκ ἔφασκεν ἀναλῶσαι τῶν παρεσκευασμένων ἐς τὴν πολιορκίαν οὐδὲ τὴν δεκάτην μοῖραν. ἔνθεν ἐν τιμῇ μᾶλλον τῷ Ἀλεξάνδρῳ ἦν ὡς οὐ πρὸς βίαν μᾶλλον ἢ κατὰ γνώμην ἐνδοὺς τὴν πέτραν.

22. Ταῦτα δὲ καταπραξάμενος Ἀλέξανδρος αὐτὸς μὲν ἐς Βάκτρα ᾔει, Κρατερὸν δὲ τῶν ἑταίρων ἱππέας ἔχοντα ἑξακοσίους καὶ τῶν πεζῶν τήν τε αὑτοῦ τάξιν καὶ τὴν Πολυπέρχοντος καὶ Ἀττάλου καὶ τὴν Ἀλκέτα ἐπὶ Κατάνην τε καὶ Αὐστάνην ἐκπέμπει, οἳ δὴ μόνοι ἔτι ὑπελείποντο ἐν τῇ Παρειτακηνῶν χώρᾳ ἀφεστηκότες. [2] καὶ μάχης γενομένης πρὸς αὐτοὺς καρτερᾶς νικῶσιν οἱ ἀμφὶ Κρατερὸν τῇ μάχῃ·

[I] Concuerdo con Krüger en que hay una laguna después de φιλίαν.

la roca, y veían que no podían hacer nada desde arriba para cortar el paso a los macedonios (ya que éstos se habían fabricado unas protecciones contra los dardos, gracias a las cuales habían realizado su trabajo con seguridad), Corienes, atónito ante el desarrollo de los acontecimientos, envió un heraldo a Alejandro solicitando que le enviara a Oxiartes [83]. [7] Alejandro atendió su solicitud y le envió a Oxiartes, quien aconsejó a Corienes que se entregara él y su territorio a Alejandro. Le hizo ver que no había en el mundo plaza inexpugnable por la fuerza para Alejandro y sus hombres, y que si se avenía a un pacto de amistad y de alianza*** [84]. *** Hizo varios elogios de la fidelidad y justicia del rey, ofreciendo como garantía, entre otras, su propio pacto. [8] Logró convencer a Corienes, quien se presentó ante Alejandro acompañado de algunos de su familia y sus amigos. A la llegada de Corienes, Alejandro le correspondió con muestras de amistad, dándole garantías de fidelidad, aunque le retuvo consigo, aconsejándole que enviara a algunos de los que hasta allí le habían acompañado a que regresara a la Roca para pactar la entrega de la plaza. [9] Ésta, en efecto, fue entregada por los fugitivos que en ella se habían refugiado. Alejandro reunió unos quinientos hipaspistas y subió con ellos a inspeccionar la plaza. Lejos de comportarse inadecuadamente con Corienes, le puso al frente de aquella plaza en calidad de gobernador del pueblo que hasta entonces había gobernado.

[10] El ejército de Alejandro había pasado grandes penalidades durante aquel invierno, ya que mientras duró el asedio había estado nevando copiosamente, a más de que anduvieron escasos de provisiones. Corienes se comprometió a darles víveres para dos meses, abasteciéndoles de trigo y vino que tenía almacenados en la Roca, además de repartir por las tiendas carne salazonada [85]. Hecha esta distribución, dijo Corienes que no había gastado en ella ni la décima parte de las reservas almacenadas para resistir el asedio. Por ello aumentó la estima de Alejandro hacia él, pues había entregado la plaza no tanto por obligación o fuerza mayor como por una decisión libremente tomada.

Alejandro en Bactria. Camino de la India.

22 Despues de esta conquista, Alejandro se puso en marcha hacia Bactria, enviando a Crátero con seiscientos jinetes de los Compañeros y su batallón de infantería, a más de los de Poliperconte, Átalo y Alcetas, contra Catanes y Aristanes, que eran los únicos rebeldes que habían quedado en territorio pareteco. [2] En un violento encuentro [86] que sostuvieron con las tropas de Crátero se impusieron éstos, pereciendo en

καὶ Κατάνης μὲν ἀποθνήσκει αὐτοῦ μαχόμενος, Αὐστάνης δὲ ξυλληφθεὶς ἀνήχθη παρ᾽ Ἀλέξανδρον· τῶν δὲ ξὺν αὐτοῖς βαρβάρων ἱππεῖς μὲν ἀπέθανον ἑκατὸν καὶ εἴκοσι, πεζοὶ δὲ ἀμφὶ τοὺς χιλίους πεντακοσίους. ταῦτα δὲ ὡς ἐπράχθη τοῖς ἀμφὶ Κρατερόν, καὶ οὗτοι ἐς Βάκτρα ἦσαν. καὶ ἐν Βάκτροις τὸ ἀμφὶ Καλλισθένην τε καὶ τοὺς παῖδας πάθημα Ἀλεξάνδρῳ ξυνηνέχθη. [3] Ἐκ Βάκτρων δὲ ἐξήκοντος ἤδη τοῦ ἦρος [I] ἀναλαβὼν τὴν στρατιὰν προὐχώρει ὡς ἐπ᾽ Ἰνδούς, Ἀμύνταν ἀπολιπὼν ἐν τῇ χώρᾳ τῶν Βακτρίων καὶ ξὺν αὐτῷ ἱππέας μὲν τρισχιλίους καὶ πεντακοσίους, πεζοὺς δὲ μυρίους. [4] ὑπερβαλὼν δὲ τὸν Καύκασον ἐν δέκα ἡμέραις ἀφίκετο εἰς Ἀλεξάνδρειαν πόλιν τὴν κτισθεῖσαν ἐν Παραπαμισάδαις, ὅτε τὸ πρῶτον ἐπὶ Βάκτρων ἐστέλλετο. καὶ τὸν μὲν ὕπαρχον, ὅστις αὐτῷ ἐπὶ τῆς πόλεως τότε ἐτάχθη, παραλύει τῆς ἀρχῆς, ὅτι οὐ καλῶς ἐξηγεῖσθαι ἔδοξε· [5] προσκατοικίσας δὲ καὶ ἄλλους τῶν περιοίκων τε καὶ ὅσοι τῶν στρατιωτῶν ἀπόμαχοι ἦσαν ἐς τὴν Ἀλεξάνδρειαν Νικάνορα μέν, ἕνα τῶν ἑταίρων, τὴν πόλιν αὐτὴν κοσμεῖν ἐκέλευσε, σατράπην δὲ Τυρίεσπιν κατέστησε τῆς τε χώρας τῆς Παραπαμισαδῶν καὶ τῆς ἄλλης ἔστε ἐπὶ τὸν Κωφῆνα ποταμόν. [6] ἀφικόμενος δὲ ἐς Νίκαιαν πόλιν καὶ τῇ Ἀθηνᾷ θύσας προὐχώρει ὡς ἐπὶ τὸν Κωφῆνα, προπέμψας κήρυκα ὡς Ταξίλην τε καὶ τοὺς ἐπὶ τάδε τοῦ Ἰνδοῦ ποταμοῦ, κελεύσας ἀπαντᾶν ὅπως ἂν ἑκάστοις προχωρῇ. καὶ Ταξίλης τε καὶ οἱ ἄλλοι ὕπαρχοι ἀπήντων, δῶρα τὰ μέγιστα παρ᾽ Ἰνδοῖς νομιζόμενα κομίζοντες, καὶ τοὺς ἐλέφαντας δώσειν ἔφασκον τοὺς παρὰ σφίσιν ὄντας, ἀριθμὸν ἐς πέντε καὶ εἴκοσιν. [7] Ἔνθα δὴ διελὼν τὴν στρατιὰν Ἡφαιστίωνα μὲν καὶ Περδίκκαν ἐκπέμπει ἐς τὴν Πευκελαῶτιν χώραν ὡς ἐπὶ τὸν Ἰνδὸν ποταμόν, ἔχοντας τήν τε Γοργίου τάξιν καὶ Κλείτου καὶ Μελεάγρου καὶ τῶν ἑταίρων ἱππέων τοὺς ἡμίσεας καὶ τοὺς μισθοφόρους ἱππέας ξύμπαντας, προστάξας τά τε κατὰ τὴν ὁδὸν χωρία ἢ βίᾳ ἐξαιρεῖν ἢ ὁμολογίᾳ παρίστασθαι καὶ ἐπὶ τὸν Ἰνδὸν ποταμὸν ἀφικομένους παρασκευάζειν ὅσα ἐς τὴν διάβασιν τοῦ ποταμοῦ ξύμφορα. ξὺν τούτοις δὲ καὶ Ταξίλης καὶ οἱ ἄλλοι ὕπαρχοι στέλλονται. [8] καὶ οὗτοι ὡς ἀφίκοντο πρὸς τὸν Ἰνδὸν ποταμόν, ἔπρασσον ὅσα ἐξ Ἀλεξάνδρου ἦν

la lucha [86] el propio Catanes, y cayó prisionero Aristanes, que fue conducido a presencia de Alejandro. De las filas bárbaras murieron ciento veinte jinetes y unos mil quinientos infantes. Cumplida esta misión por las tropas de Crátero, también se dirigieron a Bactria, donde ocurrió el incidente entre Alejandro, Calístenes y sus Pajes [87].

[3] Acababa ya la primavera [88], cuando Alejandro reunió sus tropas y se dispuso a avanzar hacia la India, dejando a Amintas en Bactria con tres mil jinetes y diez mil soldados de Infantería. [4] En diez días había ya cruzado el Cáucaso [89], y acto seguido se presentó en Alejandría, nueva ciudad fundada por él en Parapamísada la primera vez que vino a Bactria. Relevó de su cargo al gobernador de esta ciudad, al que anteriormente él mismo había nombrado, por no haber cumplido a su juicio satisfactoriamente. [5] Asentó a nuevos colonos en la ciudad, a los que se sumaron aquellos soldados que habían quedado inútiles para el combate, encargando a Nicanor, uno de los Compañeros, el gobierno de la ciudad. Nombró a Tiriespes sátrapa de la región de Parapamísada y del territorio que se extiende hasta el río Cofén [90]. [6] Una vez en Nicea ofreció sacrificios en honor de Atenea y continuó hasta el río Cofén, enviando por delante un heraldo a Taxiles y a los indios vecinos de este lado del río, ordenándoles le salieran a su encuentro según se fuera aproximando a cada uno de sus pueblos. Así lo hicieron Taxiles [91] y los otros gobernadores [92], que le presentaron los dones de mayor aprecio entre los indios, y con la promesa de poner a su disposición los veinticinco elefantes que ellos tenían.

[7] Dividió entonces Alejandro su ejército, enviando a Hefestión y Perdicas al territorio de los peucelotas, en dirección al río Indo, al frente del batallón de Gorgias, del de Clito y del de Meleagro, la mitad de la caballería de los Compañeros y toda la caballería mercenaria. Les encargó que se anexionaran todas las plazas del camino, bien por la fuerza de las armas, bien mediante pactos. Les ordenó igualmente que una vez en el Indo prepararan todo lo necesario para su travesía. Les acompañaban también en esta expedición Taxiles y los restantes gobernadores, [8] que hicieron puntualmente al llegar al río todo cuanto Alejandro les había encargado.

[I] [1]codd.: θέρους A. Fränkel.

τεταγμένα. Ἄστις δὲ ὁ τῆς Πευκελαώτιδος ὕπαρχος νεωτερίσας αὐτός τε ἀπόλλυται καὶ τὴν πόλιν προσαπώλεσεν, ἐς ἥντινα ξυμπεφεύγει. ἐξεῖλον γὰρ αὐτὴν ἐν τριάκοντα ἡμέραις προσκαθήμενοι οἱ ξὺν Ἡφαιστίωνι. καὶ αὐτὸς μὲν Ἄστις ἀποθνήσκει, τῆς πόλεως δὲ ἐπιμελεῖσθαι ἐτάχθη Σαγγαῖος, ὃς ἔτι πρόσθεν πεφευγὼς Ἄστιν παρὰ Ταξίλην ηὐτομολήκει· καὶ τοῦτο ἦν αὐτῷ τὸ πιστὸν πρὸς Ἀλέξανδρον.

23. Ἀλέξανδρος δέ, ἄγων τοὺς ὑπασπιστὰς καὶ τῶν ἑταίρων ἱππέων ὅσοι μὴ σὺν Ἡφαιστίωνι ἐτετάχατο καὶ τῶν ἀσθεταίρων[I] καλουμένων τὰς τάξεις καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας καὶ τοὺς ἱππακοντιστάς, προὐχώρει ἐς τὴν Ἀσπ<ασ>ίων τε καὶ Γουραίων χώραν καὶ Ἀσσακηνῶν. [2] πορευθεὶς δὲ παρὰ τὸν Χόην καλούμενον ποταμὸν ὀρεινήν τε ὁδὸν καὶ τραχεῖαν καὶ τοῦτον διαβὰς χαλεπῶς τῶν μὲν πεζῶν τὸ πλῆθος βάδην ἕπεσθαί οἱ ἐκέλευσεν, αὐτὸς δὲ ἀναλαβὼν τοὺς ἱππέας ξύμπαντας καὶ τῶν πεζῶν τῶν Μακεδόνων ἐς ὀκτακοσίους ἐπιβιβάσας τῶν ἵππων ξὺν ταῖς ἀσπίσι ταῖς πεζικαῖς σπουδῇ ἦγεν, ὅτι τοὺς ταύτῃ οἰκοῦντας βαρβάρους ξυμπεφευγέναι ἔς τε τὰ ὄρη τὰ κατὰ τὴν χώραν ἐξηγγέλλετο αὐτῷ καὶ ἐς τὰς πόλεις ὅσαι ὀχυραὶ αὐτῶν ἐς τὸ ἀπομάχεσθαι. [3] καὶ τούτων τῇ πρώτῃ καθ᾽ ὁδὸν πόλει ᾠκισμένῃ προσβαλὼν τοὺς μὲν πρὸ τῆς πόλεως τεταγμένους ὡς εἶχεν ἐξ ἐφόδου ἐτρέψατο καὶ κατέκλεισεν ἐς τὴν πόλιν, αὐτὸς δὲ τιτρώσκεται βέλει διὰ τοῦ θώρακος ἐς τὸν ὦμον· τὸ δὲ τραῦμα οὐ χαλεπὸν αὐτῷ ἐγένετο· ὁ γὰρ θώραξ ἔσχε τὸ μὴ οὐ διαμπὰξ διὰ τοῦ ὤμου ἐλθεῖν τὸ βέλος· καὶ Πτολεμαῖος ὁ Λάγου ἐτρώθη καὶ Λεοννάτος. [4] Τότε μὲν δὴ ἵνα ἐπιμαχώτατον τοῦ τείχους ἐφαίνετο ἐστρατοπεδεύσατο πρὸς τῇ πόλει· τῇ δὲ ὑστεραίᾳ ὑπὸ τὴν ἕω, διπλοῦν γὰρ τεῖχος περιεβέβλητο τῇ πόλει, ἐς μὲν τὸ πρῶτον ἅτε οὐκ ἀκριβῶς τετειχισμένον οὐ χαλεπῶς ἐβιάσαντο οἱ Μακεδόνες, πρὸς δὲ τῷ δευτέρῳ ὀλίγον ἀντισχόντες οἱ βάρβαροι, ὡς αἵ τε κλίμακες προσέκειντο ἤδη καὶ ὑπὸ τῶν βελῶν πάντοθεν ἐτιτρώσκοντο οἱ προμαχόμενοι, οὐκ ἔμειναν, ἀλλὰ κατὰ τὰς πύλας ὡς ἐπὶ τὰ ὄρη ἐκπίπτουσιν ἐκ τῆς πόλεως. [5] καὶ τούτων οἱ μὲν ἐν τῇ φυγῇ ἀποθνήσκουσιν, ὅσους δὲ ζῶντας ἔλαβον αὐτῶν, ξύμπαντας ἀποκτείνουσιν οἱ Μακεδόνες, ὅτι ἐτρώθη ὑπ᾽ αὐτῶν Ἀλέξανδρος

[I] πεζεταίρων editores, ver nota 7 del libro

Sin embargo, Astis, el gobernador de Peucelótide, intentó sublevarse, aunque no consiguió con ello sino su ruina y la de la ciudad en que había logrado refugiarse. Hefestión le puso cerco, y en treinta días cayó en poder de sus hombres. Resultó de ello la muerte de Astis, y en su lugar fue nombrado para gobernar la ciudad Sangeo, quien había hecho anteriormente defección de Astis y se había pasado a Taxiles, por lo que gozaba de la confianza de Alejandro.

Campañas contra los aspasios, gureos y asacenios.

23 Alejandro, mientras tanto, al frente de los hipaspistas, la parte de la caballería de los Compañeros que no había ido con Hefestión, los batallones de los llamados *asceteros* [93], los arqueros, los agrianes y los lanzadores de dardos a caballo, se adentró en el territorio de los aspasios, gureos y asacenios [94]. [2] Siguiendo el curso del río llamado Coes por una ruta montañosa y difícil, cruzó el río no sin serias dificultades. Ordenó a la infantería que le siguiera en orden de marcha, mientras él se adelantaba a toda prisa con la caballería y unos ochocientos infantes macedonios a los que había procurado una cabalgadura, sin que por ello dejaran sus escudos de infantes. Con estas tropas avanzó contra los bárbaros de aquella región que se habían refugiado, según noticias a él llegadas, en las ciudades con recintos amurallados. [3] Atacó la primera de estas ciudades que encontró a su paso, poniendo en fuga al primer ataque a las tropas que habían formado delante de la ciudad para defenderla, obligándolas a encerrarse en sus murallas. En el transcurso del ataque el propio Alejandro resultó alcanzado en el hombro por un dardo que le atravesó la coraza. La herida, con todo, no fue grave, ya que la coraza impidió que el dardo le atravesara el hombro. También resultaron heridos Tolomeo, el hijo de Lago, y Leónato.

[4] Alejandro desplegó sus tropas delante de la ciudad, justo por donde el muro le parecía más accesible. Al amanecer del día siguiente, y a la vista de que la ciudad estaba circunvalada por una doble muralla, los macedonios forzaron el paso con relativa facilidad por el primer muro, pues éste había sido construido un poco a la ligera. Tras ello, los bárbaros formaron delante del segundo muro, aguardando un poco la llegada de los macedonios, pero cuando las escaleras de asalto empezaron a apoyarse sobre el muro y los defensores de primera fila eran alcanzados por las flechas lanzadas desde todas partes, no aguantaron ya más, sino que abandonaron la ciudad, saliendo por las puertas en dirección a los vecinos montes. [5] Algunos de ellos perecieron en la huida, y los macedonios dieron muerte a todos los que cogieron vivos, irritados por la herida que Alejandro había sufrido en el primer combate.

ὀργιζόμενοι· οἱ πολλοὶ δὲ ἐς τὰ ὄρη, ὅτι οὐ μακρὰν τῆς πόλεως τὰ ὄρη ἦν, ἀπέφυγον. τὴν πόλιν δὲ κατασκάψας ἐς Ἄνδακα ἄλλην πόλιν ἦγε. ταύτην δὲ ὁμολογίᾳ ἐνδοθεῖσαν κατασχὼν Κρατερὸν μὲν ξὺν τοῖς ἄλλοις ἡγεμόσι τῶν πεζῶν καταλείπει αὐτοῦ ἐξαιρεῖν ὅσαι ἂν ἄλλαι πόλεις μὴ ἑκοῦσαι προσχωρῶσι καὶ τὰ κατὰ τὴν χώραν ὅπως ξυμφορώτατον ἐς τὰ παρόντα κοσμεῖν.

24. Αὐτὸς δὲ ἄγων τοὺς ὑπασπιστάς τε καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας καὶ τὴν Κοίνου τε καὶ Ἀττάλου τάξιν καὶ τῶν ἱππέων τὸ ἄγημα καὶ τῶν ἄλλων ἑταίρων ἐς τέσσαρας μάλιστα ἱππαρχίας καὶ τῶν ἱπποτοξοτῶν τοὺς ἡμίσεας ὡς ἐπὶ τὸν ποταμὸν τὸν † Εὐασ . . . πόλεως προὐχώρει, ἵνα ὁ τῶν Ἀσπασίων ὕπαρχος ἦν· καὶ διελθὼν πολλὴν ὁδὸν [2] δευτεραῖος ἀφίκετο πρὸς τὴν πόλιν. οἱ δὲ βάρβαροι προσάγοντα αἰσθόμενοι Ἀλέξανδρον ἐμπρήσαντες τὴν πόλιν ἔφευγον πρὸς τὰ ὄρη. οἱ δ᾽ ἀμφ᾽ Ἀλέξανδρον εἴχοντο τῶν φευγόντων ἔστε ἐπὶ τὰ ὄρη, καὶ φόνος πολὺς γίγνεται τῶν βαρβάρων, πρὶν ἐς τὰς δυσχωρίας φθάσαι ἀπελθόντας. [3] Τὸν δὲ ἡγεμόνα αὐτὸν τῶν ταύτῃ Ἰνδῶν Πτολεμαῖος ὁ Λάγου πρός τινι ἤδη γηλόφῳ ὄντα κατιδὼν καὶ τῶν ὑπασπιστῶν ἔστιν οὓς ἀμφ᾽ αὐτὸν ξὺν πολὺ ἐλάττοσιν αὐτὸς ὢν ὅμως ἐδίωκεν ἔτι ἐκ τοῦ ἵππου· ὡς δὲ χαλεπὸς ὁ γήλοφος τῷ ἵππῳ ἀναδραμεῖν ἦν, τοῦτον μὲν αὐτοῦ καταλείπει παραδούς τινι τῶν ὑπασπιστῶν ἄγειν, αὐτὸς δὲ ὡς εἶχε πεζὸς τῷ Ἰνδῷ εἵπετο. [4] ὁ δὲ ὡς πελάζοντα ἤδη κατεῖδε τὸν Πτολεμαῖον, αὐτός τε μεταβάλλει ἐς τὸ ἔμπαλιν καὶ οἱ ὑπασπισταὶ ξὺν αὐτῷ. καὶ ὁ μὲν Ἰνδὸς τοῦ Πτολεμαίου διὰ τοῦ θώρακος παίει ἐκ χειρὸς ἐς τὸ στῆθος ξυστῷ μακρῷ, καὶ ὁ θώραξ ἔσχε τὴν πληγήν· Πτολεμαῖος δὲ τὸν μηρὸν διαμπὰξ βαλὼν [5] τοῦ Ἰνδοῦ καταβάλλει τε καὶ σκυλεύει αὐτόν. ὡς δὲ τὸν ἡγεμόνα σφῶν κείμενον οἱ ἀμφ᾽ αὐτὸν εἶδον, οὗτοι μὲν οὐκέτι ἔμενον, οἱ δὲ ἐκ τῶν ὀρῶν αἰρόμενον τὸν νεκρὸν τοῦ ὑπάρχου ἰδόντες πρὸς τῶν πολεμίων ἤλγησάν τε καὶ καταδραμόντες ξυνάπτουσιν ἐπ᾽ αὐτῷ μάχην καρτερὰν πρὸς τῷ γηλόφῳ. ἤδη γὰρ καὶ Ἀλέξανδρος ἔχων τοὺς ἀπὸ τῶν ἵππων καταβεβηκότας πεζοὺς πρὸς τῷ γηλόφῳ ἦν. καὶ οὗτοι ἐπιγενόμενοι μόγις ἐξέωσαν τοὺς Ἰνδοὺς ἐς τὰ ὄρη καὶ τοῦ νεκροῦ ἐκράτησαν.

[6] Ὑπερβαλὼν δὲ τὰ ὄρη Ἀλέξανδρος ἐς πόλιν κατῆλθεν, ᾗ ὄνομα ἦν Ἀριγαῖον· καὶ ταύτην καταλαμβάνει ἐμπεπρησμένην ὑπὸ τῶν

La mayor parte, empero, consiguieron huir a las colinas cercanas a la ciudad. Alejandro arrasó hasta los cimientos la ciudad, poniéndose acto seguido en camino hacia Andaca. Ésta se le entregó y puso en sus manos mediante unas negociaciones pactadas. Dejó en ella a Crátero con los demás jefes de infantería, con órdenes de destruir todas aquellas ciudades que no quisieran pasarse voluntariamente a su bando, y disponer los asuntos concernientes a este territorio del modo más conveniente a tenor de las circunstancias presentes.

Aristía de Tolomeo, hijo de Lago.

24 Reunió Alejandro ahora a los hipaspistas, arqueros y agrianes, al batallón de Ceno y al de Átalo, el *ágēma* de caballería y el resto de los Compañeros hasta un total de cuatro hiparquías [95], más la mitad de los arqueros a caballo y avanzó con ellos hacia el río*** [96], de una ciudad donde estaba el gobernador de los aspasios. Después de recorrer un largo trayecto en dos días llegó a divisar la ciudad. [2] Al tener noticias los bárbaros de que Alejandro estaba cerca, prendieron fuego a su ciudad y buscaron refugio en los próximos montes. Los soldados de Alejandro persiguieron a los fugitivos hasta los montes, matando a gran número de ellos, hasta que éstos consiguieron adelantarse perdiéndose entre las sinuosidades del terreno.

[3] Tolomeo, hijo de Lago, vio que el jefe del ejército de los indios se había detenido en una colina, y aunque los hipaspistas que acompañaban a Tolomeo eran sólo unos pocos, se lanzó éste a caballo en persecución de aquél. Como la subida a la colina le resultaba penosa a los caballos de Tolomeo y sus hombres, bajó de su caballo y se lo entregó a uno de los hipaspistas para que se hiciera cargo del mismo, mientras él se puso a perseguir a pie al jefe de los indios. [4] Al ver éste que Tolomeo se le aproximaba, se dio la vuelta seguido de su guardia [97] y golpeó de cerca con su larga lanza en el pecho de Tolomeo, aunque la coraza le aminoró el golpe. Por su parte, Tolomeo atravesó de lado a lado el muslo del indio, derribándolo a tierra, donde lo despojó de sus armas. [5] Cuando sus hombres lo vieron así, abatido por tierra, ya no aguardaron en sus puestos, y por su parte los que estaban en los montes, al ver cómo el cadáver de su gobernador era arrastrado por los enemigos, llenos de rabia se lanzaron a la carrera contra ellos, librando una terrible batalla al pie mismo del monte. Menos mal que ya se habían acercado hacia allá Alejandro y sus tropas de infantería, desmontados ahora ya de sus caballos para cargar sobre los indios, a los que consiguieron desalojar, bien que con cierta dificultad, de su emplazamiento y hacerlos retroceder hacia los montes, quedando Alejandro dueño del cadáver de su enemigo.

[6] Cruzó Alejandro ahora los montes para llegar a la ciudad de Arigeo [98], sorprendiéndole cómo sus habitantes le habían prendido fuego y se

ἐνοικούντων καὶ τοὺς ἀνθρώπους πεφευγότας. ἐνταῦθα δὲ ἀφίκοντο αὐτῷ καὶ οἱ ἀμφὶ Κρατερὸν ξὺν τῇ στρατιᾷ πεπραγμένων σφίσι ξυμπάντων ὅσα ὑπὸ τοῦ βασιλέως ἐτέτακτο. [7] ταύτην μὲν δὴ τὴν πόλιν, ὅτι ἐν ἐπικαίρῳ χωρίῳ ἐδόκει ᾠκίσθαι, ἐκτειχίσαι τε προστάσσει Κρατερῷ καὶ ξυνοικίσαι ἐς αὐτὴν τούς τε προσχώρους ὅσοι ἐθελονταί καὶ εἰ δή τινες ἀπόμαχοι τῆς στρατιᾶς. αὐτὸς δὲ προὐχώρει ἵνα ξυμπεφευγέναι ἐπυνθάνετο τοὺς πολλοὺς τῶν ταύτῃ βαρβάρων. ἐλθὼν δὲ πρός τι ὄρος κατεστρατοπέδευσεν ὑπὸ ταῖς ὑπωρείαις τοῦ ὄρους. [8] Καὶ ἐν τούτῳ Πτολεμαῖος ὁ Λάγου ἐκπεμφθεὶς μὲν ὑπὸ Ἀλεξάνδρου ἐς προνομήν, προελθὼν δὲ προσωτέρω αὐτὸς ξὺν ὀλίγοις ὡς ἐς κατασκοπήν, ἀπαγγέλλει Ἀλεξάνδρῳ πυρὰ κατιδεῖν τῶν βαρβάρων πλείονα ἢ ἐν τῷ Ἀλεξάνδρου στρατοπέδῳ. [9] καὶ Ἀλέξανδρος τῷ μὲν πλήθει τῶν πυρῶν ἠπίστησεν, εἶναι δέ τι ξυνεστηκὸς τῶν ταύτῃ βαρβάρων αἰσθόμενος μέρος μὲν τῆς στρατιᾶς αὐτοῦ καταλείπει πρὸς τῷ ὄρει ὡς εἶχον ἐστρατοπεδευμένους· αὐτὸς δὲ ἀναλαβὼν ὅσοι ἀποχρῶντες ἐς τὰ ἀπηγγελμένα ἐφαίνοντο, ὡς πλησίον ἤδη ἀφεώρων τὰ πυρά, τρίχα διανέμει τὴν στρατιάν. [10] καὶ τῷ μὲν ἑνὶ ἐπέταξε Λεοννάτον τὸν σωματοφύλακα, ξυντάξας αὐτῷ τήν τε Ἀττάλου καὶ τὴν Βαλάκρου τάξιν· τὴν δευτέραν δὲ μοῖραν Πτολεμαίῳ τῷ Λάγου ἄγειν ἔδωκε, τῶν τε ὑπασπιστῶν τῶν βασιλικῶν τὸ τρίτον μέρος καὶ τὴν Φιλίππου καὶ Φιλώτα τάξιν καὶ δύο χιλιαρχίας τῶν τοξοτῶν καὶ τοὺς Ἀγριᾶνας καὶ τῶν ἱππέων τοὺς ἡμίσεας· τὴν δὲ τρίτην μοῖραν αὐτὸς ἦγεν ἵνα οἱ πλεῖστοι τῶν βαρβάρων ἐφαίνοντο.

25. Οἱ δὲ ὡς ᾔσθοντο προσάγοντας τοὺς Μακεδόνας, κατεῖχον γὰρ χωρία ὑπερδέξια, τῷ τε πλήθει σφῶν θαρσήσαντες καὶ τῶν Μακεδόνων, ὅτι ὀλίγοι ἐφαίνοντο, καταφρονήσαντες ἐς τὸ πεδίον ὑποκατέβησαν· καὶ μάχη γίγνεται καρτερά. ἀλλὰ τούτους μὲν οὐ ξὺν πόνῳ ἐνίκα Ἀλέξανδρος· [2] οἱ δὲ ἀμφὶ Πτολεμαῖον οὐκ ἐν τῷ ὁμαλῷ παρετάξαντο, ἀλλὰ γήλοφον γὰρ κατεῖχον οἱ βάρβαροι, ὀρθίους ποιήσαντας [I] τοὺς λόχους Πτολεμαῖος προσῆγεν ᾗπερ ἐπιμαχ[ιμ]ώτατον τοῦ λόφου ἐφαίνετο, οὐ πάντῃ τὸν λόφον κυκλωσάμενος, ἀλλ᾽ ἀπολιπών, εἰ φεύγειν ἐθέλοιεν οἱ βάρβαροι, χώραν

[I] Reiske: ποιήσαντες codd.; Roos.

habían escapado huyendo. Se unieron a él allí las tropas de Crátero y sus Compañeros, después de haber cumplido cuanto Alejandro les había encomendado. [7] Le pareció a Alejandro ésta una ciudad ubicada en un lugar muy estratégico, y por ello encargó a Crátero que la fortificara y repoblara con los habitantes vecinos de aquella tierra que quisieran instalarse en ella, así como con los soldados del ejército que hubieran quedado inútiles para el servicio de armas. Mientras tanto, continuó él su avance hacia donde, según sus noticias, habían huido la mayoría de los bárbaros; llegó así al pie de un monte a cuyas faldas hizo acampar a su ejército.

[8] En esto, Tolomeo, hijo de Lago, que se había apartado un poco a buscar forraje por encargo de Alejandro, se había alejado algo más con algunos hombres a inspeccionar los alrededores; de regreso trajo noticias a Alejandro de haber visto en el campamento bárbaro mayor número de hogueras que las que había [9] en el propio campamento de Alejandro. Desconfió éste al principio de este número, pero al ver que se trataba de una asamblea de bárbaros de este territorio, dejó en reserva una parte de su ejército al pie del monte donde estaba, mientras que él se puso al frente de un contingente de hombres, suficiente a su juicio, en vista del número de bárbaros allí reunidos; procedió a dividir el grupo en tres secciones, según se iban acercando a los fuegos enemigos.

[10] Al frente de una de ellas puso a Leónato, uno de su guardia personal, asignándole el batallón de Átalo y el de Balacro; la segunda sección, formada por un tercio de los hipaspistas reales, los batallones de Filipo y Filotas y dos quiliarquías de arqueros, los agrianes y la mitad de la caballería, quedó a cargo de Tolomeo, hijo de Lago. Al frente de la tercera se puso él mismo, situándose donde al parecer formaba la mayor parte de los bárbaros.

25 Al ver éstos que los macedonios se les aproximaban, continuaron ocupando sus posiciones dominantes. Algo después, confiados en su número y despreciando a los macedonios que tan pocos eran, bajaron hasta las posiciones situadas algo más abajo. El combate que allí se originó fue muy duro, aunque Alejandro terminó por imponerse sin grandes dificultades.

[2] Las tropas de Tolomeo se habían alineado en orden de batalla sobre un terreno no liso, pero como los bárbaros ocupaban las alturas, Tolomeo formó las compañías en orden de columna, llevándolos hacia donde el cerro parecía más fácilmente expugnable, sin cerrar con sus tropas por completo el perímetro del cerro, sino que dejó un corredor por el que los bárbaros, llegado el caso, pudieran emprender

αὐτοῖς ἐς τὴν φυγήν. [3] καὶ γίγνεται καὶ τούτοις μάχη καρτερὰ τοῦ χωρίου τῇ χαλεπότητι καὶ ὅτι οὐ κατὰ τοὺς ἄλλους τοὺς ταύτῃ βαρβάρους οἱ Ἰνδοί, ἀλλὰ πολὺ δή τι ἀλκιμώτατοι τῶν προσχώρων εἰσίν. ἐξώσθησαν δὲ καὶ οὗτοι ἀπὸ τοῦ ὄρους ὑπὸ τῶν Μακεδόνων· καὶ οἱ ἀμφὶ Λεοννάτον τῇ τρίτῃ μοίρᾳ τῆς στρατιᾶς ὡσαύτως ἔπραξαν· ἐνίκων γὰρ καὶ οὗτοι τοὺς κατὰ σφᾶς. [4] καὶ λέγει Πτολεμαῖος ἀνθρώπους μὲν ληφθῆναι τοὺς πάντας ὑπὲρ τετρακισμυρίους, βοῶν δὲ ὑπὲρ τὰς τρεῖς καὶ εἴκοσι μυριάδας· καὶ τούτων τὰς καλλίστας ἐπιλεξάμενον Ἀλέξανδρον, ὅτι διαφέρουσαι αὐτῷ κάλλει τε καὶ μεγέθει ἐφαίνοντο, πέμψαι ἐθέλειν ἐς Μακεδονίαν ἐργάζεσθαι τὴν χώραν. [5] Ἐντεῦθεν ἐπὶ τὴν τῶν Ἀσσακηνῶν χώραν ἦγεν· τούτους γὰρ ἐξηγγέλλετο παρεσκευάσθαι ὡς μαχουμένους, ἱππέας μὲν ἐς δισχιλίους ἔχοντας, πεζοὺς δὲ ὑπὲρ τοὺς τρισμυρίους, τριάκοντα δὲ ἐλέφαντας. Κρατερὸς μὲν δὴ ἐκτετειχικὼς ἤδη τὴν πόλιν, ἐφ' ἧς τῷ οἰκισμῷ κατελέλειπτο, τούς τε βαρύτερον ὡπλισμένους τῆς στρατιᾶς Ἀλεξάνδρῳ ἦγεν καὶ τὰς μηχανάς, εἴ που πολιορκίας δεήσειεν. [6] αὐτὸς δὲ Ἀλέξανδρος τούς τε ἑταίρους ἱππέας ἄγων καὶ τοὺς ἱππακοντιστὰς καὶ τὴν Κοίνου καὶ Πολυπέρχοντος τάξιν καὶ τοὺς Ἀγριᾶνας τοὺς χιλίους καὶ τοὺς τοξότας ᾔει ὡς ἐπὶ τοὺς Ἀσσακηνούς· ἦγε δὲ διὰ τῆς Γουραίων χώρας. [7] καὶ τὸν ποταμὸν τὸν ἐπώνυμον τῆς χώρας τὸν Γουραῖον χαλεπῶς διέβη, διὰ βαθύτητά τε καὶ ὅτι ὀξὺς ὁ ῥοῦς ἦν αὐτῷ καὶ οἱ λίθοι στρογγύλοι ἐν τῷ ποταμῷ ὄντες σφαλεροὶ τοῖς ἐπιβαίνουσιν ἐγίγνοντο. οἱ δὲ βάρβαροι ὡς προσάγοντα ᾔσθοντο Ἀλέξανδρον, ἀθρόοι μὲν ἐς μάχην καταστῆναι οὐκ ἐτόλμησαν, διαλυθέντες δὲ ὡς ἕκαστοι κατὰ πόλεις ταύτας ἐπενόουν ἀπομαχόμενοι διασώζειν.

26 Καὶ Ἀλέξανδρος πρῶτα μὲν ἐπὶ Μάσσαγα ἦγε, τὴν μεγίστην τῶν ταύτῃ πόλεων. ὡς δὲ προσῆγεν ἤδη τοῖς τείχεσι, θαρρήσαντες οἱ βάρβαροι τοῖς μισθοφόροις τοῖς ἐκ τῶν πρόσω Ἰνδῶν, ἦσαν γὰρ οὗτοι ἐς ἑπτακισχιλίους, ὡς στρατοπεδευομένους εἶδον τοὺς Μακε δόνας, δρόμῳ ἐπ' αὐτοὺς ᾔεσαν. [2] καὶ Ἀλέξανδρος ἰδὼν πλησίον τῆς πόλεως ἐσομένην τὴν μάχην προσωτέρω ἐκκαλέσασθαι αὐτοὺς βουληθεὶς τῶν τειχῶν, ὡς εἰ τροπὴ γίγνοιτο, ἐγίγνωσκεν γὰρ ἐσομένην, μὴ δι' ὀλίγου ἐς τὴν πόλιν καταφυγόντες εὐμαρῶς διασώζοιντο, ὡς ἐκθέοντας εἶδε

la huida. [3] Se produjo también allí un violento combate, debido no tanto a lo escabroso del lugar, como a que estos indios son mucho más valientes que sus vecinos. Con todo, fueron desalojados de la colina por los macedonios. Leónato y sus hombres, que componían uno de los tres tercios del ejército, resultaron igualmente victoriosos, consiguiendo derrotar a sus oponentes. [4] Según cuenta Tolomeo, fueron capturados un total de cuarenta mil hombres y doscientos treinta mil y pico bueyes, de los cuales Alejandro seleccionó los que le parecían más hermosos y grandes para enviarlos a Macedonia a labrar la tierra.

[5] Desde aquí se dirigió Alejandro a la región de los asacenos, que se habían preparado ya para la lucha, según noticias a él llegadas, con dos mil jinetes, más de treinta mil infantes y treinta elefantes. Crátero, que ya había terminado de fortificar la ciudad, motivo que le había retenido allí, aportó al contingente de Alejandro la infantería pesada y las máquinas de asalto, por si necesitaba acudir a ellas para el asedio de la ciudad. [6] Alejandro, al frente de la caballería de los Compañeros, los lanzadores de dardos a caballo, los batallones de Ceno y Poliperconte, los mil agrianes [99] y arqueros, avanzó hacia el territorio de los asacenos, a través del país de los gureos. [7] Mucho le costó cruzar el río Gureo [100], epónimo de la región, a causa de su profundidad y por su impetuosa corriente, a más de porque en su lecho arrastra cantos rodados que hacían resbalar a los que intentaban atravesar el río. Al ver los bárbaros que Alejandro se les acercaba, no se atrevieron a guardar la formación para hacerles frente juntos, sino que se dispersaron pensando tan sólo cada uno en procurar la salvación y defensa de su propia ciudad.

***Alejandro en Masaga*.**

26 Alejandro se dirigió en seguida hacia Masaga [101], que es la ciudad más importante de la región. Cuando sus tropas llegaron ante los muros de la ciudad, los bárbaros, que se hallaban muy envalentonados por haber recibido como refuerzos unos siete mil mercenarios [102] de la India más al interior, cayeron sobre el ejército macedonio al verlo acampado al pie de sus murallas.

[2] Alejandro se percató de que el combate iba a desarrollarse en un lugar demasiado próximo a la ciudad, mientras que lo que a él le interesaba era que los bárbaros se alejaran de sus murallas, para que en el caso de que se produjera (y él estaba seguro de que así ocurriría) una brusca maniobra de contraataque no les fuera posible a los bárbaros escapar y salvarse, refugiándose en la ciudad que tan cerca se encontraba. Efectivamente, al ver cómo los bárbaros salían de la ciudad para atacarle, ordenó a sus

τοὺς βαρβάρους, μεταβαλλομένους κελεύει τοὺς Μακεδόνας ὀπίσω ἀποχωρεῖν ὡς πρὸς γήλοφόν τινα ἀπέχοντα ἀπὸ τοῦ χωρίου, ἵναπερ στρατοπεδεύειν ἐγνώκει, ἑπτά που μάλιστα σταδίους. [3] καὶ οἱ πολέμιοι ἀναθαρσήσαντες, ὡς ἐγκεκλικότων ἤδη τῶν Μακεδόνων, δρόμῳ τε καὶ ξὺν οὐδενὶ κόσμῳ ἐφέροντο ἐς αὐτούς. ὡς δὲ ἐξικνεῖτο ἤδη τὰ τοξεύματα, ἐνταῦθα Ἀλέξανδρος ἀπὸ ξυνθήματος ἐπιστρέψας ἐς αὐτοὺς τὴν φάλαγγα δρόμῳ ἀντεπῆγε. [4] πρῶτοι δὲ οἱ ἱππακοντισταί τε αὐτῷ καὶ οἱ Ἀγριᾶνες καὶ οἱ τοξόται ἐκδραμόντες ξυνέμιξαν τοῖς βαρβάροις· αὐτὸς δὲ τὴν φάλαγγα ἐν τάξει ἦγεν. οἱ δὲ Ἰνδοὶ τῷ τε παραλόγῳ ἐκπλαγέντες καὶ ἅμα ἐν χερσὶ γεγενημένης τῆς μάχης ἐγκλίναντες ἔφευγον ἐς τὴν πόλιν. καὶ ἀπέθανον μὲν αὐτῶν ἀμφὶ τοὺς διακοσίους, οἱ δὲ λοιποὶ ἐς τὰ τείχη κατεκλείσθησαν. καὶ Ἀλέξανδρος προσῆγε τῷ τείχει τὴν φάλαγγα, καὶ ἐντεῦθεν τοξεύεται μὲν ἀπὸ τοῦ τείχους ἐς τὸ σφυρὸν οὐ χαλεπῶς. [5] ἐπαγαγὼν δὲ τὰς μηχανὰς τῇ ὑστεραίᾳ τῶν μὲν τειχῶν τι εὐμαρῶς κατέσεισε, βιαζομένους δὲ ταύτῃ τοὺς Μακεδόνας ᾗ παρέρρηκτο τοῦ τείχους οὐκ ἀτόλμως οἱ Ἰνδοὶ ἠμύνοντο, ὥστε ταύτῃ μὲν τῇ ἡμέρᾳ ἀνεκαλέσατο τὴν στρατιάν. τῇ δὲ ὑστεραίᾳ τῶν τε Μακεδόνων αὐτῶν ἡ προσβολὴ καρτερωτέρα ἐγίγνετο καὶ πύργος ἐπήχθη ξύλινος τοῖς τείχεσιν, ὅθεν ἐκτοξεύοντες οἱ τοξόται καὶ βέλη ἀπὸ μηχανῶν ἀφιέμενα ἀνέστελλεν ἐπὶ πολὺ τοὺς Ἰνδούς. ἀλλ' οὐδὲ ὣς βιάσασθαι εἴσω τοῦ τείχους οἷοί τε ἐγένοντο. [6] Τῇ δὲ τρίτῃ προσαγαγὼν αὖθις τὴν φάλαγγα καὶ ἀπὸ μηχανῆς γέφυραν ἐπιβαλὼν τοῦ τείχους ᾗ παρερρωγὸς ἦν, ταύτῃ ἐπῆγε τοὺς ὑπασπιστάς, οἵπερ αὐτῷ καὶ Τύρον ὡσαύτως ἐξεῖλον. πολλῶν δὲ ὑπὸ προθυμίας ὠθουμένων ἄχθος λαβοῦσα μεῖζον ἡ γέφυρα κατερράγη καὶ πίπτουσι ξὺν αὐτῇ οἱ Μακεδόνες. [7] οἱ δὲ βάρβαροι ἰδόντες τὸ γιγνόμενον λίθοις τε ξὺν βοῇ ἀπὸ τῶν τειχῶν καὶ τοξεύμασι καὶ ἄλλῳ ὅτῳ τις μετὰ χεῖρας ἔχων ἐτύγχανεν ἢ ὅτῳ τις ἐν τῷ τότε ἔλαβεν ἐξηκόντιζον ἐς τοὺς Μακεδόνας· οἱ δὲ καὶ κατὰ θύρας, αἵτινες αὐτοῖς κατὰ τὰ μεσοπύργια μικραὶ ἦσαν, ἐκθέοντες ἐκ χειρὸς ἔπαιον τεταραγμένους.

27 Ἀλέξανδρος δὲ πέμπει Ἀλκέταν ξὺν τῇ αὐτοῦ τάξει τούς τε κατατετρωμένους ἀναλαβεῖν καὶ ὅσοι προσεμάχοντο ἐπανακαλέσασθαι ὡς ἐπὶ τὸ στρατόπεδον. καὶ τῇ τετάρτῃ ὡσαύτως ἀπ'

5. Ἀλλὰ ὑπὲρ Ἰνδῶν ἰδίᾳ μοι γεγράψεται ὅσα πιστότατα ἐς ἀφήγησιν οἵ τε ξὺν Ἀλεξάνδρῳ στρατεύσαντες καὶ ὁ ἐκπεριπλεύσας τῆς μεγάλης θαλάσσης τὸ κατ᾽ Ἰνδοὺς Νέαρχος, ἐπὶ δὲ ὅσα Μεγασθένης τε καὶ Ἐρατοσθένης, δοκίμω ἄνδρε, ξυνεγραψάτην, καὶ νόμιμα ἅττα Ἰνδοῖς ἐστι καὶ εἰ δή τινα ἄτοπα ζῷα αὐτόθι φύεται καὶ τὸν παράπλουν αὐτὸν τῆς ἔξω θαλάσσης. [2] νῦν δὲ ὅσον ἐς τὰ Ἀλεξάνδρου ἔργα ἀποχρῶν ἐφαίνετο, τοσόνδε μοι ἀναγεγράφθω· τὸν Ταῦρον τὸ ὄρος ἀπείργειν τὴν Ἀσίαν, ἀρχόμενον μὲν ἀπὸ Μυκάλης τοῦ καταντικρὺ Σάμου τῆς νήσου ὄρους, ἀποτεμνόμενον δὲ τήν τε Παμφύλων καὶ Κιλίκων γῆν ἔνθεν μὲν ὡς ἐς Ἀρμενίαν παρήκειν, ἀπὸ δὲ Ἀρμενίων ὡς ἐπὶ Μηδίαν παρὰ Παρθυ<α>ίους τε καὶ Χορασμίους, κατὰ δὲ Βακτρίους ξυμβάλλειν τῷ Παραπαμίσῳ ὄρει, [3] ὃ δὴ Καύκασον ἐκάλουν οἱ Ἀλεξάνδρῳ ξυστρατεύσαντες Μακεδόνες, ὡς μὲν λέγεται τὰ Ἀλεξάνδρου αὔξοντες, ὅτι δὴ καὶ ἐπέκεινα ἄρα τοῦ Καυκάσου κρατῶν τοῖς ὅπλοις ἦλθεν Ἀλέξανδρος· τυχὸν δὲ καὶ ξυνεχὲς τυγχάνει ὂν τοῦτο τὸ ὄρος τῷ ἄλλῳ τῷ Σκυθικῷ Καυκάσῳ, καθάπερ οὖν αὐτῷ τούτῳ ὁ Ταῦρος· καὶ ἐμοὶ αὐτῷ πρότερόν ποτε ἐπὶ τῷδε λέλεκται Καύκασος τὸ ὄρος τοῦτο καὶ ὕστερον τῷδε τῷ ὀνόματι κληθήσεται·

[4] τὸν δὲ Καύκασον τοῦτον καθήκειν ἔστε ἐπὶ <τὴν> μεγάλην τὴν πρὸς ἕω τε καὶ Ἰνδοὺς θάλασσαν. τοὺς οὖν ποταμούς, ὅσοι κατὰ τὴν Ἀσίαν λόγου ἄξιοι, ἐκ τοῦ Ταύρου τε καὶ τοῦ Καυκάσου ἀνίσχοντας τοὺς μὲν ὡς ἐπ᾽ ἄρκτον τετραμμένον ἔχειν τὸ ὕδωρ, καὶ τούτων τοὺς μὲν ἐς τὴν λίμνην ἐκδιδόναι τὴν Μαιῶτιν, τοὺς δὲ ἐς τὴν Ὑρκανίαν καλουμένην θάλασσαν, καὶ ταύτην κόλπον οὖσαν τῆς μεγάλης θαλάσσης,

en la guerra, con mucho, los más valientes de cuantos ahora habitan Asia [139]. [5] No puedo yo compararlos con los antiguos persas que acompañaron a Ciro, el hijo de Cambises. Estos persas privaron a los medos del imperio sobre todo el Asia, llegaron a dominar a muchos otros pueblos y consiguieron que buena parte de sus vecinos se les rindieran voluntariamente. En efecto, estos antiguos persas eran pobres y habitaban una región áspera, y se regían por un sistema de educación muy parecido al de los espartanos [140]. Tampoco puedo evaluar con precisión el revés que los persas sufrieron en Escitia, hasta el punto de afirmar si ocurrió ello por alguna circunstancia debida a la dificultad del terreno, o por algún error de cálculo de parte de Ciro, o bien que fuera que los persas se mostraron en este momento menos preparados para la guerra que los escitas de esta región.

Proyecto de escribir la «India».

5 Yo tengo previsto escribir sobre la India un tratado especial [141], siguiendo en la narración los testimonios más fiables de los que acompañaron a Alejandro en sus expediciones, así como del relato de Nearco [142], que realizó el cabotaje por el gran Mar de la India. A estos testimonios añadiré los de Megástenes [143] y Eratóstenes, hombres ambos dignos de crédito. Pasaré revista a las costumbres de los indios, si en su territorio se crían animales exóticos, así como la circunnavegación del mar Exterior. [2] Por ahora describamos sólo cuanto me pareció pertinente para las campañas de Alejandro.

Los límites de Asia los señala por un lado la cordillera del Tauro, que parte de Micale, la montaña que hay frente a la isla de Samos. Dividiendo la tierra de Panfilia y Cilicia llega hasta Armenia, y desde aquí se dirige hacia la Media, Partia y Corasmia. En Bactria se une con el monte Parapamiso, [3] al que los soldados que acompañaban a Alejandro llamaron Cáucaso, por aumentar, según se dice, la fama de Alejandro, ya que así se daba por sentado que Alejandro llegó con su ejército, victorioso, más allá de los límites del Cáucaso. Es posible que este monte Cáucaso no sea sino continuación del Cáucaso escita, al igual que de éste lo es el monte Tauro, de ahí que yo ya anteriormente lo haya llamado Cáucaso, y lo seguiré así llamando de aquí en adelante. [4] El Cáucaso, digo, se extiende en dirección Este, hacia la India, hasta el Gran Mar. Todos los ríos dignos de mención del Asia nacen en el Tauro o en el Cáucaso, dirigiendo su curso algunos de ellos hacia el Norte hasta desembocar en el lago Meótide [144], que es un golfo del Gran Mar [145];

[5] τοὺς δὲ ὡς ἐπὶ νότον ἄνεμον τὸν Εὐφράτην τε εἶναι καὶ τὸν Τίγρητα καὶ τὸν Ἰνδόν τε καὶ τὸν Ὑδάσπην καὶ Ἀκεσίνην καὶ Ὑδραώτην καὶ Ὕφασιν καὶ ὅσοι ἐν μέσῳ τούτων τε καὶ τοῦ Γάγγου ποταμοῦ ἐς θάλασσαν καὶ οὗτοι ἐσβάλλουσιν ἢ εἰς τενάγη ἀναχεόμενοι ἀφανίζονται, καθάπερ ὁ Εὐφράτης ποταμὸς ἀφανίζεται.

6. Ὅτῳ δὴ τὰ τῆς Ἀσίας ὧδε ἔχει ὡς πρὸς τοῦ Ταύρου τε καὶ τοῦ Καυκάσου τέμνεσθαι ἀπὸ ἀνέμου ζεφύρου ὡς ἐπὶ ἀπηλιώτην ἄνεμον τὴν Ἀσίαν, τούτῳ δύο μὲν αὗται μέγισται πρὸς αὐτοῦ τοῦ Ταύρου τῆς Ἀσίας μοῖραι γίγνονται, ἡ μὲν ἐς μεσημβρίαν τε καὶ πρὸς νότον ἄνεμον [τοῦ Ταύρου] κεκλιμένη, ἡ δὲ ἐπ᾽ ἄρκτον τε καὶ ἄνεμον βορρᾶν. [2] τῆς δὲ ὡς ἐπὶ νότον Ἀσίας τετραχῇ αὖ τεμνομένης μεγίστην μὲν μοῖραν τὴν Ἰνδῶν γῆν ποιεῖ Ἐρατοσθένης τε καὶ Μεγασθένης, ὃς ξυνῆν μὲν Σιβυρτίῳ τῷ σατράπῃ τῆς Ἀραχωσίας, πολλάκις δὲ λέγει ἀφικέσθαι παρὰ Σανδράκοττον τὸν Ἰνδῶν βασιλέα, ἐλαχίστην δὲ ὅσην ὁ Εὐφράτης ποταμὸς ἀπείργει ὡς πρὸς τὴν ἐντὸς τὴν ἡμετέραν θάλασσαν. δύο δὲ αἱ μεταξὺ Εὐφράτου τε ποταμοῦ καὶ τοῦ Ἰνδοῦ ἀπειργόμεναι αἱ δύο ξυντεθεῖσαι μόλις ἄξιαι τῇ Ἰνδῶν γῇ ξυμβαλεῖν.

[3] ἀπείργεσθαι δὲ τὴν Ἰνδῶν χώραν πρὸς μὲν ἕω τε καὶ ἀπηλιώτην ἄνεμον ἔστε ἐπὶ μεσημβρίαν τῇ μεγάλῃ θαλάσσῃ· τὸ πρὸς βορρᾶν δὲ αὐτῆς ἀπείργειν τὸν Καύκασον τὸ ὄρος ἔστε ἐπὶ τοῦ Ταύρου τὴν ξυμβολήν· τὴν δὲ ὡς πρὸς ἑσπέραν τε καὶ ἄνεμον Ἰάπυγα ἔστε ἐπὶ τὴν μεγάλην θάλασσαν ὁ Ἰνδὸς ποταμὸς ἀποτέμνεται. καὶ ἔστι πεδίον ἡ πολλὴ αὐτῆς, καὶ τοῦτο, ὡς εἰκάζουσιν, ἐκ τῶν ποταμῶν προ<σ>κεχωσμένον. [4] εἶναι γὰρ οὖν καὶ τῆς ἄλλης χώρας ὅσα πεδία οὐ πρόσω θαλάσσης τὰ πολλὰ τῶν ποταμῶν παρ᾽ ἑκάστοις ποιήματα· ὧς δὲ καὶ τῆς χώρας τὴν ἐπωνυμίαν τοῖς ποταμοῖς ἐκ παλαιοῦ προσκεῖσθαι, καθάπερ Ἕρμου τέ τι πεδίον λέγεσθαι, ὃς κατὰ τὴν Ἀσίαν γῆν ἀνίσχων ἐξ ὄρους Μητρὸς Δινδυμήνης παρὰ Σμύρναν πόλιν Αἰολικὴν ἐκδιδοῖ ἐς θάλασσαν, καὶ ἄλλο Καΰστρου, πεδίον Λύδιον καὶ Λυδίου ποταμοῦ, καὶ Καΐκου ἄλλο ἐν Μυσίᾳ καὶ Μαιάνδρου τὸ Καρικὸν ἔστε ἐπὶ Μίλητον πόλιν Ἰωνικήν. [5] Αἴγυπτόν τε Ἡρόδοτός τε καὶ Ἑκαταῖος οἱ λογοποιοί, ἢ εἰ δή του ἄλλου ἢ Ἑκαταίου ἐστὶ τὰ ἀμφὶ τῇ γῇ τῇ Αἰγυπτίᾳ ποιήματα, δῶρόν τε τοῦ ποταμοῦ ἀμφότεροι ὡσαύτως ὀνομάζουσιν καὶ οὐκ ἀμαυροῖς

[4] otros, en cambio, dirigen su curso hacia el Sur [146], como el Eufrates y el Tigris, el Indo y el Hidaspes, Acesines, Hidraotes e Hífasis, y cuantos se hallan entre éstos y el Ganges, que o bien desembocan en el mar, o bien desaparecen formando zonas de marismas, cual se desvanece el Eufrates.

Límites de Asia.

6 Si alguien divide así el Asia, de Este a Oeste, tomando como referencia el monte Tauro y el Cáucaso, verá que son dos las partes en que Asia queda dividida por el monte Tauro; la una, orientada hacia el Mediodía y el Sur; la otra, mirando al Norte y al viento boreal.

[2] A su vez, la parte sur de Asia puede también dividirse en cuatro regiones, siendo la mayor, a juicio de Eratóstenes y Megástenes, la región de la India. (Megástenes [147] vivió con el sátrapa de Aracosia, Sibirtio, y dice que visitó en repetidas ocasiones a Sandrácoto [148], rey de los indios.) De otro lado, la región menos extensa, limitada por el Eufrates, es la que está orientada hacia nuestro mar [149]. Las dos regiones restantes, que se encuentran entre el Eufrates y el Indo, unidas ambas apenas pueden alcanzar la extensión de la India.

[3] La India limita al Este, al Oeste y por el Sur con el Gran Mar, al Norte limita con el Cáucaso y su confluencia con la cordillera del Tauro, y por el Noroeste, hasta llegar al Gran Mar, con el río Indo. En su mayor parte es un territorio llano, formado, según cabe conjeturar, por terrenos de aluvión de sus ríos.

[4] En otras zonas del país, las llanuras próximas al mar son resultado de los ríos vecinos, de suerte que incluso el nombre del país se relacionó desde antiguo con el de sus ríos. Así, se habla de una llanura de Hermo, que es el nombre de un río que atraviesa parte de Asia, desde el monte de la Madre Dindimene [150] hasta desembocar en el mar cerca de Esmirna, en Eolia. Igualmente, la llanura llamada Caistro, en Lidia, recibe su nombre del río lidio Caistro; lo mismo ocurre con el llano de Caico en Misia, y la llanura caria del Meandro, que se extiende hasta la ciudad jónica de Mileto.

[5] A Egipto lo denominaron los logógrafos Heródoto y Hecateo (sean o no de Hecateo estas historias de Egipto), empleando ambos una expresión idéntica, «don del río», demostrando,

τεκμηρίοις ὅτι ταύτῃ ἔχει Ἡροδότῳ ἐπιδέδεικται, ὡς καὶ τὴν γῆν αὐτὴν τυχὸν τοῦ ποταμοῦ εἶναι ἐπώνυμον. Αἴγυπτος γὰρ τὸ παλαιὸν ὁ ποταμὸς ὅτι ἐκαλεῖτο, ὅντινα νῦν Νεῖλον Αἰγύπτιοί τε καὶ οἱ ἔξω Αἰγύπτου ἄνθρωποι ὀνομάζουσιν, ἱκανὸς τεκμηριῶσαι Ὅμηρος, λέγων ἐπὶ τῇ ἐκβολῇ τοῦ Αἰγύπτου ποταμοῦ τὸν Μενέλεων στῆσαι τὰς νέας. [6] εἰ δὴ οὖν εἷς τε ποταμὸς παρ' ἑκάστοις καὶ οὐ μεγάλοι οὗτοι ποταμοὶ ἱκανοὶ γῆν πολλὴν ποιῆσαι ἐς θάλασσαν προχεόμενοι, ὁπότε ἰλὺν καταφέροιεν καὶ πηλὸν ἐκ τῶν ἄνω τόπων ἔνθενπερ αὐτοῖς αἱ πηγαί εἰσιν, οὐδὲ ὑπὲρ τῆς Ἰνδῶν ἄρα χώρας ἐς ἀπιστίαν ἰέναι ἄξιον, ὅπως πεδίον τε ἡ πολλή ἐστι καὶ ἐκ τῶν ποταμῶν τὸ πεδίον ἔχει προσκεχωσμένον. [7] Ἕρμον μὲν γὰρ καὶ Κάϋστρον καὶ Κάϊκόν τε καὶ Μαίανδρον ἢ ὅσοι [πολλοὶ][1] ποταμοὶ τῆς Ἀσίας ἐς τήνδε τὴν ἐντὸς θάλασσαν ἐκδιδοῦσιν οὐδὲ σύμπαντας ξυντεθέντας ἑνὶ τῶν Ἰνδῶν ποταμῶν ἄξιον ξυμβαλεῖν πλήθους ἕνεκα τοῦ ὕδατος, μὴ ὅτι τῷ Γάγγῃ τῷ μεγίστῳ, ὅτῳ οὔτε <τὸ> τοῦ Νείλου ὕδωρ τοῦ Αἰγυπτίου οὔτε ὁ Ἴστρος ὁ κατὰ τὴν Εὐρώπην ῥέων ἄξιοι ξυμβαλεῖν, [8] ἀλλ' οὐδὲ τῷ Ἰνδῷ ποταμῷ ἐκεῖνοί γε πάντες ξυμμιχθέντες ἐς ἴσον ἔρχονται, ὃς μέγας τε εὐθὺς ἀπὸ τῶν πηγῶν ἀνίσχει καὶ πεντεκαίδεκα ποταμοὺς πάντας τῶν Ἀσιανῶν μείζονας παραλαβὼν καὶ τῇ ἐπωνυμίᾳ κρατήσας οὕτως ἐκδιδοῖ ἐς θάλασσαν. ταῦτά μοι ἐν τῷ παρόντι περὶ Ἰνδῶν τῆς χώρας λελέχθω· τὰ δὲ ἄλλα ἀποκείσθω ἐς τὴν Ἰνδικὴν ξυγγραφήν.

7. Τὸ δὲ ζεῦγμα τὸ ἐπὶ τοῦ Ἰνδοῦ ποταμοῦ ὅπως μὲν ἐποιήθη Ἀλεξάνδρῳ οὔτε Ἀριστόβουλος οὔτε Πτολεμαῖος, οἷς μάλιστα ἐγὼ ἕπομαι, λέγουσιν· οὐδὲ αὐτὸς ἔχω ἀτρεκῶς εἰκάσαι, πότερα πλοίοις ἐζεύχθη ὁ πόρος, καθάπερ οὖν ὁ Ἑλλήσποντός τε πρὸς Ξέρξου καὶ ὁ Βόσπορός τε καὶ ὁ Ἴστρος πρὸς Δαρείου, ἢ γέφυρα κατὰ τοῦ ποταμοῦ διηνεκὴς ἐποιήθη αὐτῷ· δοκεῖ δ' ἔμοιγε πλοίοις μᾶλλον ζευχθῆναι· οὐ γὰρ ἂν δέξασθαι γέφυραν τὸ βάθος τοῦ ὕδατος, οὐδ' ἂν ἐν τοσῷδε χρόνῳ ἔργον οὕτως ἄτοπον ξυντελεσθῆναι. [2] εἰ δὲ δὴ πλοίοις ἐζεύχθη ὁ πόρος, πότερα ξυντεθεῖσαι αἱ νῆες σχοίνοις καὶ κατὰ στοῖχον ὁρμισθεῖσαι ἐς τὸ ζεῦγμα ἀπήρκεσαν, ὡς λέγει Ἡρόδοτος ζευχθῆναι τὸν Ἑλλήσποντον, ἢ ὅτῳ τρόπῳ Ῥωμαίοις ἐπὶ τῷ Ἴστρῳ ποταμῷ

[1] Entre corchetes por Castiglioni

especialmente Heródoto [151], con pruebas irrefutables, que fue el país el que tomó su nombre del río. Efectivamente, el nombre antiguo del río fue Egipto, aunque ahora lo llamen Nilo los egipcios y demás pueblos. La mejor prueba de ello es el propio Homero [152], cuando nos dice que Menelao varó sus naves en la desembocadura del río Egipto.

[6] Si un solo río en algún lugar de la tierra, aunque no sea precisamente el más importante, puede formar en su desembocadura una gran barra de arena, al arrastrar aguas abajo barro y fango desde las partes más altas de su curso, no hay razón para desconfiar de que así haya ocurrido en la India, que en su mayor parte es una llanura de materiales de aluvión depositados por sus ríos.

[7] Ocurre, además, que ni sumando el caudal del Hermo, Caístro y Caico, Meandro y todos los demás ríos de Asia que desembocan en el mar Interior [153], pueden igualar en volumen de agua a ninguno de los ríos de la India, y eso por no hablar del Ganges, que es el mayor de éstos, y con el que no cabe comparar el caudal del Nilo ni el del Istro que recorre Europa.

[8] Por otra parte, no podrían igualarse al Indo, ni aunque todos ellos se unificaran en un solo río, ya que el Indo es enorme desde sus mismas fuentes, y recibe como afluentes quince ríos, todos mayores que los ríos de Asia [154]. Así el Indo da nombre a la región hasta llegar a su desembocadura.

Quede dicho esto ahora a propósito de la India, que otras cosas quedarán para mi narración llamada *India.*

Alejandro cruza el Indo.

7 Ni Aristobulo ni Tolomeo nos han detallado cómo construyó Alejandro el puente sobre el Indo, y son ellos los dos autores en los que yo especialmente me baso. Por mi parte, yo tampoco puedo precisar si el paso se resolvió uniendo barcos, al modo como Jerjes cruzó el Helesponto, o Darío el Bósforo y el Istro [155], o si fue un puente construido de una a otra orilla del río. Me inclino yo, sin embargo, a que fue por medio de botes enlazados entre sí, y me baso para ello en que la profundidad del río no habría permitido la construcción de un puente, ni habría habido tiempo para construir tan extraordinaria obra. [2] Tampoco puedo precisar, supuesto que fuera ésta la forma en que se habilitó el paso del río, si los barcos fueron atados entre sí mediante cuerdas y alineados en filas hasta alcanzar la otra orilla (así fue, según cuenta Heródoto el halicarnaseo, como se hizo la travesía del Helesponto) o si fue a la manera como los romanos hicieron el puente sobre el Istro

ζεῦγμα ποιεῖται καὶ ἐπὶ τῷ Ῥήνῳ τῷ Κελτικῷ, καὶ τὸν Εὐφράτην καὶ τὸν Τίγρητα, ὁσάκις κατέλαβεν αὐτοὺς ἀνάγκη, ἐγεφύρωσαν, οὐδὲ τοῦτο ἔχω ξυμβαλεῖν. [3] καίτοι ταχυτάτη γε ὧν ἐγὼ οἶδα Ῥωμαίοις ἡ γεφύρωσις ἡ διὰ τῶν νεῶν γίγνεται, καὶ ταύτην ἐγὼ ἀφηγήσομαι ἐν τῷ παρόντι, ὅτι λόγου ἀξία. αἱ νῆες αὐτοῖς κατὰ τοῦ ῥοῦ [I] ἀφίεν.ται ἀπὸ ξυνθήματος, οὐκ ἐπ᾽ εὐθύ, ἀλλὰ καθάπερ αἱ πρύμναν κρουόμεναι. ταύτας ὑποφέρει μέν, οἷα εἰκός, ὁ ῥοῦς, ἀνέχει δὲ κελήτιον ἐπῆρες, ἔστ᾽ ἂν καταστήσῃ ἐς τὸ τεταγμένον χωρίον· καὶ ἐνταῦθα ἤδη καθίεται πλέγματα ἐκ λύγου πυραμοειδῆ πλήρη λίθων λογάδων ἀπὸ πρώρας ἑκάστης νεώς, τοῦ ἀνέχειν τὴν ναῦν πρὸς τὸν ῥοῦν. [4] ἅμα δὲ δὴ μία τις τῶν νεῶν [ἅμα δὲ δὴ] ἐσχέθη, καὶ ἄλλη ἀπὸ ταύτης διέχουσα ὅσον ξύμμετρον πρὸς ἰσχὺν τῶν ἐπιβαλλομένων ἀντίπρωρος πρὸς τὸ ῥεῦμα ὁρμίζεται· καὶ ἀπ᾽ ἀμφοῖν ξύλα τε ἐς εὐθὺ ὀξέως ἐπιβάλλεται καὶ σανίδες ἐγκάρσιαι ἐς τὸ ξυνδεῖν· καὶ διὰ πασῶν οὕτω τῶν νεῶν, ὅσαι ἱκαναὶ γεφυρῶσαι τὸν πόρον, χωρεῖ τὸ ἔργον. [5] ἑκατέρωθεν δὲ τοῦ ζεύγματος κλίμακες προβάλλονται καταπηγνύμεναι, τοῦ ἀσφαλεστέραν τοῖς τε ἵπποις καὶ τοῖς ζεύγεσι τὴν ἔφοδον γίγνεσθαι, καὶ ἅμα ὡς σύνδεσμος εἶναι τοῦ ζεύγματος. δι᾽ ὀλίγου τε ξυντελεῖται ἅπαν καὶ ξὺν πολλῷ θορύβῳ, καὶ τὸ τεταγμένον ἐν τῷ δρωμένῳ ὅμως οὐκ ἄπεστιν, οἵ τε παρακελευσμοὶ ὡς τύχοιεν κατὰ ναῦν ἑκάστην καὶ αἱ ἐπιτιμήσεις τοῦ ἐκλιποῦς οὔτε τὴν κατάκουσιν τῶν παραγγελμάτων οὔτε τὴν ὀξύτητα τοῦ ἔργου ἀφαιροῦνται.

8. Ῥωμαίοις μὲν δὴ οὕτω ταῦτα ἐκ παλαιοῦ ἐπήσκηται· Ἀλεξάνδρῳ δὲ ὅπως ἐζεύχθη ὁ Ἰνδὸς ποταμὸς οὐκ ἔχω εἰπεῖν, ὅτι μηδὲ οἱ συστρατεύσαντες αὐτῷ εἶπον. ἀλλά μοι δοκεῖ ὡς ἐγγυτάτω τούτων ἐζεῦχθαι, ἢ εἰ δή τινι ἄλλῃ μηχανῇ, ἐκείνη ἐχέτω. [2] ὡς δὲ διέβη πέραν τοῦ Ἰνδοῦ ποταμοῦ, καὶ ἐνταῦθα αὖ θύει κατὰ νόμον Ἀλέξανδρος. ἄρας δὲ ἀπὸ τοῦ Ἰνδοῦ ἐς Τάξιλα ἀφίκετο, πόλιν μεγάλην καὶ εὐδαίμονα, τὴν μεγίστην τῶν μεταξὺ Ἰνδοῦ τε ποταμοῦ καὶ Ὑδάσπου. καὶ ἐδέχετο αὐτὸν Ταξίλης ὁ ὕπαρχος τῆς πόλεως καὶ αὐτοὶ οἱ τῇδε Ἰνδοὶ φιλίως. καὶ Ἀλέξανδρος προστίθησιν αὐτοῖς χώραν τῆς ὁμόρου ὅσης ἐδέοντο.

[I] τοῦ ῥοῦ Krüger: πόρου A, conservado por Roos.

o sobre el Rin en territorio celta, o aun sobre el Eufrates y el Tigris, ríos que ellos cruzaron en repetidas ocasiones.

[3] De los métodos que yo conozco, la manera más rápida [156] de establecer un puente es según el sistema romano, es decir, por medio de naves. Yo voy a exponer ahora muy brevemente este sistema, como método digno de mención. A una señal dada, los barcos se dejan bajar siguiendo la corriente, no con las proas aguas abajo, sino vueltas contra corriente. Como es natural, la fuerza de la corriente los arrastra hacia bajo, pero una chalupa de remos les contrarresta su marcha hasta que maniobran para ocupar el lugar convenientemente asignado. Entonces hacen descender por la proa de cada nave grandes cestos de mimbre en forma piramidal, llenos de piedra para impedir que la nave sea arrastrada por la corriente. [4] Cuando se ha conseguido que una nave, luego otra, y así sucesivamente todas, queden fijas manteniendo entre sí una distancia suficiente para poder soportar lo que han de llevar encima, se les deja ancladas así con la proa contra corriente. Sobre cada dos naves contiguas se les atraviesan unas maderas, debidamente ordenadas, así como tablas dispuestas transversalmente que mantienen trabadas ambas naves. Así se continúa la obra, empleándose cuantas naves sean necesarias para formar el puente. [5] A ambos lados del puente se colocan como baranda escaleras unidas con clavos, a fin de que el paso resulte para los caballos y carruajes completamente seguro, y al mismo tiempo sirvan como unión al puente. Todo se lleva a cabo en poco tiempo y con mucho ruido; sin embargo no falta la organización en el trabajo. De este modo se van transmitiendo de barco en barco las órdenes a ejecutar, o la recriminación por lo que ha dejado de cumplirse, sin perjudicar nada de ello la estricta y puntual ejecución de lo que se ordena.

8 Éste es el método que los romanos [157] emplean desde antiguo en la travesía de cualquier río; ahora bien, no puedo afirmar yo que fuera exactamente así como Alejandro atravesó el Indo, ya que los que con él marchaban en la expedición no nos han dejado de ello testimonio alguno. Yo me atrevería a decir que tal vez fuera de un modo similar al que acabo de describir, aunque, fuera como fuera, dejemos así la cuestión. [2] Una vez atravesado el Indo, Alejandro sacrificó según costumbre, levantó el campamento de las proximidades del Indo y se dirigió a Taxila, ciudad importante y próspera, la mayor entre el río Hidaspes y el Indo. Fue recibido en ella por Taxiles, el gobernador de la ciudad, y sus habitantes en son de amistad, por lo cual Alejandro les autorizó a que se anexionaran el territorio vecino, sobre el que tenían ciertas pretensiones.

[3] ἧκον δὲ ἐνταῦθα παρ᾽ αὐτὸν καὶ παρὰ Ἀβισάρου πρέσβεις τοῦ τῶν ὀρείων Ἰνδῶν βασιλέως ὅ τε ἀδελφὸς τοῦ Ἀβισάρου καὶ ἄλλοι ξὺν αὐτῷ οἱ δοκιμώτατοι, καὶ παρὰ Δοξάρεως νομάρχου ἄλλοι, δῶρα φέροντες. καὶ ἐνταῦθα αὖ Ἀλέξανδρος ἐν Ταξίλοις θύει ὅσα οἱ νόμος καὶ ἀγῶνα ποιεῖ γυμνικόν τε καὶ ἱππικόν. καὶ ἀποδείξας σατράπην τῶν ταύτῃ Ἰνδῶν Φίλιππον τὸν Μαχάτα φρουράν τε ἀπολείπει ἐν Ταξίλοις καὶ τοὺς ἀπομάχους τῶν στρατιωτῶν διὰ νόσον· αὐτὸς δὲ ἦγεν ὡς ἐπὶ τὸν Ὑδάσπην ποταμόν. [4] Ἐπέκεινα γὰρ τοῦ Ὑδάσπου Πῶρος αὐτῷ εἶναι ἐξηγγέλλετο ξὺν τῇ στρατιᾷ πάσῃ ἐγνωκὼς εἴργειν τοῦ πόρου αὐτὸν ἢ περῶντι ἐπιτίθεσθαι. ταῦτα ὡς ἔγνω Ἀλέξανδρος, Κοῖνον μὲν τὸν Πολεμοκράτους πέμψας ὀπίσω ἐπὶ τὸν Ἰνδὸν ποταμὸν τὰ πλοῖα ὅσα παρεσκεύαστο αὐτῷ ἐπὶ τοῦ πόρου τοῦ Ἰνδοῦ ξυντεμόντα κελεύει φέρειν ὡς ἐπὶ τὸν Ὑδάσπην ποταμόν. [5] καὶ ξυνετμήθη τε τὰ πλοῖα καὶ ἐκομίσθη αὐτῷ, ὅσα μὲν βραχύτερα διχῇ διατμηθέντα, αἱ τριακόντοροι δὲ τριχῇ ἐτμήθησαν, καὶ τὰ τμήματα ἐπὶ ζευγῶν διεκομίσθη ἔστε ἐπὶ τὴν ὄχθην τοῦ Ὑδάσπου κἀκεῖ ξυμπηχθέντα ναυτικὸν αὖθις δὴ ὁμοῦ ὤφθη ἐν τῷ Ὑδάσπῃ. αὐτὸς δὲ ἀναλαβὼν ἥν τε δύναμιν ἔχων ἧκεν ἐς Τάξιλα καὶ πεντακισχιλίους τῶν Ἰνδῶν, οὓς Ταξίλης τε καὶ οἱ ταύτῃ ὕπαρχοι ἦγον, ᾔει ὡς ἐπὶ τὸν Ὑδάσπην ποταμόν.

9. Καὶ Ἀλέξανδρός τε κατεστρατοπέδευσεν ἐπὶ τῇ ὄχθῃ τοῦ Ὑδάσπου, καὶ Πῶρος κατὰ τὴν ἀντιπέρας ὄχθην ὤφθη ξὺν πάσῃ τῇ στρατιᾷ καὶ τῶν ἐλεφάντων τῷ στίφει. ταύτῃ μὲν δὴ ᾗ κατεστρατοπεδευκότα εἶδεν Ἀλέξανδρον αὐτὸς μένων ἐφύλαττε τὸν πόρον· ὅσα δὲ ἄλλα τοῦ ποταμοῦ εὐπορώτερα, ἐπὶ ταῦτα φρουρὰς διαπέμψας καὶ ἡγεμόνας ἐπιστήσας ἑκάστοις εἴργειν ἐπενόει [ἀπὸ] τοῦ πόρου τοὺς Μακεδόνας. [2] ταῦτα δὲ ὁρῶντι Ἀλεξάνδρῳ κινητέα καὶ αὐτῷ ἐδόκει ἡ στρατιὰ πολλαχῇ, ὡς τὸν Πῶρον ἀμφίβολον γίνεσθαι. διελὼν δὴ ἐς πολλὰ τὸν στρατὸν τοὺς μὲν αὐτὸς ἄλλῃ καὶ ἄλλῃ ἦγε τῆς χώρας τὰ μὲν πορθῶν ὅσα πολέμια, τὰ δὲ σκοπῶν ὅπῃ εὐπορώτερος αὐτῷ ὁ ποταμὸς φανεῖται, τοὺς δὲ τῶν ἡγεμόνων ἄλλοις [καὶ] ἄλλους ἐπιτάξας, καὶ αὐτοὺς πολλαχῇ διέπεμπε. [3] σῖτος δὲ αὐτῷ πάντοθεν ἐκ τῆς ἐπὶ τάδε τοῦ Ὑδάσπου χώρας ἐς τὸ στρατόπεδον ξυνεκομίζετο, ὡς δῆλον εἶναι

[3] Se presentaron entonces ante Alejandro unos embajadores de parte de Abisares,rey de los indios que habitan las montañas, entre los que venía el hermano de Abisares y los nobles de este pueblo, así como otros embajadores del nomarco Doxareo con gran cantidad de regalos. Alejandro celebró también aquí en Taxila los habituales sacrificios, estableciendo igualmente un certamen gimnástico e hípico. Nombró a Filipo, el hijo de Macates, sátrapa de esta región de la India, donde dejó una guarnición con los soldados que a causa de alguna enfermedad habían quedado inútiles para el servicio de las armas. Mientras, él se dirigió al río Hidaspes.

[4] Efectivamente, le habían llegado noticias de que Poro [158] se hallaba con todo su ejército al otro lado del río Hidaspes, decidido a impedirle el paso y atacarle si Alejandro intentaba cruzarlo. Al conocer estas circunstancias, Alejandro ordenó a Ceno, el hijo de Polemócrato, que regresara al Indo y trajera desguazados los barcos con los que habían atravesado el Indo, ya que con ellos pensaba cruzar el Hidaspes. [5] Los barcos fueron desguazados y transportados hasta allí, los más pequeños fueron desmembrados en dos mitades, mientras que los triecóntoros lo fueron en tres partes, que luego acarrearon a lomos de animal hasta las orillas del Hidaspes. Una vez allí volvieron a ensamblar los barcos, hasta dejarlos formados en el río. Alejandro, al frente de los hombres con que había llegado a Taxila, a los que se habían agregado cinco mil indios a las órdenes de Taxiles y los gobernadores de la región, se dirigió a las orillas del Hidaspes.

Alejandro frente a Poro.

9 Acampó Alejandro [159] en la ribera del Hidaspes, en un lugar desde donde podía divisar el ejército de Poro, situado en la otra orilla con su columna de elefantes [160]. Al ver Poro que Alejandro estaba acampado al otro lado del río mantuvo a sus hombres donde estaban, custodiando el paso del río; mas como en éste había otros lugares por donde resultaba fácil vadearlo, dispuso en ellos un buen número de guardias, explicando a los jefes de puesto que el plan consistía en impedir que lo macedonios cruzaran el río.

[2] Ante esto, Alejandro decidió hacer maniobrar a su ejército en diversas direcciones, a fin de provocar en Poro la indecisión. Dividió a su ejército en varias secciones, marchando él al frente, a ocupar diversas posiciones del territorio, destruyendo unas veces las posiciones enemigas, estudiando otras veces el terreno y los lugares donde pudiera resultar más fácil la travesía del río. Destacó a otros lugares a sus oficiales con sus hombres, encargándoles que también ellos maniobraran con sus tropas en distintas direcciones.

[3] Al ejército de Alejandro le llegaban provisiones de trigo desde todas partes de esta zona del Hidaspes, por lo que Poro en seguida comprendió

τῷ Πώρῳ ὅτι ἐγνωκὼς εἴη προσλιπαρεῖν τῇ ὄχθῃ, ἔστε τὸ ὕδωρ τοῦ ποταμοῦ μεῖον γενόμενον τοῦ χειμῶνος πολλαχῇ παραδοῦναί οἱ τὸν πόρον· τά τε πλοῖα αὐτῷ ἄλλῃ καὶ ἄλλῃ παραπλέοντα καὶ αἱ διφθέραι τῆς κάρφης ἐμπιπλάμεναι καὶ ἡ ὄχθη πᾶσα πλήρης φαινομένη τῇ μὲν ἱππέων, τῇ δὲ πεζῶν, οὐκ εἴα ἠρεμεῖν τὸν Πῶρον, οὐδὲ ἕν τι ἐπιλεξάμενον ἐς φυλακὴν ξύμφορον ἐς τοῦτο ἐκ πάντων παρασκευάζεσθαι. [4] ἄλλως τε ἐν μὲν τῷ τότε οἱ ποταμοὶ πάντες οἱ Ἰνδικοὶ πολλοῦ τε ὕδατος καὶ θολεροῦ ἔρρεον και ὀξέος τοῦ ῥεύματος· ἦν γὰρ ὥρα ἔτους ᾗ μετὰ τροπὰς μάλιστα <τὰς> ἐν θέρει τρέπεται ὁ ἥλιος· ταύτῃ δὲ τῇ ὥρᾳ ὕδατά τε ἐξ οὐρανοῦ ἀθρόα τε καταφέρεται ἐς τὴν γῆν τὴν Ἰνδικὴν καὶ αἱ χιόνες αἱ τοῦ Καυκάσου, ἔνθενπερ τῶν πολλῶν ποταμῶν αἱ πηγαί εἰσι, κατατηκόμεναι αὔξουσιν αὐτοῖς τὸ ὕδωρ ἐπὶ μέγα· χειμῶνος δὲ ἔμπαλιν ἴσχουσιν ὀλίγοι τε γίγνονται καὶ καθαροὶ ἰδεῖν καὶ ἔστιν ὅπου περάσιμοι, πλήν γε δὴ τοῦ Ἰνδοῦ καὶ Γάγγου καὶ τυχὸν καὶ ἄλλου του· ἀλλ᾽ ὅ γε Ὑδάσπης περατὸς γίνεται.

10. Ταύτην οὖν τὴν ὥραν τοῦ ἔτους προσμένειν ἐς τὸ φανερὸν ἔφασκεν, εἰ ἐν τῷ τότε εἴργοιτο· ὁ δὲ οὐδὲν μεῖον ἐφεδρεύων ἔμενεν, εἴ πῃ λάθοι ὑφαρπάσας ὀξέως τὸν πόρον. ᾗ μὲν δὴ αὐτὸς Πῶρος κατεστρατοπεδεύκει πρὸς τῇ ὄχθῃ τοῦ Ὑδάσπου, ἔγνω ἀδύνατος ὢν περᾶσαι ὑπὸ πλήθους τε τῶν ἐλεφάντων καὶ ὅτι πολλὴ στρατιὰ καὶ αὐτὴ τεταγμένη τε καὶ ἀκριβῶς ὡπλισμένη ἐκβαίνουσιν αὐτοῖς ἐπιθήσεσθαι ἔμελλεν· [2] οἵ τε ἵπποι οὐκ ἂν ἐδόκουν αὐτῷ ἐθελῆσαι οὐδὲ ἐπιβῆναι τῆς ὄχθης τῆς πέραν, προσκειμένων σφίσιν εὐθὺς τῶν ἐλεφάντων καὶ τῇ τε ὄψει ἅμα καὶ τῇ φωνῇ φοβούντων, οὐδ᾽ ἂν ἔτι πρόσθεν μεῖναι ἐπὶ τῶν διφθερῶν κατὰ τὸν πόρον, ἀλλ᾽ ἐκπηδᾶν γὰρ ἐς τὸ ὕδωρ ἀφορῶντες πέραν τοὺς ἐλέφαντας [καὶ] ἔκφρονες γιγνόμενοι. [3] κλέψαι οὖν ἐπενόει τὴν διάβασιν ὧδε πράττων. νύκτωρ παραγαγὼν ἄλλῃ καὶ ἄλλῃ τῆς ὄχθης τοὺς πολλοὺς τῶν ἱππέων βοήν τε ἐποίει καὶ ἠλαλάζετο τῷ Ἐνυαλίῳ καὶ τἆλλα ὅσα ἐπὶ διαβάσει συσκευαζομένων θόρυβος παντοδαπὸς ἐγίγνετο. καὶ ὁ Πῶρός τε ἀντιπαρῄει πρὸς τὴν βοὴν ἐπάγων τοὺς ἐλέφαντας καὶ Ἀλέξανδρος ἐς ἔθος αὐτὸν τῆς ἀντιπαραγωγῆς καθίστη.

[4] ὡς δὲ ἐπὶ πολὺ τοῦτο ἐγίγνετο καὶ βοὴ μόνον καὶ ἀλαλαγμός ἦν,

que el plan de Alejandro era continuar en la orilla del río en que estaba, hasta que su caudal se redujera durante el invierno, para poder así cruzarlo por cualquier parte. Sus barcos y sus balsas llenas de paja seguían también esta táctica de maniobrar en diversas direcciones, mientras que por la orilla, su caballería e infantería no permitía descansar a las tropas de Poro, que no podían así elegir mejores posiciones para montar la guardia ni prepararse adecuadamente para ello.

[4] En esta época del año los ríos de la India bajan con gran caudal de turbias aguas y corriente muy viva, por ser la estación del año en que el sol alcanza el solsticio de verano [161], que es cuando desaguan torrenciales lluvias sobre la India, y se deshielan las nieves de los montes del Cáucaso, que es donde nacen la mayoría de los ríos indios, provocando enormes crecidas en los ríos. Durante el invierno, por contra, los ríos reducen su caudal, haciéndose pequeños y de aguas claras, fácilmente vadeables por doquier, excepto el Indo, el Ganges y algún otro; el Hidaspes, en cambio, sí resultaba fácilmente transitable.

Preparativos de ambos ejércitos.

10 Alejandro hizo público su propósito de aguardar hasta el invierno si era ésta la única posibilidad de cruzar el río, aunque él no dejaría de acechar cualquier oportunidad que se le ofreciera de pasar por cualquier lado sin ser visto mediante alguna rápida maniobra. Cuando Poro instaló su campamento en la orilla del Hidaspes, Alejandro se percató al punto de que intentar una travesía por allí era tarea por completo imposible, pues Poro había apostado allí todo el contingente de sus tropas, compuestas de un buen número de elefantes, y un bien armado ejército dispuesto a caer sobre cualquiera que intentara por allí un desembarco.

[2] De otro lado, le parecía a Alejandro que su caballería no se atrevería a pasar a la otra orilla, ya que sobre ellos caerían en seguida los elefantes, sembrando el pánico en los caballos con su sola presencia y el enorme estrépito que siempre les acompaña. No era de extrañar incluso que los caballos no terminaran siquiera la travesía del río sobre las balsas, sino que muy presumiblemente se lanzarían al agua aterrorizados al divisar de lejos a los elefantes.

[3] Por todo lo cual, decidió Alejandro hacer la travesía en secreto, operando de la siguiente manera:

Reunió al anochecer la mayor parte de la caballería, haciéndola maniobrar en diversas direcciones a lo largo del río, formando un gran estrépito y entonando los cánticos guerreros a Enialio [162], todo ello en medio de un tremendo tumulto, como si fueran a cruzar el río. Poro conducía sus elefantes en paralelo al río por la otra orilla, siguiendo el estrépito producido por Alejandro, al que fue poco a poco acostumbrándose.

[4] Como estas maniobras de Alejandro se repitieron una y otra vez, Poro se dio cuenta de que todo aquello quedaba sólo en ruidos y gritos de

οὐκέτι ὁ Πῶρος μετεκινεῖτο πρὸς τὰς ἐκδρομὰς τῶν ἱππέων, ἀλλὰ κενὸν γὰρ γνοὺς τὸν φόβον κατὰ χώραν ἐπὶ στρατοπέδου ἔμενε· σκοποὶ δὲ αὐτῷ πολλαχοῦ τῆς ὄχθης καθε<ι>στήκεσαν. Ἀλέξανδρος δὲ ὡς ἐξείργαστο αὐτῷ ἄφοβον τὸ τοῦ Πώρου εἰς τὰς νυκτερινὰς ἐπιχειρήσεις μηχανᾶταί τι τοιόνδε

11. Ἄκρα ἦν ἀνέχουσα τῆς ὄχθης τοῦ Ὑδάσπου, ἵνα ἐπέκαμπτεν ὁ ποταμὸς λόγου ἀξίως, αὐτή τε δασεῖα ἴδῃ παντοίων δένδρων καὶ κατ᾽ αὐτὴν νῆσος ἐν τῷ ποταμῷ ὑλώδης τε καὶ ἀστιβὴς ὑπ᾽ ἐρημίας. ταύτην καταμαθὼν τὴν νῆσον καταντικρὺ τῆς ἄκρας, ἀμφότερα ὑλώδη τὰ χωρία καὶ οἷα κρύψαι τῆς διαβάσεως τὴν ἐπιχείρησιν, ταύτῃ ἔγνω διαβιβάζειν τὸν στρατόν. [2] ἀπέχει δὲ ἥ τε ἄκρα καὶ ἡ νῆσος τοῦ μεγάλου στρατοπέδου ἐς πεντήκοντα καὶ ἑκατὸν σταδίους. παρὰ πᾶσαν δὴ τὴν ὄχθην φυλακαί τε αὐτῷ καθεστηκυῖαι ἦσαν, διαλείπουσαι ὅσον ξύμμετρον ἐς τὸ ξυνορᾶν τε ἀλλήλους καὶ κατακούειν εὐπετῶς ὁπόθεν τι παραγγέλλοιτο, καὶ πανταχόθεν βοαί τε νύκτωρ ἐπὶ πολλὰς νύκτας ἐγίγνοντο καὶ πυρὰ ἐκαίετο. [3] Ἐπειδὴ δὲ ἔγνω ἐπιχειρεῖν τῷ πόρῳ, κατὰ μὲν τὸ στρατόπεδον φανερῶς αὐτῷ τὰ τῆς διαβάσεως παρεσκευάζετο. καὶ Κρατερὸς ὑπελέλειπτο ἐπὶ στρατοπέδου τήν τε αὑτοῦ ἔχων ἱππαρχίαν καὶ τοὺς ἐξ Ἀραχωτῶν καὶ Παραπαμισαδῶν ἱππέας καὶ τῆς φάλαγγος τῶν Μακεδόνων τήν τε Ἀλκέτου καὶ τὴν Πολυπέρχοντος τάξιν καὶ τοὺς νομάρχας τῶν ἐπὶ τάδε[I] Ἰνδῶν καὶ τοὺς ἅμα τούτοις τοὺς πεντακισχιλίους.

[4] παρηγγέλλετο δὲ Κρατερῷ μὴ πρὶν διαβαίνειν τὸν πόρον πρὶν ἀπαλλαγῆναι Πῶρον ξὺν τῇ δυνάμει ὡς ἐπὶ σφᾶς ἢ φεύγοντα μαθεῖν, αὐτοὺς δὲ νικῶντας· ἢν δὲ μέρος μέν τι τῆς στρατιᾶς ἀναλαβὼν Πῶρος ἐπ᾽ ἐμὲ ἄγῃ, μέρος δέ τι ὑπολειφθῇ αὐτῷ ἐπὶ στρατοπέδου καὶ ἐλέφαντες, σὺ δὲ δὴ καὶ ὣς μένειν κατὰ χώραν· εἰ δὲ τοὺς ἐλέφαντας ξύμπαντας ἅμα οἷ ἄγοι Πῶρος ἐπ᾽ ἐμέ, τῆς δὲ ἄλλης στρατιᾶς ὑπολείποιτό τι ἐπὶ στρατοπέδου, σὺ δὲ διαβαίνειν σπουδῇ· οἱ γὰρ ἐλέφαντες μόνοι, ἔφη, ἄποροί εἰσι πρὸς τοὺς ἐκβαίνοντας ἵππους, ἡ δὲ ἄλλη στρατιὰ εὔπορος.

[I] Quizás se deba insertar τοῦ Ὑδάσπου (Roos).

guerra, por lo que dejó de mover sus tropas en seguimiento de la caballería de Alejandro, convencido de que se trataba de simulacros de los que no había nada que temer. Por todo ello, terminó por no mover sus tropas del emplazamiento en que estaban. Tan sólo apostó algunos vigías a lo largo de toda la ribera. Al ver Alejandro que sus correrías nocturnas no intranquilizaban ni atemorizaban a Poro maquinó lo que sigue:

En el Hidaspes.

11 Se alzaba sobre la orilla del Hidaspes una loma, justo donde el río forma un considerable recodo, cubierta espesamente de toda suerte de árboles; frente a esta loma se recortaba en medio del río un islote también recubierto de vegetación y no hollado por tratarse de un paraje deshabitado. Observando la situación de esta isla, frente, como hemos dicho, de la loma, así como la espesa vegetación de ambas, pensó Alejandro que un intento de desembarco en cualquiera de ellas podría pasar fácilmente inadvertido gracias a la abundante vegetación, de suerte que planeó cruzar hasta el islote con su ejército.

[2] La loma y la isla equidistaban del lugar donde él tenía acampados a sus hombres unos ciento cincuenta estadios [163]. Alejandro había apostado centinelas a lo largo de toda la ribera a una distancia adecuada para poder verse mutuamente y transmitirse las órdenes que se les pudieran comunicar, y así se fueron pasando mensajes orales y señales de fuego durante varias noches.

[3] Finalmente, decidió Alejandro intentar la travesía abiertamente, por lo que su ejército hizo los preparativos a plena luz del día. Crátero había quedado en el campamento como retaguardia al frente de su propia hiparquía, la caballería aracosia y parapamisada, los batallones de Alcetas y Poliperconte, componentes de la falange macedonia, y los nomarcos de los vecinos indios, a los que se añadieron unos cinco mil indios.

[4] Se había dado orden a Crátero de no cruzar el río antes de que Poro se lanzara con todo su ejército en persecución de las tropas de Alejandro, o viera que Poro emprendía la huida derrotado por los macedonios. «En cambio —le había dicho Alejandro—, si ves que Poro me persigue con sólo una parte de sus tropas, dejando el resto de ella y los elefantes donde ahora están acampados, no te muevas tú de tu sitio. Y si ves que Poro lanza contra mí todos sus elefantes, dejando en su campamento sólo unos pocos hombres, debes cruzar con toda celeridad, ya que son sólo los elefantes los que pueden impedir el desembarco de la caballería, y no el resto de sus tropas.»

12. Ταῦτα μὲν Κρατερῷ ἐνετέλλετο. ἐν μέσῳ δὲ τῆς νήσου τε καὶ τοῦ μεγάλου στρατοπέδου, ἵνα αὐτῷ Κρατερὸς ὑπελέλειπτο, Μελέαγρός τε καὶ Ἄτταλος καὶ Γοργίας ξὺν τοῖς μισθοφόροις ἱππεῦσί τε καὶ πεζοῖς ἐτετάχατο· καὶ τούτοις διαβαίνειν παρηγγέλλετο κατὰ μέρος, διελόντας τὸν στρατόν, ὁπότε ξυνεχομένους ἤδη ἐν τῇ μάχῃ τοὺς Ἰνδοὺς ἴδοιεν. [2] Αὐτὸς δὲ ἐπιλεξάμενος τῶν τε ἑταίρων τὸ ἄγημα καὶ τὴν Ἡφαιστίωνος ἱππαρχίαν καὶ τὴν Περδίκκου τε καὶ Δημητρίου καὶ τοὺς ἐκ Βάκτρων καὶ Σογδιανῶν καὶ τοὺς Σκύθας ἱππέας καὶ Δάας τοὺς ἱπποτοξότας καὶ τῆς φάλαγγος τούς τε ὑπασπιστὰς καὶ τὴν Κλείτου τε καὶ Κοίνου τάξιν καὶ τοὺς τοξότας τε καὶ τοὺς Ἀγριᾶνας ἦγεν ἀφανῶς πολύ τι ἀπέχων τῆς ὄχθης, τοῦ μὴ καταφανὴς εἶναι ἄγων ἐπὶ τὴν νῆσον καὶ τὴν ἄκραν, ἔνθεν διαβαίνειν αὐτῷ ἦν ἐγνωσμένον. [3] καὶ ἐνταῦθα ἐπληροῦντο τῆς νυκτὸς αἱ διφθέραι τῆς κάρφης, ἐκ πολλοῦ ἤδη παρενηνεγμέναι, καὶ κατερράπτοντο ἐς ἀκρίβειαν· ὕδωρ τε ἐξ οὐρανοῦ τῆς νυκτὸς λάβρον ἐπιγίγνεται. ταύτῃ καὶ μᾶλλόν τι ἡ παρασκευή τε αὐτῷ καὶ ἡ ἐπιχείρησις ἡ ἐς τὴν διάβασιν οὐ φανερὰ κατέστη, τῷ κτύπῳ τῷ ἀπὸ τῶν ὅπλων καὶ τῷ θορύβῳ τῷ ἀπὸ τῶν παραγγελμάτων τῶν τε βροντῶν καὶ τοῦ ὄμβρου ἀντιπαταγούντων. [4] καὶ τῶν πλοίων δὲ τὰ πολλὰ αὐτῷ ξυντετμημένα παρεκεκόμιστο ἐς τὸν χῶρον τοῦτον καὶ ἀφανῶς αὖθις ξυμπεπηγμένα ἐν τῇ ὕλῃ ἐκρύπτετο, τά τε ἄλλα καὶ αἱ τριακόντοροι. ὑπὸ δὲ τὴν ἕω ὅ τε ἄνεμος καὶ ὁ ὄμβρος κεκοίμητο. καὶ ἡ μὲν ἄλλη στρατιὰ αὐτῷ ἡ ἱππικὴ τῶν διφθερῶν ἐπιβᾶσα καὶ ὅσους τῶν πεζῶν τὰ πλοῖα ἐδέχετο ἐπέρα κατὰ τὴν νῆσον, ὡς μὴ πρόσθεν ὀφθεῖεν πρὸς τῶν σκοπῶν τῶν ἐκ Πώρου καθεστηκότων πρὶν παραλλάξαντας τὴν νῆσον ὀλίγον ἔτι ἀπέχειν τῆς ὄχθης.

13. Αὐτὸς δὲ ἐπιβὰς τριακοντόρου ἐπέρα καὶ ἅμα αὐτῷ Πτολεμαῖός τε καὶ Περδίκκας καὶ Λυσίμαχος οἱ σωματοφύλακες καὶ Σέλευκος τῶν ἑταίρων, ὁ βασιλεύσας ὕστερον, καὶ τῶν ὑπασπιστῶν οἱ ἡμίσεες· τοὺς δὲ ἄλλους ὑπασπιστὰς ἄλλαι τριακόντοροι ἔφερον. ὡς δὲ τὴν νῆσον παρήλλαξεν ἡ στρατιά, φανερῶς ἤδη ἐπεῖχον τῇ ὄχθῃ· καὶ οἱ σκοποὶ κατιδόντες αὐτῶν τὴν ὁρμὴν ὡς ἑκάστοις τάχους οἱ ἵπποι εἶχον ἤλαυνον ὡς ἐπὶ τὸν Πῶρον. [2] ἐν τούτῳ δὲ Ἀλέξανδρος πρῶτος αὐτὸς ἐκβὰς καὶ τοὺς ἀπὸ τῶν ἄλλων τριακοντόρων ἀναλαβὼν ξυνέταττε τοὺς ἀεὶ ἐκβαίνοντας τῶν ἱππέων.

***Prosiguen las maniobras*.**

12 Esto es lo que Alejandro había ordenado a Crátero. Entre la isla y el campamento principal donde había quedado Crátero dispuso Alejandro que se situaran Meleagro, Átalo y Gorgias con la caballería y la infantería mercenarias. Las órdenes que éstos recibieron fueron las de cruzar poco a poco, dividiendo en varias secciones el total de sus hombres, tan pronto como vieran que los indios se hallaban en pleno fragor de la batalla.

[2] Apartó a un lado Alejandro el *ágēma* de los Compañeros, la hiparquía de Hefestión, Perdicas y Demetrio, la caballería de Bactria, de Sogdiana y de Escitia, a los que se sumaron los arqueros a caballo de origen daho [164], los hipaspistas miembros de la falange, los batallones de Clito y Ceno, los arqueros y los agrianes; al frente de todos éstos marchó Alejandro sin ser visto [165], apartándose algo de la ribera para que su aproximación al islote y a la loma vecina (desde la que tenía planeado cruzar al islote) pasara desapercibida.

[3] Durante la noche rellenaron de paja y cosieron cuidadosamente las balsas de pieles que habían transportado hasta allí hacía ya algún tiempo. No cesó de llover durante toda la noche, por lo que los preparativos para intentar el desembarco por parte de las tropas de Alejandro pasaban casi inadvertidos, ya que los truenos y las ininterrumpidas precipitaciones amortiguaban el ruido de las armas y el estrépito que los soldados formaban al transmitirse las órdenes.

[4] Los barcos, entre los que se encontraban también los triecóntoros, habían sido transportados hasta este lugar desarmados y ahora se procedía a armarlos de nuevo. Luego se los dejó ocultos en la maleza sin que nadie los viera. Al alba se apaciguó el viento y dejó de llover, por lo que la caballería pudo embarcar sobre las balsas, a las que también subieron cuantos infantes pudieron encontrar cabida, pasando así al islote. Los vigías enemigos que Poro había apostado no se percataron de la maniobra, enterándose tan sólo cuando las tropas de Alejandro habían ya rebasado el islote y alcanzaban la orilla.

13 El propio Alejandro cruzó a bordo de un triacóntoro, acompañado de Tolomeo, Perdicas y Lisímaco, miembros de su guardia personal, y de Seleuco, uno de los Compañeros, que llegó más tarde a ser rey [166]; iban también con él la mitad de los hipaspistas, y la otra mitad cruzaron en otros triacóntoros. Al rebasar estas tropas la isla, sus siluetas se recortaron contra la orilla, no tardando entonces en ser divisados por los vigías de Poro, que corrieron a caballo a dar la noticia a Poro del desembarco enemigo.

[2] Alejandro fue el primero en bajar a tierra, y organizó en seguida la caballería a medida que ésta iba desembarcando de los otros triacóntoros. En efecto, sus órdenes habían sido que echaran pie a tierra

οἱ γὰρ ἱππεῖς πρῶτοι ἐτετάχατο αὐτῷ ἐκβαίνειν· καὶ τούτους ἄγων προῄει ἐν τάξει. ἔλαθε δὲ οὐκ ἐς βέβαιον χωρίον ἐκβὰς ἀγνοίᾳ τῶν τόπων, ἀλλὰ ἐς νῆσον γὰρ καὶ αὐτὴν μὲν μεγάλην, ᾗ δὴ καὶ μᾶλλον νῆσος οὖσα ἔλαθεν, οὐ πολλῷ δὲ ὕδατι πρὸς [3] τοῦ ποταμοῦ ἀποτεμνομένην ἀπὸ τῆς ἄλλης γῆς. καὶ ἅμα ηὐξήκει τὸ ὕδωρ ὁ ὄμβρος λάβρος τε καὶ ἐπὶ πολὺ τῆς νυκτὸς κατασχών, ὥστε οὐκ ἐξεύρισκον αὐτῷ οἱ ἱππεῖς τὸν πόρον, καὶ δέος ἦν αὖθις ἄλλου δεῆσαι αὐτῷ ἐπὶ τῇ διαβάσει ἴσου τῷ πρώτῳ πόνου. ὡς δὲ ἐξευρέθη ποτὲ ὁ πόρος, ἦγε κατ᾽ αὐτὸν χαλεπῶς· ἦν γὰρ τῶν μὲν πεζῶν ὑπὲρ τοὺς μαστοὺς τὸ ὕδωρ ἵναπερ τὸ βαθύτατον αὐτοῦ, τῶν δὲ ἵππων ὅσον τὰς κεφαλὰς ὑπερίσχειν τοῦ [4] ποταμοῦ. ὡς δὲ καὶ τοῦτο ἐπεπέρατο αὐτῷ τὸ ὕδωρ, ἐπὶ μὲν τὸ δεξιὸν κέρας παρήγαγε τό τε ἄγημα τῶν ἱππέων καὶ τῶν ἄλλων ἱππαρχιῶν τοὺς κρατίστους ἐπιλεξάμενος· τοὺς δὲ ἱπποτοξότας τῆς πάσης ἵππου προέταξε· τῶν δὲ πεζῶν πρώτους μὲν τοὺς ὑπασπιστὰς τοὺς βασιλικούς, ὧν ἡγεῖτο Σέλευκος, ἐπέταξε τῇ ἵππῳ· ἐπὶ δὲ τούτοις τὸ ἄγημα τὸ βασιλικόν· ἐχομένους δὲ τούτων τοὺς ἄλλους ὑπασπιστάς, ὡς ἑκάστοις αἱ ἡγεμονίαι ἐν τῷ τότε ξυνέβαινον· κατὰ δὲ τὰ ἄκρα τῆς φάλαγγος οἱ τοξόται αὐτῷ καὶ οἱ Ἀγριᾶνες [καὶ] οἱ ἀκοντισταὶ ἑκατέρωθεν ἐπέστησαν.

14. Οὕτως ἐκτάξας τὸν μὲν πεζὸν στρατὸν ἐν κόσμῳ βάδην ἕπεσθαι ἐκέλευσεν, οὐ πολὺ ἀποδέοντας τῶν ἑξακισχιλίων· αὐτὸς δέ, ὅτι κρατεῖν ἐδόκει τῇ ἵππῳ, τοὺς ἱππέας μόνους ἀναλαβὼν σπουδῇ ἡγεῖτο, ὄντας ἐς πεντακισχιλίους. Ταύρωνι δὲ τῷ τοξάρχῃ προσέταξε τοὺς τοξότας ἐπάγειν τῇ ἵππῳ καὶ αὐτοὺς σπουδῇ. [2] γνώμην δὲ ἐπεποίητο, ὡς εἰ μὲν προσμίξειαν αὐτῷ οἱ ἀμφὶ τὸν Πῶρον ξὺν τῇ δυνάμει ἁπάσῃ, ἢ κρατήσειν αὐτῶν οὐ χαλεπῶς τῇ ἵππῳ προσβαλὼν ἢ ἀπομαχεῖσθαί γε ἔστε τοὺς πεζοὺς ἐν τῷ ἔργῳ ἐπιγενέσθαι· εἰ δὲ πρὸς τὴν τόλμαν τῆς διαβάσεως ἄτοπον γενομένην οἱ Ἰνδοὶ ἐκπλαγέντες φεύγοιεν, οὐ πόρρωθεν ἔξεσθαι αὐτῶν κατὰ τὴν φυγήν, ὡς πλείονα ἐν τῇ ἀποχωρήσει τὸν φόνον γενόμενον ὀλίγον ἔτι ὑπολείπεσθαι αὐτῷ τὸ ἔργον. [3] Ἀριστόβουλος δὲ λέγει τὸν Πώρου παῖδα φθάσαι ἀφικόμενον σὺν ἅρμασιν ὡς ἑξήκοντα πρὶν τὸ ὕστερον ἐκ τῆς νήσου

primero los de la caballería, a cuyo frente se puso él mismo, haciéndoles avanzar en perfecta formación. No se dio cuenta, sin embargo, Alejandro, por desconocimiento del lugar, que no había desembarcado [167] en tierra firme, sino en una gran isla; y no se pudo percatar de ello debido a que estaba separada del resto de la tierra firme por un río de no mucho caudal. Además, la abundante lluvia caída durante toda la [3] noche había aumentado el caudal del río, de suerte que los jinetes no localizaban ningún vado por donde pasar, por lo que Alejandro llegó a temerse que tendría que repetir la penosa maniobra de las balsas para poder completar la travesía. Al fin se localizó un paso, por donde pudieron cruzar, aunque con grandes dificultades, ya que, en las zonas más profundas, el agua llegaba al pecho de los hombres, y los caballos sacaban del agua sólo las cabezas. Concluida la travesía, colocó [4] al flanco derecho el *ágēma* de caballería y los mejores de los otros regimientos de caballería; delante de la caballería situó al cuerpo de arqueros a caballo, y contiguos a ellos formaron como primera línea de la infantería los hipaspistas reales que mandaba Seleuco. A continuación de éstos el *ágēma* real, y acto seguido el resto de los hipaspistas, según el turno que en aquel día les correspondía. Al extremo de la falange y por ambos lados formó a los arqueros, los agrianes y los lanzadores de dardos [168].

***El hijo de Poro*.**

14 Después de organizadas así sus tropas, mandó Alejandro a su infantería que le siguiera al paso y en perfecta formación; componían éstos unos efectivos de casi seis mil hombres. Alejandro pensaba que con su caballería podría imponerse al enemigo, por lo que marchando al frente de ella la hizo avanzar a toda prisa; eran unos cinco mil hombres. Ordenó, sin embargo, a Taurón, el jefe de los arqueros, que siguiera a la caballería a buen paso con sus hombres. [2] Su plan era el siguiente: si las tropas de Poro les atacaban con todos sus hombres, calculaba poderlos derrotar cómodamente cayendo sobre ellos con su caballería. En caso contrario, procuraría aguantar hasta que llegara de refuerzo su propia infantería. Si, como otra posibilidad, los indios emprendían la huida, anonadados porque los hombres de Alejandro hubieran efectuado felizmente aquella tan inusitada travesía, pensaba perseguirlos de cerca, ya que a cuantos más consiguiera matar en la retirada, tantos menos quedarían para futuros enfrentamientos.

[3] Aristobulo nos narra en su versión que el hijo de Poro consiguió adelantarse con sesenta carros y sorprendió a Alejandro antes de que éste hubiera terminado la segunda travesía desde la isla

τῆς μικρᾶς [I] περᾶσαι Ἀλέξανδρον· καὶ τοῦτον δυνηθῆναι ἂν εἶρξαι Ἀλέξανδρον τῆς διαβάσεως χαλεπῶς καὶ μηδενὸς εἴργοντος περαιωθέντα, εἴπερ οὖν καταπηδήσαντες οἱ Ἰνδοὶ ἐκ τῶν ἁρμάτων προσέκειντο τοῖς πρώτοις τῶν ἐκβαινόντων· ἀλλὰ παραλλάξαι γὰρ ξὺν τοῖς ἅρμασι καὶ ἀκίνδυνον ποιῆσαι Ἀλεξάνδρῳ τὴν διάβασιν· καὶ ἐπὶ τούτους ἀφεῖναι Ἀλέξανδρον τοὺς ἱπποτοξότας, καὶ τραπῆναι αὐτοὺς οὐ χαλεπῶς, πληγὰς λαμβάνοντας. [4] οἱ δὲ καὶ μάχην λέγουσιν ἐν τῇ ἐκβάσει γενέσθαι τῶν Ἰνδῶν τῶν ξὺν τῷ παιδὶ τῷ Πώρου ἀφιγμένων πρὸς Ἀλέξανδρόν τε καὶ τοὺς ξὺν αὐτῷ ἱππέας. καὶ γὰρ καὶ ἀφικέσθαι ξὺν μείζονι δυνάμει τὸν Πώρου παῖδα, καὶ αὐτόν τε Ἀλέξανδρον τρωθῆναι πρὸς αὐτοῦ καὶ τὸν ἵππον αὐτοῦ ἀποθανεῖν τὸν Βουκεφάλαν, φίλτατον Ἀλεξάνδρῳ ὄντα τὸν ἵππον, καὶ τοῦτον τρωθέντα ὑπὸ τοῦ παιδὸς τοῦ Πώρου. ἀλλὰ Πτολεμαῖος ὁ Λάγου, ὅτῳ καὶ ἐγὼ ξυμφέρομαι, ἄλλως λέγει. [5] ἐκπεμφθῆναι μὲν γὰρ τὸν παῖδα ὑπὸ τοῦ Πώρου λέγει καὶ οὗτος, ἀλλ᾽ οὐχ ἑξήκοντα μόνα ἅρματα ἄγοντα. οὐδὲ γὰρ εἰκὸς Πῶρον ἀκούσαντα ἐκ τῶν σκοπῶν, ὅτι δὴ ἢ αὐτὸς Ἀλέξανδρος διαβέβηκεν τοῦ Ὑδάσπου τὸν πόρον ἢ μέρος γέ τι τῆς στρατιᾶς, ξὺν ἑξήκοντα ἅρμασι μόνοις ἐκπέμψαι τὸν αὑτοῦ παῖδα· [6] ἃ δὴ ὡς μὲν ἐπὶ κατασκοπὴν ἐκπεμπόμενα πολλά τε καὶ οὐκ εὔζωνα ἐς τὴν ἀποχώρησιν ἦν, ὡς δὲ εἰς τὸ εἶρξαί τε τοὺς οὔπω πεπερακότας τῶν πολεμίων καὶ τοῖς ἤδη ἐκβεβηκόσιν ἐπιθέσθαι οὐδαμῇ ἀξιόμαχα. ἀλλὰ δισχιλίους γὰρ λέγει ἱππέας ἄγοντα ἀφικέσθαι τοῦ Πώρου τὸν παῖδα, ἅρματα δὲ ἑκατὸν καὶ εἴκοσι· φθάσαι δὲ περάσαντα Ἀλέξανδρον καὶ τὸν ἐκ τῆς νήσου τὸν τελευταῖον πόρον.

15. Καὶ ἐπὶ τούτους τὰ μὲν πρῶτα ἐκπέμψαι Ἀλέξανδρον καὶ οὗτος λέγει τοὺς ἱπποτοξότας, αὐτὸν δὲ ἄγειν τοὺς ἱππέας· προσάγειν γὰρ οἰηθῆναι Πῶρον ξὺν τῇ πάσῃ δυνάμει· τὴν δὲ ἵππον ταύτην προτεταγμένην αὐτῷ προπορεύεσθαι πρὸ τοῦ ἄλλου στρατοῦ. [2] ὡς δὲ κατέμαθεν ἀτρεκῶς τὸ πλῆθος τὸ τῶν Ἰνδῶν, ἐνταῦθα δὴ ὀξέως ἐπιπεσεῖν αὐτοῖς ξὺν τῇ ἀμφ᾽ αὐτὸν ἵππῳ τοὺς δὲ ἐγκλῖναι, ὡς Ἀλέξανδρόν τε αὐτὸν κατεῖδον καὶ τὸ στῖφος ἀμφ᾽ αὐτὸν τῶν ἱππέων

pequeña. El hijo de Poro había incluso podido impedir el desembarco de Alejandro (dado que la travesía resultó costosa, aun no encontrando a nadie que le cerrara el paso) con sólo que los indios hubieran bajado de sus carros y se hubieran lanzado contra los primeros macedonios que desembarcaban. Mas lo cierto es que pasó de largo con sus carros, dejando que Alejandro cruzara el río sin mayores peligros. Alejandro lanzó contra ellos a sus arqueros a caballo, que los pusieron fácilmente en fuga, tras haberles causado algunas bajas.

[4] Cuentan otros, contrariamente, que se produjo un combate en el lugar del desembarco entre los indios que acompañaban al hijo de Poro y la caballería de Alejandro. Es más, según estos autores, el hijo de Poro iba con un contingente mucho más numeroso, y en el combate que se originó resultó Alejandro herido por él, y muerto su caballo *Bucéfalo* [169], el más querido por Alejandro, herido también por el hijo de Poro. Por contra, Tolomeo, el hijo de Lago, cuyo testimonio sigo, da una versión nueva: [5] admite que Poro envió a su hijo a vanguardia, pero no sólo con sesenta carros. En efecto, no es natural que Poro hubiera enviado a su hijo con sólo sesenta carros después de haber tenido noticias por medio de sus vigías de que Alejandro en persona había cruzado el Hidaspes, o que al menos lo había hecho una parte de su ejército. [6] Se trata, según Tolomeo, que este número de sesenta carros resulta excesivo para haber sido enviado con misión de inspeccionar el lugar (demasiados para retirarse cómodamente, en caso necesario); por otra parte, si iban destinados a impedir que el enemigo culminara el desembarco, cayendo sobre los primeros que hubieran conseguido hacerlo, no era tampoco un contingente idóneo [170]. Según Tolomeo, el hijo de Poro llegó al frente de dos mil jinetes y ciento veinte carros, y lo que ocurrió fue que Alejandro se le anticipó y pudo efectuar hasta el final el desembarco desde la isla [171].

Poro en persona se decide a atacar.

15 Sigue diciendo Tolomeo que Alejandro lanzó tras el hijo de Poro y sus hombres a los arqueros a caballo y se puso él mismo al frente de la caballería, pues esperaba que el propio Poro apareciera con el resto de sus tropas, ya que este contingente de caballería había sido destacado sólo como avanzadilla.

[2] Al tener Alejandro un conocimiento exacto del contingente de tropas enemigas,cayó sobre éstos con la caballería que le acompañaba. Los indios retrocedieron al ver que el propio Alejandro y los jinetes que con él iban empezaron a atacarles no todos a la vez, sino por escuadrones. Cayeron en esta batalla unos cuatrocientos jinetes indios, y entre ellos el

[I] [1]Schmieder sustituir con μακρᾶς o borrar τῆς μικρᾶς, cf. 13, 2.

οὐκ ἐπὶ μετώπου, ἀλλὰ κατ᾽ ἴλας ἐμβεβληκός. καὶ τούτων ἱππέας μὲν πεσεῖν ἐς τετρακοσίους, πεσεῖν δὲ καὶ τοῦ Πώρου τὸν παῖδα· τὰ δὲ ἅρματα αὐτοῖς ἵπποις ἁλῶναι ἔν τε τῇ ἀποχωρήσει βαρέα γενόμενα καὶ ἐν αὐτῷ τῷ ἔργῳ ὑπὸ πηλοῦ ἀχρεῖα. [3] Πῶρος δέ, ὡς αὐτῷ ὅσοι ἱππεῖς ἐκ τῆς φυγῆς διεσώζοντο Ἀλέξανδρόν τε αὐτὸν πεπερακότα ξὺν τῇ στρατιᾷ ἐς τὸ καρτερώτατον καὶ τὸν παῖδα ἐν τῇ μάχῃ τετελευτηκότα ἤγγειλαν, ἐγίγνετο μὲν καὶ ὣς ἀμφίβολος τῇ γνώμῃ, ὅτι καὶ οἱ ἀπὸ τοῦ καταντικρὺ τοῦ μεγάλου στρατοπέδου οἱ ξὺν Κρατερῷ ὑπολελειμμένοι ἐπιχειροῦντες τῇ διαβάσει ἐφαίνοντο· [4] εἵλετο δ᾽ οὖν ἐπ᾽ αὐτὸν Ἀλέξανδρον ἐλάσας ξὺν τῇ στρατιᾷ πάσῃ πρὸς τὸ καρτερώτατόν τε τῶν Μακεδόνων καὶ αὐτὸν τὸν βασιλέα διαγωνίσασθαι. ἀλλὰ καὶ ὣς ὀλίγους τῶν ἐλεφάντων σὺν οὐ πολλῇ στρατιᾷ αὐτοῦ ἐπὶ τοῦ στρατοπέδου ἀπέλιπεν, ὡς φοβεῖν ἀπὸ τῆς ὄχθης τοὺς ξὺν Κρατερῷ ἱππέας. αὐτὸς δὲ τήν τε ἵππον ἀναλαβὼν πᾶσαν, ἐς τετρακισχιλίους ἱππέας, καὶ τὰ ἅρματα πάντα, τριακόσια ὄντα, καὶ τῶν ἐλεφάντων διακοσίους καὶ τῶν πεζῶν ὅ τι περ ὄφελος, ἐς τρισμυρίους ἤλαυνεν ὡς ἐπ᾽ Ἀλέξανδρον. [5] ὡς δὲ ἐνέτυχε χωρίῳ, ἵνα οὐ πηλὸς αὐτῷ ἐφαίνετο, ἀλλὰ ὑπὸ ψάμμου γὰρ ξύμπαν ἦν ἄπεδον καὶ στερεὸν ἐς τὰς ἐφόδους τε καὶ ἀναστροφὰς τῶν ἵππων, ἐνταῦθα ἔτασσε τὴν στρατιάν, πρώτους μὲν τοὺς ἐλέφαντας ἐπὶ μετώπου, διέχοντα ἐλέφαντα ἐλέφαντος οὐ μεῖον πλέθρου, ὡς πρὸ πάσης τε τῆς φάλαγγος τῶν πεζῶν παραταθῆναι αὐτῷ τοὺς ἐλέφαντας ἐπὶ μετώπου καὶ φόβον πάντῃ παρέχειν τοῖς ἀμφ᾽ Ἀλέξανδρον ἱππεῦσιν. [6] ἄλλως τε οὐδὲ ἠξίου ἐς τὰ διαλείποντα τῶν ἐλεφάντων τολμῆσαι ἄν τινα ὤσασθαι τῶν πολεμίων, οὔτε ξὺν ἵπποις διὰ τὸν φόβον τῶν ἵππων, πεζούς τε ἔτι μεῖον· κατὰ στόμα τε γὰρ ἂν πρὸς τῶν ὁπλιτῶν προσβαλλόντων εἴργεσθαι καὶ καταπατηθήσεσθαι ἐπιστρεψάντων ἐπ᾽ αὐτοὺς τῶν ἐλεφάντων. [7] ἐπὶ τούτοις δὲ οἱ πεζοὶ αὐτῷ ἐτετάχατο, οὐκ ἴσον τὸ μέτωπον τοῖς θηρίοις ἐπέχοντες, ἀλλ᾽ ἐν δευτέρῳ μετώπῳ μετὰ τοὺς ἐλέφαντας, ὅσον ἐς τὰ διαλείποντα ἐπ᾽ ὀλίγον ἐμβεβλῆσθαι τοὺς λόχους. ἦσαν δὲ αὐτῷ καὶ κατὰ τὰ κέρατα ἔτι ὑπὲρ τοὺς ἐλέφαντας πεζοὶ ἐφεστηκότες, ἑκατέρωθεν δὲ τῶν πεζῶν ἡ ἵππος αὐτῷ ἐτέτακτο καὶ πρὸ ταύτης τὰ ἅρματα ἑκατέρωθεν.

hijo de Poro. Cogieron además los macedonios los carros con sus caballos, que en la retirada eran pesados y en la propia lucha no habían servido por causa del abundante barro.

[3] Poro, al tener noticias por medio de los jinetes que habían logrado salvarse, de que Alejandro había conseguido cruzar con todas sus tropas, forzando el paso con el grueso de su ejército, y sobre todo, de que su hijo había muerto en el combate, se sintió indeciso por un momento, ya que también los enemigos que habían quedado con Crátero en el campamento se mostraban decididos a la travesía. [4] Se inclinó, sin embargo, Poro por avanzar con todas sus tropas contra el grueso de las tropas macedonias más selectas y luchar con el propio rey macedonio. Dejó tan sólo en su campamento unos pocos elefantes con una pequeña parte de sus hombres para amedrentar desde la orilla a la caballería de Crátero; acto seguido se puso él mismo al frente de toda la caballería, unos cuatro mil hombres, y todos los carros, unos trescientos, más unos doscientos elefantes, y unos treinta mil infantes aptos para el combate, saliendo en busca de Alejandro [172].

[5] Al llegar a un terreno embarrado, todo llano, recubierto de arena, lo suficientemente duro para poder hacer maniobrar la caballería, formó en él su ejército. Delante iban los elefantes, con un intervalo entre sí no menor de un pletro [173], a fin de que ocuparan todo el frente de la infantería de la falange, lo que aterrorizaría a toda la caballería de Alejandro.

[6] Pensaba Poro que ningún enemigo osaría meterse por el intervalo entre los elefantes: ni la caballería por el miedo de los caballos, ni los soldados de a pie, que se verían imposibilitados de hacerlo por los hoplitas, que de frente caerían sobre ellos, y por los elefantes, que los pisotearían al evolucionar a su alrededor. [7] Tras los elefantes formaban los soldados de infantería, no en la misma línea que los elefantes, sino en una segunda línea, tras ellos, de modo que las compañías ocuparan los espacios libres entre los animales. A ambos flancos había situado Poro algunos infantes, a ambos extremos de los elefantes. Todavía, a ambos lados de los infantes, apostó la caballería, y delante de ella formaron, en ambos extremos, los carros.

16. Αὕτη μὲν ἡ Πώρου τάξις ἦν. Ἀλέξανδρος δὲ ὡς ἤδη καθεώρα τοὺς Ἰνδοὺς ἐκτασσομένους, ἐπέστησε τοὺς ἱππέας τοῦ πρόσω, ὡς ἀναλαμβάνειν τῶν πεζῶν τοὺς ἀεὶ προσάγοντας. ὡς δὲ καὶ ἡ φάλαγξ αὐτῷ δρόμῳ συνάψασα ὁμοῦ ἤδη ἦν, ὁ δὲ οὐκ εὐθὺς ἐκτάξας ἐπῆγεν, ὡς μὴ καματηρούς τε καὶ πνευστιῶντας ἀκμῆσι παραδοῦναι τοῖς βαρβάροις, ἀλλὰ ἐς κύκλους παριππεύων ἀνέπαυε τοὺς πεζοὺς ἔστε καταστῆναι αὐτοῖς τὸν θυμόν. [2] ὡς δὲ τὴν τάξιν κατεῖδε τῶν Ἰνδῶν, κατὰ μέσον μέν, ἵνα οἱ ἐλέφαντες προεβέβληντο καὶ πυκνὴ ἡ φάλαγξ κατὰ τὰ διαλείποντα αὐτῶν ἐπετέτακτο, οὐκ ἔγνω προάγειν, αὐτὰ ἐκεῖνα ὀκνήσας ἅπερ ὁ Πῶρος τῷ λογισμῷ ξυνθεὶς ταύτῃ ἔταξεν· ἀλλὰ αὐτὸς μὲν ἅτε ἱπποκρατῶν τὴν πολλὴν τῆς ἵππου ἀναλαβὼν ἐπὶ τὸ εὐώνυμον κέρας τῶν πολεμίων παρήλαυνεν, ὡς ταύτῃ ἐπιθησόμενος. [3] Κοῖνον δὲ πέμπει ὡς ἐπὶ τὸ δεξιόν, τὴν Δημητρίου καὶ τὴν αὑτοῦ ἔχοντα ἱππαρχίαν, κελεύσας, ἐπειδὰν τὸ κατὰ σφᾶς στῖφος τῶν ἱππέων ἰδόντες οἱ βάρβαροι ἀντιπαριππεύωσιν, αὐτὸν κατόπιν ἔχεσθαι αὐτῶν· τῶν πεζῶν δὲ τὴν φάλαγγα Σελεύκῳ καὶ Ἀντιγένει καὶ Ταύρωνι προσέταξεν ἄγειν, μὴ πρόσθεν δὲ ἅπτεσθαι τοῦ ἔργου πρὶν ὑπὸ τῆς ἵππου τῆς ἀμφ᾽ αὐτὸν τεταραγμένην τήν τε φάλαγγα τῶν πεζῶν καὶ τοὺς ἱππέας κατίδωσιν. [4] Ἤδη τε ἐντὸς βέλους ἐγίγνετο καὶ ἐφῆκεν ἐπὶ τὸ κέρας τὸ εὐώνυμον τῶν Ἰνδῶν τοὺς ἱπποτοξότας, ὄντας ἐς χιλίους, ὡς ταράξαι τοὺς ταύτῃ ἐφεστηκότας τῶν πολεμίων τῇ πυκνότητί τε τῶν τοξευμάτων καὶ τῶν ἵππων τῇ ἐπελάσει. καὶ αὐτὸς δὲ τοὺς ἑταίρους ἔχων τοὺς ἱππέας παρήλαυνεν ὀξέως ἐπὶ τὸ εὐώνυμον τῶν βαρβάρων, κατὰ κέρας ἔτι τεταραγμένοις ἐμβαλεῖν σπουδὴν ποιούμενος, πρὶν ἐπὶ φάλαγγος ἐκταθῆναι αὐτοῖς τὴν ἵππον.

17. Ἐν τούτῳ δὲ οἵ τε Ἰνδοὶ τοὺς ἱππέας πάντοθεν ξυναλίσαντες παρίππευον Ἀλεξάνδρῳ ἀντιπαρεξάγοντες τῇ ἐλάσει, καὶ οἱ περὶ Κοῖνον, ὡς παρήγγελτο, κατόπιν αὐτοῖς ἐπεφαίνοντο. ταῦτα ξυνιδόντες οἱ Ἰνδοὶ ἀμφίστομον ἠναγκάσθησαν ποιῆσαι τὴν τάξιν τῆς ἵππου, τὴν μὲν ὡς ἐπ᾽ Ἀλέξανδρον τὴν πολλήν τε καὶ κρατίστην, οἱ δὲ ἐπὶ Κοῖνόν τε καὶ τοὺς ἅμα τούτῳ ἐπέστρεφον. [2] τοῦτό τε οὖν εὐθὺς ἐτάραξε τὰς τάξεις τε καὶ τὰς γνώμας τῶν Ἰνδῶν καὶ Ἀλέξανδρος ἰδὼν τὸν καιρὸν ἐν αὐτῇ τῇ ἐπὶ θάτερα ἐπιστροφῇ τῆς ἵππου ἐπιτίθεται τοῖς

16 Ésta era la disposición del ejército de Poro. Por su parte, Alejandro, al ver a los indios decididos a entrar en batalla, ordenó a su caballería que detuviera su avance y que aguardara a los de infantería que iban progresivamente acercándose. Una vez que la falange, avanzando a la carrera, se les unió, Alejandro aguardó un poco antes de hacerlos adoptar la formación de orden de batalla, a fin de evitar que llegaran fatigados y sin aliento a combatir con unos enemigos descansados; protegió, pues, a sus infantes con la caballería puesta a su alrededor, y les concedió un descanso hasta que recuperaron fuerzas.

[2] Al ver Alejandro la disposición del ejército indio, decidió no lanzar el ataque porel centro, que era donde estaban concentrados los elefantes y el grueso de la falange ocupando los intervalos entre los animales. Las razones que habían aconsejado a Poro a adoptar aquella disposición para sus tropas fueron las mismas que actualmente habían influido en Alejandro para emplear esta táctica. Alejandro sabía que su ventaja residía en la caballería, y por ello reunió la mayor parte de ésta y la destinó al flanco izquierdo del enemigo, para lanzar por allí el ataque.

[3] Envió a Ceno al flanco derecho, al frente de su hiparquía y de la de Demetrio, encargándole que, tan pronto como viera que los indios movían su caballería siguiendo la evolución de la columna de caballería macedonia, debería situarse detrás de ellos. Puso al mando de la falange de infantería a Seleuco, Antígenes y Taurón, con estrictas órdenes de no entrar en combate hasta que vieran que las filas de la falange de infantería y la caballería enemiga quedaban en total desorden, ante el ataque de la caballería que el propio Alejandro mandaba.

[4] Una vez comenzada la refriega, desplegó Alejandro a los arqueros a caballo (unos mil hombres) hacia el flanco izquierdo de los indios, para sembrar el desconcierto entre los enemigos allí situados, sometidos a una lluvia de dardos y al ataque de la caballería. El propio Alejandro al frente de los Compañeros condujo la caballería a toda velocidad contra el flanco izquierdo de los bárbaros para caer a toda prisa sobre ellos, que estaban formados en línea, antes de que éstos se recuperaran de su desconcierto y su caballería desplegara su formación.

17 Los indios reunieron toda su caballería y cabalgaron en paralelo siguiendo los movimientos de Alejandro para contrarrestar su ataque. Por contra, Ceno y sus hombres, según instrucciones, comenzaron a aparecer por la retaguardia enemiga, hasta el punto de que los indios se vieron obligados a dividir las fuerzas de su caballería en dos frentes: una, la más preparada y numerosa, contra Alejandro, y la otra, que tuvo que darse la vuelta para hacer frente a Ceno y sus hombres. [2] Esto alteró la formación y los planes de los indios, lo cual fue aprovechado por Alejandro para atacar a los que tenía frente a sí, justo en el momento en que se producía

καθ᾽ αὑτόν, ὥστε οὐδὲ τὴν ἐμβολὴν ἐδέξαντο τῶν ἀμφ᾽ Ἀλέξανδρον ἱππέων οἱ Ἰνδοί, ἀλλὰ κατηρ[ρ]άχθησαν ὥσπερ εἰς τεῖχός τι φίλιον τοὺς ἐλέφαντας. [3] καὶ ἐν τούτῳ οἱ ἐπιστάται τῶν ἐλεφάντων ἀντεπῆγον τῇ ἵππῳ τὰ θηρία, καὶ ἡ φάλαγξ αὐτὴ τῶν Μακεδόνων ἀντεπῄει πρὸς τοὺς ἐλέφαντας, ἔς τε τοὺς ἐπιβάτας αὐτῶν ἀκοντίζοντες καὶ αὐτὰ τὰ θηρία περισταδὸν πάντοθεν βάλλοντες. καὶ ἦν τὸ ἔργον οὐδενὶ τῶν πρόσθεν ἀγώνων ἐοικός· τά τε γὰρ θηρία ἐπεκθέοντα ἐς τὰς τάξεις τῶν πεζῶν, ὅπῃ ἐπιστρέψειεν, ἐκεράϊζε καίπερ πυκνὴν οὖσαν τὴν τῶν Μακεδόνων φάλαγγα, καὶ οἱ ἱππεῖς οἱ τῶν Ἰνδῶν τοῖς πεζοῖς ἰδόντες ξυνεστηκὸς τὸ ἔργον ἐπιστρέψαντες αὖθις καὶ αὐτοὶ ἐπήλαυνον τῇ ἵππῳ. [4] ὡς δὲ πάλιν ἐκράτησαν αὐτῶν οἱ ἀμφ᾽ Ἀλέξανδρον τῇ τε ῥώμῃ καὶ τῇ ἐμπειρίᾳ πολὺ προέχοντες, ὡς <ἐπὶ> τοὺς ἐλέφαντας αὖθις κατειλήθησαν. καὶ ἐν τούτῳ πᾶσα ἡ ἵππος Ἀλεξάνδρῳ ἐς μίαν ἴλην ἤδη ξυνηγμένη, οὐκ ἐκ παραγγέλματος, ἀλλὰ ἐν τῷ ἀγῶνι αὐτῷ ἐς τήνδε τὴν τάξιν καταστᾶσα, ὅπῃ προσπέσοι τῶν Ἰνδῶν ταῖς τάξεσι, ξὺν πολλῷ φόνῳ ἀπελύοντο. [5] καὶ ἐς στενὸν ἤδη κατειλημ[μ]ένων τῶν θηρίων οὐ μείω πρὸς αὐτῶν οἱ φίλιοι ἤπερ οἱ πολέμιοι ἐβλάπτοντο ἐν ταῖς ἐπιστροφαῖς τε καὶ τοῖς ὠθισμοῖς καταπατούμενοι. τῶν τε οὖν ἱππέων, οἷα δὴ ἐν στενῷ περὶ τοὺς ἐλέφαντας εἰλουμένων, πολὺς φόνος ἐγίγνετο καὶ οἱ ἡγεμόνες τῶν ἐλεφάντων οἱ πολλοὶ κατηκοντισμένοι ἦσαν, καὶ αὐτοὶ οἱ ἐλέφαντες τὰ μὲν τιτρωσκόμενοι, τὰ δὲ ὑπό τε τῶν πόνων καὶ ἐρημίᾳ ἡγεμόνων οὐκέτι διακεκριμένοι ἐν τῇ μάχῃ ἦσαν,
[6] ἀλλ᾽ οἷα δὴ ὑπὸ τοῦ κακοῦ ἔκφρονες φιλίοις τε ὁμοῦ καὶ πολεμίοις προσφερόμενοι πάντα τρόπον ἐξώθουν τε καὶ κατεπάτουν καὶ κατέκαινον. ἀλλ᾽ οἱ μὲν Μακεδόνες, ἅτε ἐν εὐρυχωρίᾳ τε καὶ κατὰ γνώμην τὴν σφῶν προσφερόμενοι τοῖς θηρίοις, ὅπῃ μὲν ἐπιφέροιντο εἶκον, ἀποστραφέντων δὲ εἴχοντο ἐσακοντίζοντες· οἱ δὲ Ἰνδοὶ ἐν αὐτοῖς ἀναστρεφόμενοι τὰ πλείω ἤδη πρὸς ἐκείνων ἐβλάπτοντο. [7] ὡς δὲ καματηρά τε ἦν τὰ θηρία καὶ οὐκέτι αὐτοῖς ἐρρωμέναι αἱ ἐκδρομαὶ ἐγίγνοντο, ἀλλὰ συριγμῷ μόνον διαχρώμενα ὥσπερ αἱ πρύμναν κρουόμεναι νῆες ἐπὶ πόδα ὑπεχώρουν, αὐτὸς μὲν Ἀλέξανδρος περιβάλλει ἐν κύκλῳ τὴν ἵππον τῇ πάσῃ τάξει, τοὺς πεζοὺς δὲ ξυνασπίσαντας ὡς ἐς πυκνοτάτην ξύγκλεισιν ἐπάγειν τὴν φάλαγγα ἐσήμηνε. καὶ οὕτως οἱ μὲν ἱππεῖς τῶν Ἰνδῶν πλὴν ὀλίγων κατεκόπησαν

el desdoblamiento de la caballería enemiga, de suerte que los indios no resistieron el ataque de los jinetes de Alejandro, sino que emprendieron la huida buscando refugio entre los elefantes, como si fuera un seguro valladar. [3] Los naires [174] lanzaron sus bestias contra la caballería macedonia, al tiempo que la falange de Alejandro arremetía contra los elefantes, disparando contra los conductores de las bestias y rodeando a los animales sin dejar de alcanzarles con sus dardos. Se produjo algo sin precedentes en ninguna batalla anterior. En efecto, los elefantes salían en estampida contra los batallones de infantería, por dondequiera que éstos se dirigían, arrollando la falange macedonia a pesar de ser su formación muy compacta. Por su parte, la caballería india, viendo que la acción había evolucionado a un combate de hombres de a pie, se dieron la vuelta para cargar de nuevo contra la caballería de Alejandro.
[4] Por segunda vez se impusieron las fuerzas de Alejandro, más diestras en táctica y en preparativos, por lo que la caballería india se retiró de nuevo a donde los elefantes. Mientras, toda la caballería de Alejandro se reagrupó en un gran escuadrón (y no por un acuerdo previo, sino porque el desarrollo del combate impusiera esta formación), de suerte que cayendo sobre los batallones indios los aniquilaban, originándoles innumerables bajas. [5] Los elefantes quedaron constreñidos en un lugar muy reducido, de suerte que los indios resultaban heridos por las bestias no menos que los soldados macedonios, pisoteados todos por los animales al maniobrar y atacar de nuevo.

La caballería india, encerrada en parte por los elefantes en un espacio reducido, sufrió grandes pérdidas; los naires fueron alcanzados por los disparos, mientras las bestias, heridas unas, y privadas de sus conductores y agotadas de cansancio otras, maniobraban en medio de la lucha fuera de todo control. [6] Los animales, enfurecidos, arremetían contra propios y enemigos, dando empellones a diestro y siniestro, pisoteando y destruyendo todo. Los macedonios, que disfrutaban de mayor amplitud para maniobrar según su plan previsto, se apartaban cuando los animales les acometían, mas cuando las bestias huían, las perseguían disparándoles sus dardos. Fueron, sin embargo, los enemigos que se habían refugiado entre los elefantes quienes en mayor medida resultaron heridos por éstos. [7] Las bestias, fatigadas ya, atacaban casi sin fuerzas, y poco a poco empezaron a retroceder barritando con gran estrépito, como naves que reman hacia atrás; fue entonces cuando Alejandro rodeó con su caballería el batallón enemigo, e hizo una contraseña a la infantería para que la falange avanzara formada en filas lo más compactas posible, entrechocando escudo con escudo sus hombres. En esta maniobra quedaron cercados casi la totalidad de la caballería y la infantería indias, y los macedonios les atacaron ya

ἐν τῷ ἔργῳ· ἐκόπτοντο δὲ καὶ οἱ πεζοὶ πανταχόθεν ἤδη προσκειμένων σφίσι τῶν Μακεδόνων. καὶ ἐν τούτῳ ἵνα διέσχεν ἡ ἵππος ἡ Ἀλεξάνδρου ἐς φυγὴν πάντες ἐπεστράφησαν.

18. Καὶ ἐν τῷ αὐτῷ Κρατερός τε καὶ οἱ ἄλλοι ὅσοι τῆς στρατιᾶς [τε] τῆς Ἀλεξάνδρου ἐπὶ τῇ ὄχθῃ τοῦ Ὑδάσπου ὑπολελειμμένοι ἡγεμόνες ἦσαν, ὡς νικῶντα λαμπρῶς κατεῖδον Ἀλέξανδρον, ἐπέρων καὶ αὐτοὶ τὸν πόρον. καὶ οὗτοι οὐ μείονα τὸν φόνον ἐν τῇ ἀποχωρήσει τῶν Ἰνδῶν ἐποίησαν, ἀκμῆτες ἀντὶ κεκμηκότων τῶν ἀμφ᾽ Ἀλέξανδρον ἐπιγενόμενοι τῇ διώξει. [2] Ἀπέθανον δὲ τῶν Ἰνδῶν πεζοὶ μὲν ὀλίγον ἀποδέοντες τῶν δισμυρίων, ἱππεῖς δὲ ἐς τρισχιλίους, τὰ δὲ ἅρματα ξύμπαντα κατεκόπη· καὶ Πώρου δύο παῖδες ἀπέθανον καὶ Σπιτάκης ὁ νομάρχης τῶν ταύτῃ Ἰνδῶν καὶ τῶν ἐλεφάντων καὶ ἁρμάτων οἱ ἡγεμόνες καὶ οἱ ἱππάρχαι καὶ οἱ στρατηγοὶ τῆς στρατιᾶς τῆς Πώρου ξύμπαντες. . . . . ἐλήφθησαν δὲ καὶ οἱ ἐλέφαντες, ὅσοι γε αὐτῶν μὴ αὐτοῦ ἀπέθανον. [3] τῶν δὲ ἀμφ᾽ Ἀλέξανδρον πεζοὶ μὲν ἀπὸ ἑξακισχιλίων τῶν ἐν τῇ πρώτῃ προσβολῇ γενομένων ἐς ὀγδοήκοντα μάλιστα ἀπέθανον· ἱππεῖς δὲ τῶν μὲν ἱπποτοξοτῶν, οἳ δὴ καὶ πρῶτοι τοῦ ἔργου ἥψαντο, δέκα· τῆς δὲ ἑταιρικῆς ἵππου ἀμφὶ τοὺς εἴκοσι· τῶν δὲ ἄλλων ἱππέων ὡς διακόσιοι. [4] Πῶρος δὲ μεγάλα ἔργα ἐν τῇ μάχῃ ἀποδειξάμενος μὴ ὅτι στρατηγοῦ, ἀλλὰ καὶ στρατιώτου γενναίου, ὡς τῶν τε ἱππέων τὸν φόνον κατεῖδε καὶ τῶν ἐλεφάντων τοὺς μὲν αὐτοῦ πεπτωκότας, τοὺς δὲ ἐρήμους τῶν ἡγεμόνων λυπηροὺς πλανωμένους, τῶν δὲ πεζῶν αὐτῷ οἱ πλείους ἀπολώλεσαν, οὐχ ἧπερ Δαρεῖος ὁ μέγας βασιλεὺς ἐξάρχων τοῖς ἀμφ᾽ αὐτὸν τῆς φυγῆς ἀπεχώρει, [5] ἀλλὰ ἔστε γὰρ ὑπέμενέ τι τῶν Ἰνδῶν ἐν τῇ μάχῃ ξυνεστηκός, ἐς τοσόνδε ἀγωνισάμενος, τετρωμένος δὲ τὸν δεξιὸν ὦμον, ὃν δὴ γυμνὸν μόνον ἔχων ἐν τῇ μάχῃ ἀνεστρέφετο (ἀπὸ γὰρ τοῦ ἄλλου σώματος ἤρκει αὐτῷ τὰ βέλη ὁ θώραξ περιττὸς ὢν κατά τε τὴν ἰσχὺν καὶ τὴν ἁρμονίαν, ὡς ὕστερον καταμαθεῖν θεωμένοις ἦν), τότε δὴ καὶ αὐτὸς ἀπεχώρει ἐπιστρέψας τὸν ἐλέφαντα. [6] καὶ Ἀλέξανδρος μέγαν τε αὐτὸν καὶ γενναῖον ἄνδρα ἰδὼν ἐν τῇ μάχῃ σῶσαι ἐπεθύμησε. πέμπει δὴ παρ᾽ αὐτὸν πρῶτα μὲν Ταξίλην τὸν Ἰνδόν· καὶ Ταξίλης προσιππεύσας ἐφ᾽ ὅσον οἱ ἀσφαλὲς ἐφαίνετο τῷ ἐλέφαντι ὃς ἔφερε τὸν Πῶρον ἐπιστῆσαί τε ἠξίου τὸ θηρίον, οὐ γὰρ εἶναί οἱ ἔτι φεύγειν, καὶ ἀκοῦσαι τῶν παρ᾽ Ἀλεξάνδρου λόγων. [7] ὁ δὲ ἰδὼν ἄνδρα

abiertamente por todas partes. Con todo, Alejandro les dejó un pasillo entre su caballería, por donde todos empezaron a buscar una salida.

***Continúa la batalla*.**

18 Fue entonces cuando Crátero y los otros oficiales del ejército de Alejandro que habían quedado como reserva en la orilla del Hidaspes, al ver que Alejandro obtenía una clara victoria, empezaron a cruzar el río y provocaron entre los indios que se retiraban gran número de bajas, ya que se trataba de tropas de reserva que sustituían al fatigado ejército de Alejandro en la persecución. [2] Murieron unos veinte mil infantes y tres mil jinetes indios que perdieron también todos sus carros de guerra. Igualmente murieron dos hijos de Poro, así como Espitaces, nomarco de esta región, los naires de los elefantes y los conductores de carros, además de todos los hiparcos y oficiales del ejército de Poro. Los macedonios capturaron, finalmente, los elefantes que sobrevivieron a la matanza. [3] En el ejército de Alejandro, que contaba con un total de seis mil infantes en el primer ataque, murieron unos ochenta, a más de diez arqueros a caballo, que fueron los primeros en entrar en combate; de la caballería de los Compañeros murieron unos veinte, y unos doscientos del resto de la caballería [175].

[4] Poro se mostró en el transcurso de la lucha no sólo como un experto general, sino como un bravo soldado de heroico comportamiento. Contempló con sus ojos el desastre de su caballería, cómo parte de sus elefantes caían malheridos, cómo otros erraban penosamente sin dirección alguna por haber perdido a sus naires, y muertos a la mayoría de sus infantes; con todo, no dio a sus hombres, como hiciera el Gran Rey Darío, el mal ejemplo de salir huyendo, [5] sino que continuó luchando dondequiera que parte de sus hombres aguantaban a pie firme, hasta que resultó herido en el hombro derecho, que era el único punto de su cuerpo que quedaba al descubierto en la lucha (se protegía de los dardos con una coraza de extraordinaria resistencia y muy bien ajustada, cual pudieron comprobar posteriormente los que le vieron); a resultas, pues, de esta herida, dio la vuelta a su elefante y alejóse del combate.

[6] Alejandro, que le había visto combatir como un valiente, sintió vivo deseo por salvarle la vida, para lo cual envió en su búsqueda al indio Taxiles, que se acercó con su caballo a una distancia prudencial al elefante de Poro, rogándole detuviera al animal, ya que era inútil intentar escapar, y escuchara el mensaje que le traía de parte de Alejandro. [7] Sin embargo, Poro, al ver a

ἐχθρὸν ἐκ παλαιοῦ τὸν Ταξίλην ἐπιστρέψας ἀνήγετο ὡς ἀκοντίσων· καὶ ἂν καὶ κατέκανε τυχόν, εἰ μὴ ὑποφθάσας ἐκεῖνος ἀπήλασεν ἀπὸ τοῦ Πώρου πρόσω τὸν ἵππον. Ἀλέξανδρος δὲ οὐδὲ ἐπὶ τῷδε τῷ Πώρῳ χαλεπὸς ἐγένετο, ἀλλ᾽ ἄλλους τε ἐν μέρει ἔπεμπε καὶ δὴ καὶ Μερόην ἄνδρα Ἰνδόν, ὅτι φίλον εἶναι ἐκ παλαιοῦ τῷ Πώρῳ τὸν Μερόην ἔμαθεν. [8] Πῶρος δὲ ὡς τὰ παρὰ τοῦ Μερόου ἤκουσε καὶ ἐκ τοῦ δίψους ἅμα ἐκρατεῖτο, ἐπέστησέ τε τὸν ἐλέφαντα καὶ κατέβη ἀπ᾽ αὐτοῦ· ὡς δὲ ἔπιέ τε καὶ ἀνέψυξεν, ἄγειν αὐτὸν σπουδῇ ἐκέλευσεν παρὰ Ἀλέξανδρον.

19. Καὶ ὁ μὲν ἤγετο· Ἀλέξανδρος δὲ ὡς προσάγοντα ἐπύθετο, προσιππεύσας πρὸ τῆς τάξεως ξὺν ὀλίγοις τῶν ἑταίρων ἀπαντᾷ τῷ Πώρῳ· καὶ ἐπιστήσας τὸν ἵππον τό τε μέγεθος ἐθαύμαζεν, ὑπὲρ πέντε πήχεις μάλιστα ξυμβαῖνον, καὶ τὸ κάλλος τοῦ Πώρου καὶ ὅτι οὐ δεδουλωμένος τῇ γνώμῃ ἐφαίνετο, ἀλλ᾽ ὥσπερ <ἂν> ἀνὴρ ἀγαθὸς ἀνδρὶ ἀγαθῷ προσέλθοι ὑπὲρ βασιλείας τῆς αὑτοῦ πρὸς βασιλέα ἄλλον καλῶς ἠγωνισμένος. [2] ἔνθα δὴ Ἀλέξανδρος πρῶτος προσειπὼν αὐτὸν λέγειν ἐκέλευσεν ὅ τι οἱ γενέσθαι ἐθέλοι. Πῶρον δὲ ἀποκρίνασθαι λόγος ὅτι· βασιλικῶς μοι χρῆσαι, ὦ Ἀλέξανδρε. καὶ Ἀλέξανδρος ἡσθεὶς τῷ λόγῳ, τοῦτο μὲν ἔσται σοι, ἔφη, ὦ Πῶρε, ἐμοῦ ἕνεκα· σὺ δὲ σαυτοῦ ἕνεκα ὅ τι σοὶ φίλον ἀξίου. ὁ δὲ πάντα ἔφη ἐν τούτῳ ἐνεῖναι. [3] καὶ Ἀλέξανδρος τούτῳ ἔτι μᾶλλον τῷ λόγῳ ἡσθεὶς τήν τε ἀρχὴν τῷ Πώρῳ τῶν τε αὐτῶν Ἰνδῶν ἔδωκεν καὶ ἄλλην ἔτι χώραν πρὸς τῇ πάλαι οὔσῃ πλείονα τῆς πρόσθεν προσέθηκεν· καὶ οὕτως αὐτός τε βασιλικῶς κεχρημένος ἦν ἀνδρὶ ἀγαθῷ καὶ ἐκείνῳ ἐκ τούτου ἐς ἅπαντα πιστῷ ἐχρήσατο. τοῦτο τὸ τέλος τῇ μάχῃ τῇ πρὸς Πῶρόν τε καὶ τοὺς ἐπέκεινα τοῦ Ὑδάσπου ποταμοῦ Ἰνδοὺς Ἀλεξάνδρῳ ἐγένετο ἐπ᾽ ἄρχοντος Ἀθηναίοις Ἡγήμονος μηνὸς Μουνυχιῶνος. [4] Ἵνα δὲ ἡ μάχη ξυνέβη καὶ ἔνθεν ὁρμηθεὶς ἐπέρασε τὸν Ὑδάσπην ποταμὸν πόλεις ἔκτισεν Ἀλέξανδρος. καὶ τὴν μὲν Νίκαιαν τῆς νίκης τῆς κατ᾽ Ἰνδῶν ἐπώνυμον ὠνόμασε, τὴν δὲ Βουκεφάλαν ἐς τοῦ ἵππου τοῦ Βουκεφάλα τὴν μνήμην, ὃς ἀπέθανεν αὐτοῦ, οὐ βληθεὶς πρὸς οὐδενός, ἀλλὰ ὑπὸ καύματος τε καὶ ἡλικίας [5] (ἦν γάρ ἀμφὶ τὰ τριάκοντα ἔτη) καματηρὸς γενόμενος, πολλὰ δὲ πρόσθεν ξυγκαμών τε καὶ συγκινδυνεύσας Ἀλεξάνδρῳ, ἀναβαινόμενός τε πρὸς μόνου Ἀλεξάνδρου [ὁ

Taxiles, reconoció en él a un viejo enemigo, por lo que hizo un brusco giro para lanzarle su dardo. A punto estuvo de alcanzarle, de no haber sido porque Taxiles se adelantó a alejar su caballo del alcance de Poro. Alejandro no reaccionó irritándose por ello contra Poro, sino que envió a otros sucesivamente con el mismo mensaje, y finalmente al indio Méroes que, según sus noticias, había sido hacía tiempo amigo de Poro [176]. En efecto, [8] Poro atendió la solicitud de Méroes y, vencido además por la sed, se detuvo y se apeó del elefante. Una vez bebió y recuperó el aliento, rogó a Méroes lo llevara a presencia de Alejandro.

Encuentro Poro-Alejandro. Bucéfalo.

19 Al tener noticias Alejandro de que traían a Poro a su presencia, se adelantó él mismo a caballo con algunos de los Compañeros a la vanguardia de su ejército, saliendo al encuentro de Poro. Detuvo su caballo y quedó admirado por la estatura de Poro (media más de cinco codos [177]), por su hermosura y porte, pues en nada daba la impresión de estar allí en calidad de prisionero, sino que su aspecto era el de un hombre de noble espíritu que se entrevistaba con un igual que ha luchado valientemente por su reino, contra otro rey.

[2] Dirigióle la palabra Alejandro, que le rogó le dijera qué quería que hiciera con él. Poro le contestó: «Trátame, Alejandro, como rey que soy.» Agradó a Alejandro la contestación, por lo que a su vez dijo: «Así se hará por mi parte, Poro; mas tú, por tu parte, di qué deseas.» Poro dijo que en lo dicho estaba todo. [3] Aún más alegró a Alejandro esto, hasta el punto que otorgó a Poro el mando sobre su región, y aún añadióle nuevos territorios, más extensos que sus primitivas posesiones [178]. Así Alejandro había tratado como rey a un valiente y desde entonces contó con él como persona absolutamente leal [179].

Éste fue el desenlace de la batalla que por entonces mantuvo Alejandro con Poro y los indios que habitaban aquella orilla del río Hidaspes, siendo arconte en Atenas Hegemón durante el mes muniquio [180].

[4] Alejandro fundó varias ciudades, una en el lugar exacto donde se desarrolló el combate, y otra en el lugar desde donde partió la expedición que cruzó el río Hidaspes. A la primera la llamó Victoria [181], en recuerdo de la victoria obtenida sobre los indios; a la segunda la denominó Bucéfala, en memoria de su caballo Bucéfalo, que había muerto allí, de agotamiento y de viejo, no herido por nadie [182]. [5] Era ya un caballo de unos treinta años, agotado por haber sufrido antes muchas penalidades y peligros que había compartido con Alejandro; fue éste su único jinete, ya

Βουκεφάλας οὗτος], ὅτι τοὺς ἄλλους πάντας ἀπηξίου ἀμβάτας, καὶ μεγέθει μέγας καὶ τῷ θυμῷ γενναῖος. σημεῖον δέ οἱ ἦν βοὸς κεφαλὴ ἐγκεχαραγμένη, ἐφ᾽ ὅτῳ καὶ τὸ ὄνομα τοῦτο λέγουσιν ὅτι ἔφερεν· οἱ δὲ λέγουσιν ὅτι λευκὸν σῆμα εἶχεν ἐπὶ τῆς κεφαλῆς, μέλας ὢν [6] αὐτός, ἐς βοὸς κεφαλὴν μάλιστα εἰκασμένον. οὗτος ὁ ἵππος ἐν τῇ Οὐξίων χώρᾳ ἀφανὴς ἐγένετο Ἀλεξάνδρῳ, καὶ Ἀλέξανδρος προεκήρυξεν ἀνὰ τὴν χώραν πάντας ἀποκτενεῖν Οὐξίους, εἰ μὴ ἀπάξουσιν αὐτῷ τὸν ἵππον· καὶ ἀπήχθη εὐθὺς ἐπὶ τῷ κηρύγματι. τοσήδε μὲν σπουδὴ Ἀλεξάνδρῳ ἀμφ᾽ αὐτὸν ἦν, τόσος δὲ Ἀλεξάνδρου φόβος τοῖς βαρβάροις. καὶ ἐμοὶ ἐς τοσόνδε τετιμήσθω ὁ Βουκεφάλας οὗτος Ἀλεξάνδρου ἕνεκα.

20. Ἀλεξάνδρῳ δὲ ἐπειδὴ οἱ ἀποθανόντες ἐν τῇ μάχῃ κεκόσμηντο τῷ πρέποντι κόσμῳ, ὁ δὲ τοῖς θεοῖς τὰ νομιζόμενα ἐπινίκια ἔθυε, καὶ ἀγὼν ἐποιεῖτο αὐτῷ γυμνικὸς καὶ ἱππικὸς αὐτοῦ ἐπὶ τῇ ὄχθῃ τοῦ Ὑδάσπου, ἵναπερ τὸ πρῶτον διέβη ἅμα τῷ στρατῷ. [2] Κρατερὸν μὲν δὴ ξὺν μέρει τῆς στρατιᾶς ὑπελείπετο τὰς πόλεις ἅστινας ταύτῃ ἔκτιζεν ἀναστήσοντά τε καὶ ἐκτειχιοῦντα· αὐτὸς δὲ ἤλαυνεν ὡς ἐπὶ τοὺς προσχώρους τῇ Πώρου ἀρχῇ Ἰνδούς. ὄνομα δὲ ἦν τῷ ἔθνει Γλαυγανῖκαι, ὡς λέγει Ἀριστόβουλος, ὡς δὲ Πτολεμαῖος, Γλαῦσαι.

[3] ὁποτέρως δὲ ἔχει τὸ ὄνομα οὔ μοι μέλει. ἐπῄει δὲ τὴν χώραν αὐτῶν Ἀλέξανδρος τῶν τε ἑταίρων ἱππέων ἔχων τοὺς ἡμίσεας καὶ τῶν πεζῶν ἀπὸ φάλαγγος ἑκάστης ἐπιλέκτους καὶ τοὺς ἱπποτοξότας σύμπαντας καὶ τοὺς Ἀγριᾶνας καὶ τοὺς τοξότας· καὶ προσεχώρουν αὐτῷ ὁμολογίᾳ πάντες. [4] καὶ ἔλαβε πόλεις μὲν ἐς τριάκοντα καὶ ἑπτά, ὧν ἵνα ὀλίγιστοι ἦσαν οἰκήτορες πεντακισχιλίων οὐκ ἐλάττους ἦσαν, πολλῶν δὲ καὶ ὑπὲρ τοὺς μυρίους· καὶ κώμας πλήθει τε πολλὰς ἔλαβε καὶ πολυανθρώπους οὐ μεῖον τῶν πόλεων. καὶ ταύτης τῆς χώρας Πώρῳ ἄρχειν ἔδωκεν. καὶ Ταξίλῃ δὲ διαλλάττει Πῶρον καὶ Ταξίλην ἀποπέμπει ὀπίσω ἐς τὰ ἤθη τὰ αὑτοῦ. [5] Ἐν τούτῳ δὲ παρά τε Ἀβισάρου πρέσβεις ἧκον, ἐνδιδόντες αὐτόν τε Ἀλεξάνδρῳ Ἀβισάρην καὶ τὴν χώραν ὅσης ἦρχε. καίτοι πρό γε τῆς μάχης τῆς πρὸς Πῶρον γενομένης Ἀλεξάνδρῳ ἐπενόει Ἀβισάρης καὶ αὐτὸς ξὺν Πώρῳ τάττεσθαι· τότε δὲ καὶ τὸν ἀδελφὸν τὸν αὑτοῦ ξὺν τοῖς ἄλλοις πρέσβεσι παρ᾽ Ἀλέξανδρον ἔπεμψε, χρήματά τε κομίζοντα καὶ ἐλέφαντας τεσσαράκοντα δῶρον Ἀλεξάνδρῳ. [6] ἧκον δὲ καὶ παρὰ τῶν

que no toleró sobre sí a ninguna otra persona; caballo grande de tamaño [183] y de ánimo esforzado. Estaba marcado con una cabeza de buey, de donde su nombre Bucéfalo, aunque otros dicen que tenía un lucero en su cabeza (siendo todo el resto de su cuerpo negro), exactamente igual a la cabeza de un buey. En una ocasión desapareció, [6] estando Alejandro en el territorio de los uxios, y Alejandro dio a conocer un pregón anunciando que pasaría a cuchillo a todos los uxios de la región si no le devolvían su caballo. Proclamar el pregón y presentarse uno con el caballo fue todo una. Tal era el afecto que Alejandro le tenía, y tan grande el miedo que los bárbaros sentían ante Alejandro [184]. Termino así mi elogio de Bucéfalo, que lo hice sólo por consideración a Alejandro.

20 Alejandro honró debidamente a los muertos en el combate, y celebró luego sacrificios en honor de los dioses, según era tradición tras una victoria, así como un certamen gimnástico e hípico sobre la ribera del Hidaspes, justo en el lugar por el que cruzó por primera vez con su ejército. [2] Dejó allí a Crátero con parte de sus tropas para que terminara de levantar y fortificar las ciudades que él había fundado, mientras él se dirigía hacia el territorio vecino de los dominios de Poro. Este pueblo se llamaba Glauganico, según dice Aristobulo, aunque Tolomeo lo denomina Clausa. [3] No entro yo en el cuál sea su nombre exacto. El caso es que Alejandro penetró en la región al frente de la mitad de la caballería de los Compañeros, algunos infantes elegidos de cada falange, todos los arqueros a caballo, los agrianes y los arqueros. [4] Los habitantes de esta región se fueron pasando a su bando mediante pactos y tratados, de manera que se hizo dueño así de treinta y siete ciudades, de las que las menos populosas contaban no menos de cinco mil habitantes, y muchas incluso más de diez mil hombres. Capturó también no pocas aldeas, muchas de las cuales eran más populosas que algunas ciudades. Alejandro cedió a Poro el control de esta región, y reconcilió a Poro con Taxiles, a quien le permitió volver a su país.

[5] En esto, se presentaron ante Alejandro unos embajadores de Abisares [185], anunciándole la rendición de éste, que también estaba dispuesto a entregarle el territorio sobre el que gobernaba. Antes de la batalla entre Alejandro y Poro, había planeado Abisares unirse a las fuerzas de Poro, pero entonces se había decidido por enviar a su hermano con unos embajadores a Alejandro, con regalos en dinero y cuarenta elefantes. [6] También vinieron ante

αὐτονόμων Ἰνδῶν πρέσβεις παρ' Ἀλέξανδρον καὶ παρὰ Πώρου ἄλλου του ὑπάρχου Ἰνδῶν. Ἀλέξανδρος δὲ Ἀβισάρην διὰ τάχους ἰέναι παρ' αὐτὸν κελεύει ἐπαπειλήσας, εἰ μὴ ἔλθοι, ὅτι αὐτὸν ὄψεται ἥκοντα ξὺν τῇ στρατιᾷ ἵνα οὐ χαιρήσει ἰδών. [7] Ἐν τούτῳ δὲ Φραταφέρνης τε ὁ Παρθυαίων καὶ Ὑρκανίας σατράπης τοὺς καταλειφθέντας παρὰ οἷ Θρᾷκας ἄγων ἧκεν ὡς Ἀλέξανδρον καὶ παρὰ Σισικόττου τοῦ Ἀσσακηνῶν σατράπου ἄγγελοι, ὅτι τόν τε ὕπαρχον σφῶν ἀπεκτονότες εἶεν οἱ Ἀσσακηνοὶ καὶ ἀπ' Ἀλεξάνδρου ἀφεστηκότες. καὶ ἐπὶ τούτους Φίλιππον ἐκπέμπει καὶ Τυρίεσπιν σὺν στρατιᾷ τὰ περὶ τὴν Ἀσσακηνῶν χώραν καταστησομένους καὶ κοσμήσοντας. [8] Αὐτὸς δὲ ὡς ἐπὶ τὸν Ἀκεσίνην ποταμὸν προὐχώρει. τούτου τοῦ Ἀκεσίνου τὸ μέγεθος μόνου τῶν Ἰνδῶν ποταμῶν Πτολεμαῖος ὁ Λάγου ἀνέγραψεν· εἶναι γὰρ ἵνα ἐπέρασεν αὐτὸν Ἀλέξανδρος ἐπὶ τῶν πλοίων τε καὶ τῶν διφθερῶν ξὺν τῇ στρατιᾷ τὸ μὲν ῥεῦμα ὀξὺ τοῦ Ἀκεσίνου πέτραις μεγάλαις καὶ ὀξείαις, καθ' ὧν φερόμενον βίᾳ τὸ ὕδωρ κυμαίνεσθαί τε καὶ καχλάζειν, τὸ δὲ εὖρος σταδίους ἐπέχειν πεντεκαίδεκα. [9] τοῖς μὲν δὴ ἐπὶ τῶν διφθερῶν περῶσιν εὐμαρῆ γενέσθαι τὸν πόρον, τοὺς δὲ ἐν τοῖς πλοίοις διαβάλλοντας ἐποκειλάντων πολλῶν πλοίων ἐπὶ ταῖς πέτραις καὶ συναρ [ρ]αχθέντων οὐκ ὀλίγους αὐτοῦ ἐν τῷ ὕδατι διαφθαρῆναι.

[10] εἴη ἂν οὖν ἐκ τοῦδε τοῦ λόγου ξυντιθέντι τεκμηριοῦσθαι, ὅτι οὐ πόρρω τοῦ ἀληθοῦς ἀναγέγραπται τοῦ Ἰνδοῦ ποταμοῦ τὸ μέγεθος, ὅσοις ἐς τεσσαράκοντα σταδίους δοκεῖ τοῦ Ἰνδοῦ εἶναι τὸ εὖρος, ἵνα μέσως ἔχει αὐτὸς αὑτοῦ [ὁ Ἰνδός]·[I] ἵνα δὲ στενότατός τε καὶ διὰ στενότητα βαθύτατος ἐς τοὺς πεντεκαίδεκα ξυνάγεσθαι· καὶ ταῦτα πολλαχῇ εἶναι τοῦ Ἰνδοῦ. καὶ γὰρ καὶ τοῦ Ἀκεσίνου τεκμαίρομαι ἐπιλέξασθαι Ἀλέξανδρον, ἵναπερ τὸ πλατύτατον ἦν τοῦ πόρου, ὡς σχολαιτέρῳ χρήσασθαι τῷ ῥεύματι.

21. Περάσας δὲ τὸν ποταμὸν Κοῖνον μὲν ξὺν τῇ αὑτοῦ τάξει ἀπολείπει αὐτοῦ ἐπὶ τῇ ὄχθῃ προστάξας ἐπιμελεῖσθαι τῆς ὑπολελειμμένης στρατιᾶς τῆς διαβάσεως, οἳ τόν τε σῖτον αὐτῷ τὸν ἐκ τῆς ἤδη ὑπηκόου τῶν Ἰνδῶν χώρας καὶ τὰ ἄλλα ἐπιτήδεια παρακομίζειν ἔμελλον.

[I] Roos sugirió su eliminación.

Alejandro embajadores de unos indios que vivían como pueblo independiente, así como de un gobernador de otros indios que también se llamaba Poro [186]. Ordenó Alejandro rápidamente a Abisares que viniera a entrevistarse con él, con la amenaza de que si no venía ya tendría ocasión de comprobar cómo Alejandro saldría con todo su ejército a su encuentro, cosa ésta que no habría de resultarle nada grata. [7] En esto se presentó Fratafernes, sátrapa de Partía e Hircania, al frente de los tracios que Alejandro había dejado allí. También comparecieron uno mensajeros de Sisicoto, sátrapa de los asacenos, con la noticia de que los asacenos habían dado muerte a su gobernador y habían hecho defección de Alejandro. Envió éste contra los asacenos a Filipo y Tiriaspes con un ejército a restaurar el orden en el territorio e imponer la paz.

[8] Alejandro se puso en marcha hacia el río Acesines. Tolomeo, el hijo de Lago, nos ha dejado testimonio de la importancia sólo de este río, y no de los demás de la India. En el punto por donde Alejandro cruzó su ejército en barcas y balsas, la corriente del río es fortísima y arrastra grandes y puntiagudas piedras que la corriente hace chocar formando gran estruendo. La anchura del río alcanza quince estadios [187]. [9] Los que hicieron la travesía sobre las balsas pasaron fácilmente, pero muchos de los que iban en los barcos, al estrellarse y golpearse muchos de éstos contra las rocas, perecieron entre las aguas. [10] Sería posible conjeturar, a partir de este dato concreto, que la magnitud del Indo no debe estar muy lejos de los cuarenta estadios [188] de ancho, tomando este ancho como promedio. Sin embargo, por su parte más estrecha, que ha de ser también la de mayor profundidad, se puede calcular en unos quince estadios, que es lo que el Indo tiene en la mayor parte de su curso. Desde luego, yo conjeturo que Alejandro eligió la parte más ancha del Acesines para cruzar sus tropas, ya que por allí la corriente bajaría con mayor mansedumbre.

Del Acesines al Hidraotes.

21 Cruzó el río Alejandro y dejó en la orilla a Ceno con su propio batallón para que vigilara el desembarco de las restantes tropas, ya que ellos iban a acompañar como escolta a los encargados de recoger el trigo que como tributo les pagaban los territorios indios a él sometidos, además de otras provisiones.

[2] Πῶρον δὲ ἐς τὰ αὑτοῦ ἤδη ἀποπέμπει, κελεύσας Ἰνδῶν τε τοὺς μαχιμωτάτους ἐπιλεξάμενον καὶ εἴ τινας παρ᾽ αὑτῷ ἔχοι ἐλέφαντας, τούτους δὲ ἀναλαβόντα[ς] ἰέναι παρ᾽ αὑτόν. αὐτὸς δὲ Πῶρον τὸν ἕτερον τὸν κακόν, ὅτι ἐξηγγέλθη πεφευγέναι ἀπολιπὼν τὴν χώραν ἧς ἦρχεν, ἐπενόει διώκειν σὺν τοῖς κουφοτάτοις τῆς στρατιᾶς. [3] ὁ γὰρ Πῶρος οὗτος, ἔστε μὲν πολέμια ξυνειστήκει Ἀλεξάνδρῳ τὰ πρὸς τὸν ἄλλον Πῶρον, πρέσβεις παρ᾽ Ἀλέξανδρον πέμπων αὑτόν τε καὶ τὴν ὑπὸ οἷ χώραν ἐνεδίδου Ἀλεξάνδρῳ, κατὰ ἔχθος τὸ Πώρου μᾶλλον ἢ φιλίᾳ τῇ Ἀλεξάνδρου· ὡς δὲ ἀφειμένον τε ἐκεῖνον καὶ πρὸς τῇ αὑτοῦ καὶ ἄλλης πολλῆς ἄρχοντα ἔμαθε, τότε δὴ φοβηθείς, οὐχ οὕτω τι Ἀλέξανδρον, ὡς τὸν Πῶρον ἐκεῖνον τὸν ὁμώνυμον, φεύγει τὴν ἑαυτοῦ ἀναλαβὼν ὅσους τῶν μαχίμων ξυμπεῖσαι ἠδυνήθη μετασχεῖν οἱ τῆς φυγῆς. [4] Ἐπὶ τοῦτον ἐλαύνων Ἀλέξανδρος ἀφικνεῖται ἐπὶ τὸν Ὑδραώτην ποταμόν, ἄλλον αὖ τοῦτον Ἰνδὸν ποταμόν, τὸ μὲν εὖρος οὐ μείονα τοῦ Ἀκεσίνου, ὀξύτητι δὲ τοῦ ῥοῦ μείονα. ὅσην δὲ τῆς χώρας ἔστε ἐπὶ τὸν Ὑδραώτην ἐπῆλθε, φυλακὰς ὑπέλιπεν ἐν τοῖς ἐπικαιροτάτοις χωρίοις, ὅπως οἱ ἀμφὶ Κρατερόν τε καὶ Κοῖνον δι᾽ ἀσφαλείας ἐπέρχοιντο τῆς χώρας τὴν πολλὴν προνομεύοντες.

[5] ἐνταῦθα Ἡφαιστίωνα μὲν ἐκπέμπει δοὺς αὐτῷ μέρος τῆς στρατιᾶς, πεζῶν μὲν φάλαγγας δύο, ἱππέων δὲ τήν τε αὑτοῦ καὶ τὴν Δημητρίου ἱππαρχίαν καὶ τῶν τοξοτῶν τοὺς ἡμίσεας, ἐς τὴν Πώρου τοῦ ἀφεστηκότος χώραν, κελεύσας παραδιδόναι ταύτην Πώρῳ τῷ ἄλλῳ, καὶ εἰ δή τινα πρὸς ταῖς ὄχθαις τοῦ Ὑδραώτου ποταμοῦ αὐτόνομα ἔθνη Ἰνδῶν νέμεται, καὶ ταῦτα προσαγαγόμενον τῷ Πώρῳ ἄρχειν ἐγχειρίσαι. [6] αὐτὸς δ᾽ ἐπέρα τὸν Ὑδραώτην ποταμόν, οὐ καθάπερ τὸν Ἀκεσίνην χαλεπῶς. προχωροῦντι δὲ αὐτῷ ἐπέκεινα τῆς ὄχθης τοῦ Ὑδραώτου τοὺς μὲν πολλοὺς καθ᾽ ὁμολογίαν προσχωρεῖν ξυνέβαινεν, ἤδη δέ τινας ξὺν ὅπλοις ἀπαντήσαντας, τοὺς δὲ καὶ ὑποφεύγοντας ἑλὼν βίᾳ κατεστρέψατο.

22. Ἐν τούτῳ δὲ ἐξαγγέλλεται Ἀλεξάνδρῳ τῶν αὐτονόμων Ἰνδῶν ἄλλους τέ τινας καὶ τοὺς καλουμένους Καθαίους αὐτούς τε παρασκευάζεσθαι ὡς πρὸς μάχην, εἰ προσάγοι τῇ χώρᾳ αὐτῶν Ἀλέξανδρος, καὶ ὅσα ὅμορά σφισιν <ἔθνη> ὡσαύτως αὐτόνομα, καὶ ταῦτα παρακαλεῖν ἐς τὸ ἔργον· [2] εἶναι δὲ τήν τε πόλιν ὀχυρὰν πρὸς ᾗ

[2] Autorizó a Poro a volverse a su tribu, con el encargo de que alistara a los más valerosos indios y los elefantes que pudiera tener, y que volviera con ellos al encuentro de Alejandro posteriormente. Sus planes actuales eran perseguir con sus tropas más ligeras al otro Poro, al malo, ya que le habían llegado noticias de que había escapado abandonando su región.

[3] Esta persona, llamado también Poro, mientras las relaciones entre Alejandro y el otro Poro fueron hostiles, envió embajadores a Alejandro, ofreciéndole su persona y su país, cosa que hacía más por enemistad con su homónimo que por verdaderos sentimientos de amistad para con Alejandro. Al haber tenido noticias Poro, el actual enemigo de Alejandro, de que el otro Poro había sido puesto en libertad por Alejandro, y que le había conferido además el dominio de sus antiguos territorios y aun de otros nuevos, sintió miedo, no tanto de Alejandro como de Poro, su homónimo; precisamente por ello había abandonado su región acompañado de un buen número de valientes guerreros, a los que había convencido para que le acompañaran en su huida. [4] Persiguiéndole, llegó Alejandro al río Hidraotes [189], que es también un río de la India, de ancho no menor que el Acesines, aunque su corriente es menos viva. A lo largo del territorio que atravesó hasta llegar al Hidraotes apostó vigías en los lugares más estratégicos, para que los hombres de Crátero y Ceno pudieran ir tranquilos a buscar provisiones por aquella región.

[5] Despachó al territorio del sublevado Poro a Hefestión, a quien asignó parte de su ejército, dos falanges de infantería, su propia hiparquía, a más de la de Demetrio, y la mitad de los arqueros. Le ordenó que pusiera esta región a disposición de su amigo Poro, y que a ella anexionara algunas tribus indias que vivían como pueblo independiente en la orilla del Hidraotes, que también pasarían a manos de Poro.

[6] Alejandro, mientras tanto, cruzó el Hidraotes, sin los contratiempos que había tenido al cruzar el Acesines. Continuaba su avance por aquella orilla del Hidraotes, cuando muchos de sus habitantes salieron a su encuentro para pasarse a su bando mediante un pacto, aunque algunos de ellos incluso habían tomado en una primera intención las armas contra Alejandro. A otros que intentaban huir los cogió y los sometió por la fuerza.

Sangala.

22 Informaron entonces a Alejandro que algunos indios de esos que viven como pueblo independiente, y concretamente los llamados cateos, se estaban preparando para presentar batalla tan pronto Alejandro se acercara a su territorio, animando a la misma empresa a otros indios independientes de los territorios vecinos. [2] Su ciudad era una estupenda

ἐπενόουν ἀγωνίσασθαι, Σάγγαλα ἦν τῇ πόλει ὄνομα, καὶ αὐτοὶ οἱ Καθαῖοι εὐτολμότατοί τε καὶ τὰ πολέμια κράτιστοι ἐνομίζοντο, καὶ τούτοις κατὰ τὰ αὐτὰ Ὀξυδράκαι, ἄλλο Ἰνδῶν ἔθνος, καὶ Μαλλοί, ἄλλο καὶ τοῦτο· ἐπεὶ καὶ ὀλίγῳ πρόσθεν στρατεύσαντας ἐπ᾽ αὐτοὺς Πῶρόν τε καὶ Ἀβισάρην ξύν τε τῇ σφετέρᾳ δυνάμει καὶ πολλὰ ἄλλα ἔθνη τῶν αὐτονόμων Ἰνδῶν ἀναστήσαντας οὐδὲν πράξαντας τῆς παρασκευῆς ἄξιον ξυνέβη ἀπελθεῖν. [3] Ταῦτα ὡς ἐξηγγέλθη Ἀλεξάνδρῳ, σπουδῇ ἤλαυνεν ὡς ἐπὶ τοὺς Καθαίους. καὶ δευτεραῖος μὲν ἀπὸ τοῦ ποταμοῦ τοῦ Ὑδραώτου πρὸς πόλιν ἧκεν ᾗ ὄνομα Πίμπραμα· τὸ δὲ ἔθνος τοῦτο τῶν Ἰνδῶν Ἀδραϊσταὶ ἐκαλοῦντο. [4] οὗτοι μὲν δὴ προσεχώρησαν ὁμολογίᾳ Ἀλεξάνδρῳ. καὶ Ἀλέξανδρος ἀναπαύσας τῇ ὑστεραίᾳ τὴν στρατιὰν τῇ τρίτῃ προὐχώρει ἐπὶ τὰ Σάγγαλα, ἵνα οἱ Καθαῖοί τε καὶ οἱ ἄλλοι πρόσχωροι αὐτοῖς ξυνεληλυθότες πρὸ τῆς πόλεως παρατεταγμένοι ἦσαν ἐπὶ γηλόφου οὐ πάντῃ ἀποτόμου· κύκλῳ δὲ τοῦ γηλόφου ἁμάξας περιστήσαντες ἐντὸς αὐτῶν ἐστρατοπέδευον, ὡς τριπλοῦν χάρακα προβεβλῆσθαι [πρὸ] τῶν ἁμαξῶν. [5] Ἀλέξανδρος δὲ τό τε πλῆθος κατιδὼν τῶν βαρβάρων καὶ τοῦ χωρίου τὴν φύσιν, ὡς μάλιστα πρὸς τὰ παρόντα ἐν καιρῷ οἱ ἐφαίνετο παρετάσσετο· καὶ τοὺς μὲν ἱπποτοξότας εὐθὺς ὡς εἶχεν ἐκπέμπει ἐπ᾽ αὐτούς, ἀκροβολίζεσθαι κελεύσας παριππεύοντας, ὡς μήτε ἐκδρομήν τινα ποιήσασθαι τοὺς Ἰνδοὺς πρὶν ξυνταχθῆναι αὐτῷ τὴν στρατιὰν καὶ ὡς πληγὰς γίγνεσθαι αὐτοῖς καὶ πρὸ τῆς μάχης ἐντὸς τοῦ ὀχυρώματος. [6] αὐτὸς δὲ ἐπὶ μὲν τοῦ δεξιοῦ κέρως τῶν ἱππέων τὸ ἄγημα κατέστησε καὶ τὴν Κλείτου ἱππαρχίαν, ἐχομένους δὲ τούτων τοὺς ὑπασπιστάς, καὶ ἐπὶ τούτοις τοὺς Ἀγριᾶνας· κατὰ δὲ τὸ εὐώνυμον Περδίκκας αὐτῷ ἐτέτακτο τήν τε αὑτοῦ ἔχων ἱππαρχίαν καὶ τὰς τῶν πεζεταίρων τάξεις· ἐπὶ κέρως δὲ ἑκατέρου οἱ τοξόται αὐτῷ διχῇ διακριθέντες ἐτάχθησαν. [7] ἐκτάσσοντι δὲ αὐτῷ παρεγένοντο καὶ οἱ ἀπὸ τῆς ὀπισθοφυλακίας πεζοί τε καὶ ἱππεῖς. καὶ τούτων τοὺς μὲν ἱππέας ἐπὶ τὰ κέρατα διελὼν παρήγαγεν, ἀπὸ δὲ τῶν πεζῶν τῶν προσγενομένων πυκνοτέραν τὴν ξύγκλεισιν τῆς φάλαγγος ποιήσας αὐτὸς ἀναλαβὼν τὴν ἵππον τὴν ἐπὶ τοῦ δεξιοῦ τεταγμένην πασήγαγεν ἐπὶ τὰς κατὰ τὸ εὐώνυμον τῶν Ἰνδῶν ἁμάξας. ταύτῃ γὰρ εὐπροσοδώτερον αὐτῷ ἐφαίνετο τὸ χωρίον καὶ οὐ πυκναὶ ὡσαύτως αἱ ἅμαξαι ἐφειστήκεσαν.

fortaleza, llamada Sangala [190], donde pensaban hacerse fuertes. Por lo demás, los cateos eran valerosos, y se les tenía por los hombres más poderosos en cuestiones militares. En idéntica actitud estaban los oxídracos [191] y los malios [192], que eran otros pueblos indios. No hacía mucho tiempo, Poro y Abisares habían acudido con un ejército contra ellos, y aunque habían conseguido atraerse a su bando a varios de estos pueblos, no habían logrado hacer nada importante, por lo que habían tenido que retirarse.

[3] Al tener noticias Alejandro de todo esto, marchó a toda prisa contra los cateos. Al segundo día de marcha desde el río Hidraotes llegó a una ciudad llamada Pimprama, cuyos habitantes eran un pueblo indio, los llamados adrastos, [4] que se pasaron a Alejandro mediante un pacto. Al día siguiente, Alejandro dio un descanso a sus hombres, y al tercer día prosiguió su marcha hacia Sangala, donde los cateos y otros vecinos se habían congregado, reunidos delante de la ciudad sobre una colina escarpada por una de sus faldas. Rodeando la colina habían colocado unos carromatos, dentro de los cuales acamparon, de suerte que los carros formaban una tercera empalizada.

[5] Alejandro observó, además, que era grande el número de bárbaros, por lo que estudiando la disposición de la plaza, preparó el plan que más acorde le parecía con las presentes circunstancias. En primer lugar, lanzó contra los acampados a los arqueros a caballo, con orden de que sin apearse del caballo les dispararan sus proyectiles a fin de impedir que los indios, alcanzados por los disparos en su propia fortificación, pudieran hacer una salida desde su campamento, antes de que él desplegara ordenadamente sus tropas.

[6] Colocó el *ágēma* de los Compañeros y la hiparquía de Clito en el flanco derecho, a continuación a los hipaspistas, y junto a éstos a los agrianes. A Perdicas lo colocó en el flanco izquierdo, al frente de su hiparquía y los batallones de los *peceteros* [193]. A los extremos de ambos flancos, y en dos grupos equilibrados, apostó a los arqueros. [7] Mientras Alejandro distribuía así sus tropas, se le presentaron la infantería y la caballería que había quedado en retaguardia. Separó a los jinetes y los mandó a ambos flancos, reforzando con la infantería el cierre de la falange, haciéndola así más compacta. Él mismo se puso al frente de la caballería del flanco derecho y emprendió el avance contra los carromatos del flanco izquierdo de los indios, pues por allí le parecía que el terreno era más accesible y la línea de carromatos menos nutrida.

23. Ὡς δὲ ἐπὶ τὴν ἵππον προσαγαγοῦσαν οὐκ ἐξέδραμον οἱ Ἰνδοὶ ἔξω τῶν ἁμαξῶν, ἀλλ᾽ ἐπιβεβηκότες αὐτῶν ἀφ᾽ ὑψηλοῦ ἠκροβολίζοντο, γνοὺς Ἀλέξανδρος ὅτι οὐκ εἴη τῶν ἱππέων τὸ ἔργον καταπηδήσας ἀπὸ τοῦ ἵππου πεζὸς ἐπῆγε τῶν πεζῶν τὴν φάλαγγα. [2] καὶ ἀπὸ μὲν τῶν πρώτων ἁμαξῶν οὐ χαλεπῶς ἐβιάσαντο οἱ Μακεδόνες τοὺς Ἰνδούς· πρὸ δὲ τῶν δευτέρων οἱ Ἰνδοὶ παραταξάμενοι ῥᾷον ἀπεμάχοντο, οἷα δὴ πυκνότεροί τε ἐφεστηκότες ἐλάττονι τῷ κύκλῳ καὶ τῶν Μακεδόνων οὐ κατ᾽ εὐρυχωρίαν ὡσαύτως προσαγόντων σφίσιν, ἐν ᾧ τάς τε πρώτας ἁμάξας ὑπεξῆγον καὶ κατὰ τὰ διαλείμματα αὐτῶν ὡς ἑκάστοις προὐχώρει ἀτάκτως προσέβαλλον· ἀλλὰ καὶ ἀπὸ τούτων ὅμως ἐξώσθησαν οἱ Ἰνδοὶ βιασθέντες πρὸς τῆς φάλαγγος. [3] οἱ δὲ οὐκέτι ἐπὶ τῶν τρίτων ἔμενον, ἀλλὰ ὡς τάχους εἶχον φυγῇ εἰς τὴν πόλιν κατεκλείσθησαν. καὶ Ἀλέξανδρος ταύτην μὲν τὴν ἡμέραν περιεστρατοπέδευσε τοῖς πεζοῖς τὴν πόλιν ὅσα γε ἠδυνήθη αὐτῷ περιβαλεῖν ἡ φάλαγξ· ἐπὶ πολὺ γὰρ ἐπέχον τὸ τεῖχος τῷ στρατοπέδῳ κυκλώσασθαι οὐ δυνατὸς ἐγένετο· [4] κατὰ δὲ τὰ διαλείποντα αὐτοῦ, ἵνα καὶ λίμνη οὐ μακρὰν τοῦ τείχους ἦν, τοὺς ἱππέας ἐπέταξεν ἐν κύκλῳ τῆς λίμνης, γνοὺς οὐ βαθεῖαν οὖσαν τὴν λίμνην καὶ ἅμα εἰκάσας ὅτι φοβεροὶ γενόμενοι οἱ Ἰνδοὶ ἀπὸ τῆς προτέρας ἥττης ἀπολείψουσι τῆς νυκτὸς τὴν πόλιν. [5] καὶ συνέβη οὕτως ὅπως εἴκασεν· ἀμφὶ γὰρ δευτέραν φυλακὴν ἐκπίπτοντες ἐκ τοῦ τείχους οἱ πολλοὶ αὐτῶν ἐνέκυρσαν ταῖς προφυλακαῖς τῶν ἱππέων· καὶ οἱ μὲν πρῶτοι αὐτῶν κατεκόπησαν πρὸς τῶν ἱππέων, οἱ δὲ ἐπὶ τούτοις αἰσθόμενοι ὅτι φυλάσσεται ἐν κύκλῳ ἡ λίμνη ἐς τὴν πόλιν αὖθις ἀνεχώρησαν.

[6] Ἀλέξανδρος δὲ χάρακί τε διπλῷ περιβάλλει ἵναπερ μὴ εἶργεν ἡ λίμνη τὴν πόλιν καὶ φυλακὰς ἐν κύκλῳ τῆς λίμνης ἀκριβεστέρας κατέστησεν. αὐτὸς δὲ μηχανὰς προσάγειν τῷ τείχει ἐπενόει, ὡς κατασείειν τὸ τεῖχος. αὐτομολήσαντες δὲ αὐτῷ τῶν ἐκ τῆς πόλεώς τινες φράζουσιν, ὅτι ἐν νῷ ἔχοιεν αὐτῆς ἐκείνης τῆς νυκτὸς ἐκπίπτειν ἐκ τῆς πόλεως οἱ Ἰνδοὶ κατὰ τὴν λίμνην, ἵναπερ τὸ ἐκλιπὲς ἦν τοῦ χάρακος. [7] ὁ δὲ Πτολεμαῖον τὸν Λάγου ἐπιτάττει ἐνταῦθα, τῶν τε ὑπασπιστῶν αὐτῷ δοὺς χιλιαρχίας τρεῖς καὶ τοὺς Ἀγριᾶνας ξύμπαντας καὶ μίαν τάξιν τῶν τοξοτῶν, ἀποδείξας τὸ χωρίον, ᾗπερ μάλιστα εἴκαζε βιάσεσθαι τοὺς βαρβάρους· σὺ δὲ ἐπειδὰν αἴσθῃ, ἔφη, βιαζομένους ταύτῃ, αὐτὸς μὲν ξὺν τῇ στρατιᾷ

23 Los indios no descendieron de sus carros al ser atacados por la caballería de Alejandro, sino que permanecieron en ellos, lanzando sus proyectiles desde su posición dominante. Alejandro se dio cuenta de que no era ésta empresa que pudiera solucionar la caballería; consecuentemente se apeó de su caballo e hizo avanzar a pie su falange de infantes. [2] Los macedonios desalojaron fácilmente a los indios de la primera línea de carromatos, pero delante de la segunda línea, colocados en orden, los indios conseguían defenderse con más facilidad al estar situados en una formación más compacta sobre un espacio circular más reducido.

Los macedonios no podían ahora acercárseles abiertamente, pues tenían que apartar los carros de primera fila y disparar entre ellos, según como cada cual avanzaba por su cuenta. Sin embargo los indios terminaron por ser desalojados también de esta línea por los soldados de Alejandro; [3] es más, no intentaron siquiera resistir en la tercera línea, sino que a todo correr se encerraron en la ciudad. En este día Alejandro acampó su infantería alrededor de la ciudad hasta donde el contingente de su falange se lo permitió, pues no le era posible rodearla por completo con su ejército, ya que el muro circunvalaba la ciudad a una distancia considerable. [4] En los intervalos libres situó su caballería, rodeando una laguna que allí había a poca distancia del muro. Supuso que, como la laguna no era muy profunda, los indios, atemorizados por su anterior derrota, intentarían abandonar la ciudad durante la noche, [5] cosa que ocurrió tal y como él había supuesto. En efecto, a la hora de la segunda guardia, un buen número de indios se descolgaron por el muro, yendo a toparse con los jinetes que Alejandro había apostado como centinelas en primera línea. Así, los primeros en descender fueron interceptados por la caballería, y los que venían detrás, al percatarse de que la laguna tenía apostados centinelas en todo su contorno, se volvieron nuevamente a la ciudad.

[6] Alejandro levantó una empalizada doble por donde la laguna no cerraba el cerco a la ciudad, y apostó una vigilancia más estricta a lo largo de la laguna. Pensaba incluso traer las máquinas de guerra para batir el muro, pero unos desertores de la ciudad le dijeron que sus habitantes tenían planeado salir aquella noche de la ciudad por la parte de la laguna que no estaba rodeada por la empalizada. [7] Situó a Tolomeo, el hijo de Lago, en aquel punto, asignándole tres quiliarquías de hipaspistas, todos los agrianes y un batallón de arqueros, indicándoles el punto exacto por donde era verosímil conjeturar que los bárbaros intentarían salir. Aún le dijo más: «Tan pronto como veas que los bárbaros intentan salir, habrás

εἴργειν τοὺς βαρβάρους τοῦ πρόσω, τὸν δὲ σαλπιγκτὴν κέλευε σημαίνειν· ὑμεῖς δέ, ἄνδρες ἡγεμόνες, ἐπειδὰν σημανθῇ, ξὺν τοῖς καθ᾽ αὑτοὺς ἕκαστοι ξυντεταγμένοι ἰέναι ἐπὶ τὸν θόρυβον, ἵνα ἂν ἡ σάλπιγξ παρακαλῇ. ἀποστατήσω δὲ οὐδὲ ἐγὼ τοῦ ἔργου.

24. Ὁ μὲν ταῦτα παρήγγειλεν· Πτολεμαῖος δὲ ἁμάξας τε ἐκ τῶν ἀπολελειμμένων ἐν τῇ πρώτῃ φυγῇ ἁμαξῶν ταύτῃ ξυναγαγὼν ὡς πλείστας κατέστησεν ἐγκαρσίας, ἵνα πολλὰ ἐν νυκτὶ τὰ ἄπροα φαίνηται τοῖς φεύγουσι, καὶ τοῦ χάρακος τοῦ κεκομμένου τε καὶ οὐ καταπηχθέντος συννῆσαι ἄλλῃ καὶ ἄλλῃ ἐκέλευσεν ἐν μέσῳ τῆς τε λίμνης καὶ τοῦ τείχους. καὶ ταῦτ᾽ αὐτῷ οἱ στρατιῶται ἐν τῇ νυκτὶ ἐξειργάσαντο. [2] ἤδη τε ἦν ἀμφὶ τετάρτην φυλακὴν καὶ οἱ βάρβαροι, καθάπερ ἐξηγγέλλετο Ἀλεξάνδρῳ, ἀνοίξαντες τὰς ὡς ἐπὶ τὴν λίμνην πύλας δρόμῳ ἐπ᾽ αὐτὴν ἐφέροντο. οὐ μὴν ἔλαθον τὰς ταύτῃ φυλακὰς οὐδὲ Πτολεμαῖον τὸν ἐπ᾽ αὐταῖς τεταγμένον, ἀλλὰ ἐν τούτῳ οἵ τε σαλπιγκταὶ ἐσήμαινον αὐτῷ καὶ αὐτὸς τὴν στρατιὰν ὡπλισμένην τε καὶ συντεταγμένην ἔχων ἐχώρει ἐπὶ τοὺς βαρβάρους. [3] τοῖς δὲ αἵ τε ἅμαξαι ἐμποδὼν ἦσαν καὶ ὁ χάραξ ἐν μέσῳ καταβεβλημένος· ὡς δὲ ἥ τε σάλπιγξ ἐφθέγξατο καὶ οἱ ἀμφὶ Πτολεμαῖον προσέκειντο αὐτοῖς τοὺς ἀεὶ ἐκπίπτοντας διὰ τῶν ἁμαξῶν κατακαίνοντες, ἐνταῦθα δὴ ἀποστρέφονται αὖθις ἐς τὴν πόλιν. καὶ ἀπέθανον αὐτῶν ἐν τῇ ἀποχωρήσει ἐς πεντακοσίους. [4] Ἐν τούτῳ δὲ καὶ Πῶρος ἀφίκετο τούς τε ὑπολοίπους ἐλέφαντας ἅμα οἷ ἄγων καὶ τῶν Ἰνδῶν ἐς πεντακισχιλίους, αἵ τε μηχαναὶ Ἀλεξάνδρῳ ξυμπεπηγμέναι ἦσαν καὶ προσήγοντο ἤδη τῷ τείχει. ἀλλὰ οἱ Μακεδόνες, πρὶν καὶ κατασεισθῆναί τι τοῦ τείχους, ὑπορύττοντές τε αὐτοὶ πλίνθινον ὂν τὸ τεῖχος καὶ τὰς κλίμακας ἐν κύκλῳ πάντῃ προσθέντες αἱροῦσι κατὰ κράτος τὴν πόλιν. [5] καὶ ἀποθνήσκουσι μὲν ἐν τῇ καταλήψει τῶν Ἰνδῶν ἐς μυρίους καὶ ἑπτακισχιλίους, ἑάλωσαν δὲ ὑπὲρ τὰς ἑπτὰ μυριάδας καὶ ἅρματα τριακόσια καὶ ἵπποι πεντακόσιοι. τῆς δὲ ξὺν Ἀλεξάνδρῳ στρατιᾶς ἀπέθανον μὲν ὀλίγον ἀποδέοντες τῶν ἑκατὸν ἐν τῇ πάσῃ πολιορκίᾳ, τραυματίαι δὲ οὐ κατὰ τὸ πλῆθος τῶν νεκρῶν ἐγένοντο, ἀλλὰ ὑπὲρ τοὺς χιλίους καὶ διακοσίους, καὶ ἐν τούτοις τῶν ἡγεμόνων ἄλλοι τε καὶ Λυσίμαχος ὁ σωματοφύλαξ. [6] Θάψας δὲ ὡς νόμος αὐτῷ τοὺς τελευτήσαντας Εὐμενῆ τὸν γραμματέα ἐκπέμπει ἐς τὰς δύο πόλεις

de impedirles con todas tus fuerzas que continúen, y darás la orden de que el trompeta dé la alarma. Entonces, vosotros, los demás jefes, una vez oigáis la señal, acudiréis cada cual con sus hombres hacia donde el estrépito de la trompeta os convoque. Ni yo mismo demoraré acudir a la cita.»

24 Esto fue lo que Alejandro ordenó. Tolomeo reunió los carromatos que habían quedado abandonados tras la primera derrota de los indios, y los cruzó en todas direcciones para que los enemigos encontraran en su huida durante la noche todo tipo de obstáculos. Ordenó igualmente que se volvieran a unir los trozos de empalizada que en diversas partes, entre la laguna y el muro, estaban cortadas y no se habían vuelto a fijar al suelo. Esta faena la terminaron sus hombres durante la noche.

[2] A eso del cambio de la cuarta guardia [194], los bárbaros, según habían anticipado los desertores a Alejandro, abrieron las puertas de la ciudad que daban a la laguna y corrieron hacia ella. Pero no pasaron inadvertidos a los guardias allí apostados, ni a Tolomeo, que estaba encargado de ellos. Los trompetas hicieron sonar la alarma y él mismo se lanzó con todo su ejército perfectamente pertrechado y en orden de combate contra los bárbaros. [3] Los carromatos que Tolomeo había cruzado en el camino obstaculizaban el paso a los bárbaros, que tampoco contaban con que la empalizada estuviera restaurada. Al oír el estrépito de la alarma y ver que los soldados de Tolomeo se les echaban encima golpeando a los que se tropezaban con los carros, se dieron la vuelta y se retiraron a la ciudad. Dejaron en su retirada unos quinientos hombres muertos.

[4] En esto, llegó Poro al frente de unos cinco mil indios y el resto de sus elefantes. Alejandro había ordenado ensamblar las máquinas de asalto, y estaban ya siendo aproximadas al muro; sin embargo, un puñado de macedonios, antes incluso de que el muro (que era de ladrillo) sufriera los embates de las máquinas, lo habían socavado y habían adosado por todas partes unas escaleras mediante las cuales consiguieron introducirse y apoderarse de la ciudad. [5] En el asalto a la ciudad murieron unos diecisiete mil indios y más de setenta mil fueron capturados, amén de trescientos carros y quinientos jinetes.

Del ejército de Alejandro perecieron algo menos de cien hombres durante todo el asedio. Mucho mayor que los muertos en proporción fue el número de heridos, que llegaron a mil doscientos, entre los cuales algunos jefes, así como Lisímaco, uno de los de su guardia personal.

[6] Alejandro sepultó según el ritual a los muertos en combate y a continuación despachó a Éumenes, su secretario [195], a las dos ciudades

τὰς ξυναφεστώσας τοῖς Σαγγάλοις δοὺς αὐτῷ τῶν ἱππέων ἐς τριακοσίους, φράσοντα [ς] τοῖς ἔχουσι τὰς πόλεις τῶν τε Σαγγάλων τὴν ἅλωσιν καὶ ὅτι αὐτοῖς οὐδὲν ἔσται χαλεπὸν <ἐξ> Ἀλεξάνδρου ὑπομένουσί τε καὶ δεχομένοις φιλίως Ἀλέξανδρον· οὐδὲ γὰρ οὐδὲ ἄλλοις τισὶ γενέσθαι τῶν αὐτονόμων Ἰνδῶν ὅσοι ἑκόντες σφᾶς ἐνέδοσαν. [7] οἱ δὲ (ἤδη γὰρ ἐξήγγελτο αὐτοῖς κατὰ κράτος ἑαλωκότα πρὸς Ἀλεξάνδρου τὰ Σάγγαλα) φοβεροὶ γενόμενοι ἔφευγον ἀπολιπόντες τὰς πόλεις. καὶ Ἀλέξανδρος, ἐπειδὴ ἐξηγγέλθη αὐτῶν ἡ φυγή, σπουδῇ ἐδίωκεν· ἀλλὰ οἱ πολλοὶ μὲν αὐτῶν ἔφθασαν ἀποφυγόντες, διὰ μακροῦ γὰρ ἡ δίωξις ἐγίγνετο, ὅσοι δὲ κατὰ τὴν ἀποχώρησιν ἀσθενείᾳ ὑπελείποντο, οὗτοι ἐγκαταληφθέντες πρὸς τῆς στρατιᾶς ἀπέθανον ἐς πεντακοσίους μάλιστα. [8] ὡς δὲ ἀπέγνω διώκειν τοῦ πρόσω τοὺς φεύγοντας, ἐπανελθὼν ἐς τὰ Σάγγαλα τὴν πόλιν μὲν κατέσκαψε, τὴν χώραν δὲ τῶν Ἰνδῶν τοῖς πάλαι μὲν αὐτονόμοις, τότε δὲ ἑκουσίως προσχωρήσασι προσέθηκεν. καὶ Πῶρον μὲν ξὺν τῇ δυνάμει τῇ ἀμφ᾽ αὐτὸν ἐκπέμπει ἐπὶ τὰς πόλεις αἳ προσκεχωρήκεσαν, φρουρὰς εἰσάξοντα εἰς αὐτάς, αὐτὸς δὲ ξὺν τῇ στρατιᾷ ἐπὶ τὸν Ὕφασιν ποταμὸν προὐχώρει, ὡς καὶ τοὺς ἐπέκεινα Ἰνδοὺς καταστρέψαιτο. οὐδὲ ἐφαίνετο αὐτῷ πέρας τι τοῦ πολέμου ἔστε ὑπελείπετό τι πολέμιον.

25. Τὰ δὲ δὴ πέραν τοῦ Ὑφάσιος εὐδαίμονά τε τὴν χώραν εἶναι ἐξηγγέλλετο καὶ ἀνθρώπους ἀγαθοὺς μὲν γῆς ἐργάτας, γενναίους δὲ τὰ πολέμια καὶ ἐς τὰ ἴδια δὲ σφῶν ἐν κόσμῳ πολιτεύοντας (πρὸς γὰρ τῶν ἀρίστων ἄρχεσθαι τοὺς πολλούς, τοὺς δὲ οὐδὲν ἔξω τοῦ ἐπιεικοῦς ἐξηγεῖσθαι), πλῆθός τε ἐλεφάντων εἶναι τοῖς ταύτῃ ἀνθρώποις πολύ τι ὑπὲρ τοὺς ἄλλους Ἰνδούς, καὶ μεγέθει μεγίστους καὶ ἀνδρείᾳ. [2] ταῦτα δὲ ἐξαγγελλόμενα Ἀλέξανδρον μὲν παρώξυνεν ἐς ἐπιθυμίαν τοῦ πρόσω ἰέναι· οἱ Μακεδόνες δὲ ἐξέκαμνον ἤδη ταῖς γνώμαις, πόνους τε ἐκ πόνων καὶ κινδύνους ἐκ κινδύνων ἐπαναιρούμενον ὁρῶντες τὸν βασιλέα· ξύλλογοί τε ἐγίγνοντο κατὰ τὸ στρατόπεδον τῶν μὲν τὰ σφέτερα ὀδυρομένων, ὅσοι ἐπιεικέστατοι, τῶν δὲ οὐκ ἀκολουθήσειν, οὐδ᾽ ἢν ἄγῃ Ἀλέξανδρος, ἀπισχυριζομένων. ταῦτα ὡς ἐπύθετο Ἀλέξανδρος, πρὶν καὶ ἐπὶ μεῖζον προελθεῖν τὴν ταραχὴν τοῖς στρατιώταις καὶ τὴν ἀθυμίαν, ξυγκαλέσας τοὺς ἡγεμόνας τῶν τάξεων ἔλεξεν ὧδε. [3] Ὁρῶν ὑμᾶς, ὦ ἄνδρες Μακεδόνες τε καὶ ξύμμαχοι, οὐχ

que se habían alzado contra Alejandro simultáneamente con Sangala. Le confió trescientos jinetes para que anunciaran a los responsables de estas dos ciudades que Sangala ya había caído en manos de Alejandro, y que nada tendrían que temer de éste si se entregaban y le acogían amistosamente, pues así había ocurrido anteriormente con los indios independientes que voluntariamente se le habían entregado [196]. [7] Mas éstos (que ya tenían noticias de que Alejandro había tomado por asalto la ciudad de Sangala) tuvieron miedo y se dieron a la fuga abandonando sus ciudades. Alejandro los persiguió tan pronto se enteró de ello, pero como su persecución se demoró hasta haberle llegado esta noticia, fueron mayoría los que se le escaparon al habérsele adelantado. Murieron, con todo, a manos de los soldados de Alejandro unos quinientos que por cansancio habían quedado rezagados en su huida. [8] Desistió Alejandro de perseguir por más tiempo a los fugitivos y regresó a Sangala, arrasando la ciudad y asignó todo este territorio a los indios que antes habían vivido independientes y que ahora se habían pasado voluntariamente al bando de Alejandro. Envió a Poro con todos sus hombres a las ciudades que se habían puesto de su parte con una guarnición para ellas. Mientras tanto él continuó su avance hacia el río Hífasis, para someter a los indios de aquella zona, ya que su intención era no poner fin a sus campañas mientras quedara un pueblo tan sólo que pudiera ser hostil.

Alejandro en el Hífasis. Malestar en el ejército.

25 Le habían llegado noticias a Alejandro de que el territorio de la otra orilla del Hífasis era una tierra próspera, de hombres laboriosos, nobles en la guerra, y que regían sus asuntos privados en buen orden. La mayoría de ellos vivían bajo regímenes aristocráticos, sin plantear sus gobernantes exigencias más allá de lo razonable. Estos pueblos tenían gran cantidad de elefantes, más incluso que los demás indios, mayores en tamaño y más valerosos. [2] Estas noticias no hicieron sino aumentar en Alejandro el deseo de proseguir sus conquistas. Sin embargo, los macedonios estaban ya fatigados y sin ánimos, viendo a su rey arrostrar esfuerzo tras esfuerzo y peligro tras peligro [197]. Por todo el campamento se fueron organizando reuniones de gente que se quejaban de su situación (precisamente la de mayor valía) con otros que afirmaban tajantemente que no proseguirían con Alejandro aunque él en persona se pusiera al frente de ellos. Al llegar a oídos de Alejandro información de todo esto, y para evitar que el malestar y el desánimo de sus soldados fuera a más, convocó a sus oficiales y les habló de la siguiente manera: [3] «Veo que vosotros [198], macedonios y aliados, ya no

ὁμοίᾳ ἔτι τῇ γνώμῃ ἑπομένους μοι ἐς τοὺς κινδύνους, ξυνήγαγον ἐς ταὐτό, ὡς ἢ πείσας ἄγειν τοῦ πρόσω ἢ πεισθεὶς ὀπίσω ἀποστρέφεσθαι. εἰ μὲν δὴ μεμπτοί εἰσιν ὑμῖν οἱ μέχρι δεῦρο πονηθέντες πόνοι καὶ αὐτὸς ἐγὼ ἡγούμενος, οὐδὲν ἔτι προὔργου λέγειν μοί ἐστιν. [4] εἰ δὲ Ἰωνία τε πρὸς ἡμῶν διὰ τούσδε τοὺς πόνους ἔχεται καὶ Ἑλλήσποντος καὶ Φρύγες ἀμφότεροι καὶ Καππαδόκαι καὶ Παφλαγόνες καὶ Λυδοὶ καὶ Κᾶρες καὶ Λύκιοι καὶ Παμφυλία δὲ καὶ Φοινίκη καὶ Αἴγυπτος ξὺν τῇ Λιβύῃ τῇ Ἑλληνικῇ καὶ Ἀραβίας ἔστιν ἃ καὶ Συρία ἥ τε κοίλη καὶ ἡ μέση τῶν ποταμῶν, [5] καὶ Βαβυλὼν δὲ ἔχεται καὶ τὸ Σουσίων ἔθνος καὶ Πέρσαι καὶ Μῆδοι καὶ ὅσων Πέρσαι καὶ Μῆδοι ἐπῆρχον, καὶ ὅσων δὲ οὐκ ἦρχον, τὰ ὑπὲρ τὰς Κασπίας πύλας, τὰ ἐπέκεινα τοῦ Καυκάσου, ὁ Τάναϊς, τὰ πρόσω ἔτι τοῦ Τανάϊδος, Βακτριανοί, Ὑρκάνιοι, ἡ θάλασσα ἡ Ὑρκανία, Σκύθας τε ἀνεστείλαμεν ἔστε ἐπὶ τὴν ἔρημον, ἐπὶ τούτοις μέντοι καὶ ὁ Ἰνδὸς ποταμὸς διὰ τῆς ἡμετέρας ῥεῖ, ὁ Ὑδάσπης διὰ τῆς ἡμετέρας, ὁ Ἀκεσίνης, ὁ Ὑδραώτης, τί ὀκνεῖτε καὶ τὸν Ὕφασιν καὶ τὰ ἐπέκεινα τοῦ Ὑφάσιος γένη προσθεῖναι τῇ ἡμετέρᾳ Μακεδόνων τε ἀρχῇ; ἢ δέδιτε μὴ δέξωνται ὑμᾶς ἔτι ἄλλοι βάρβαροι ἐπιόντας; [6] ὧν γε οἱ μὲν προσχωροῦσιν ἑκόντες, οἱ δὲ φεύγοντες ἁλίσκονται, οἱ δὲ ἀποφυγόντες τὴν χώραν ἡμῖν ἔρημον παραδιδόασιν, ἣ δὴ τοῖς ξυμμάχοις τε καὶ τοῖς ἑκοῦσι προσχωρήσασι προστίθεται.

26. Πέρας δὲ τῶν πόνων γενναίῳ μὲν ἀνδρὶ οὐδὲν δοκῶ ἔγωγε ὅτι μὴ αὐτοὺς τοὺς πόνους, ὅσοι αὐτῶν ἐς καλὰ ἔργα φέρουσιν. εἰ δέ τις καὶ αὐτῷ τῷ πολεμεῖν ποθεῖ ἀκοῦσαι ὅ τι περ ἔσται πέρας, μαθέτω ὅτι οὐ πολλὴ ἔτι ἡμῖν ἡ λοιπή ἐστιν ἔστε ἐπὶ ποταμόν τε Γάγγην καὶ τὴν ἑῴαν θάλασσαν· ταύτῃ δέ, λέγω ὑμῖν, ξυναφὴς φανεῖται ἡ Ὑρκανία θάλασσα· ἐκπεριέρχεται γὰρ γῆν πέρι πᾶσαν ἡ μεγάλη θάλασσα.

[2] καὶ ἐγὼ ἐπιδείξω Μακεδόσι τε καὶ τοῖς ξυμμάχοις τὸν μὲν Ἰνδικὸν κόλπον ξύρρουν ὄντα τῷ Περσικῷ, τὴν δὲ Ὑρκανίαν <θάλασσαν> τῷ Ἰνδικῷ· ἀπὸ δὲ τοῦ Περσικοῦ εἰς Λιβύην περιπλευσθήσεται στόλῳ ἡμετέρῳ τὰ μέχρι Ἡρακλέους Στηλῶν· ἀπὸ δὲ Στηλῶν ἡ ἐντὸς Λιβύη πᾶσα ἡμετέρα γίγνεται καὶ ἡ Ἀσία δὴ οὕτω πᾶσα, καὶ ὅροι τῆς ταύτῃ ἀρχῆς οὕσπερ καὶ τῆς γῆς ὅρους ὁ θεὸς ἐποίησε. [3] νῦν δὲ δὴ ἀποτρεπομένων πολλὰ μὲν μάχιμα ὑπολείπεται γένη ἐπέκεινα τοῦ Ὑφάσιος ἔστε ἐπὶ τὴν ἑῴαν θάλασσαν, πολλὰ δὲ ἀπὸ τούτων ἔτι ἐπὶ

compartís conmigo los riesgos y peligros con el mismo espíritu de antes, y es por esto por lo que os he convocado. Una de dos, o bien os convenzo de que hay que seguir adelante, o bien, si me convencéis, iniciamos en común el regreso. Si tenéis reproches que hacerme por los sufrimientos que habéis padecido, o queja contra mi persona al haberos guiado hasta aquí, no merece la pena que siga yo hablando. [4] Pero si resulta que como compensación por estas penalidades está en nuestras manos la Jonia, el Helesponto, ambas Frigias, Capadocia, Paflagonia, Lidia, Caria, Licia, Panfilia, Fenicia, Egipto con la Libia helenizada, parte de Arabia, Siria del Interior, Mesopotamia, [5] Babilonia, Susia, Persia, Media y los pueblos a estas dos últimas sometidos, y otros que no lo estaban, los territorios al otro lado de las Puertas del Caspio, los del otro lado del Cáucaso, el territorio más allá del Tanais, la Bactria, Hircania y el mar Hircanio; si hemos rechazado a los escitas hasta el desierto, si, a más de todo esto, el Indo fluye ahora por territorio bajo nuestro control, como el Hidaspes, Acesines e Hidraotes, ¿por qué dudáis en añadir a nuestro imperio macedonio los pueblos que viven al otro lado del Hífasis?

»¿Teméis acaso que os hagan frente esos otros pueblos bárbaros cuando vean que a ellos nos acercamos? [6] Seguro que algunos de ellos voluntariamente se pondrán de nuestra parte, mientras otros, en cambio, si optan por la huida serán capturados; finalmente, los que consigan escapar nos habrán dejado su país para nosotros, todo él deshabitado, y lo podremos anexionar a nuestras conquistas para asignarlo luego a nuestros aliados o a los que voluntariamente se hayan puesto de nuestra parte.

26 »Al esfuerzo de un hombre de espíritu noble no le asigno yo fin alguno que no sea el propio esfuerzo que nos lleva a las más hermosas hazañas. Ahora bien, si alguno de vosotros desea conocer cuál será el límite a nuestro incesante pelear, sepa ése que es poco lo que nos queda hasta llegar al río Ganges y el mar Oriental. Os aseguro que este mar está unido al mar Hircanio, pues el Gran Mar [199] rodea completamente la tierra.

[2] »A macedonios y aliados os demostraré que el golfo Índico se comunica con el golfo Pérsico, y el mar Hircanio [200] con el golfo índico. Desde el golfo Pérsico nuestra flota circunnavegará por Libia hasta llegar a las Columnas de Hércules. Toda la Libia a partir de las Columnas de Hércules será también posesión nuestra, al igual que toda el Asia y los límites de su imperio, límites que la divinidad fijó como el confín de todas las tierras.

[3] »En cambio, si ahora nos volvemos, serán muchos los pueblos aguerridos que quedarán entre el Hífasis y el mar Oriental, y también muy

τὴν Ὑρκανίαν ὡς ἐπὶ βορρᾶν ἄνεμον, καὶ τὰ Σκυθικὰ γένη οὐ πόρρω τούτων, ὥστε δέος μὴ ἀπελθόντων ὀπίσω καὶ τὰ νῦν κατεχόμενα οὐ βέβαια ὄντα ἐπαρθῇ πρὸς ἀπόστασιν πρὸς τῶν μήπω ἐχομένων. [4] καὶ τότε δὴ ἀνόνητοι ἡμῖν ἔσονται οἱ πολλοὶ πόνοι ἢ ἄλλων αὖθις ἐξ ἀρχῆς δεήσει πόνων τε καὶ κινδύνων. ἀλλὰ παραμείνατε, ἄνδρες Μακεδόνες καὶ ξύμμαχοι. πονούντων τοι καὶ κινδυνευόντων τὰ καλὰ ἔργα, καὶ ζῆν τε ξὺν ἀρετῇ ἡδὺ καὶ ἀποθνήσκειν κλέος ἀθάνατον ὑπολειπομένους.
[5] ἢ οὐκ ἴστε ὅτι ὁ πρόγονος ὁ ἡμέτερος οὐκ ἐν Τίρυνθι οὐδὲ Ἄργει, ἀλλ' οὐδὲ ἐν Πελοποννήσῳ ἢ Θήβαις μένων ἐς τοσόνδε κλέος ἦλθεν ὡς θεὸς ἐξ ἀνθρώπου γενέσθαι ἢ δοκεῖν; οὐ μὲν δὴ οὐδὲ Διονύσου, ἁβροτέρου τούτου θεοῦ ἢ καθ' Ἡρακλέα, ὀλίγοι πόνοι. ἀλλὰ ἡμεῖς γε καὶ ἐπέκεινα τῆς Νύσης ἀφίγμεθα καὶ ἡ Ἄορνος πέτρα ἡ τῷ Ἡρακλεῖ ἀνάλωτος πρὸς ἡμῶν ἔχεται. [6] ὑμεῖς δὲ καὶ τὰ ἔτι ὑπόλοιπα τῆς Ἀσίας πρόσθετε τοῖς ἤδη ἐκτημένοις καὶ τὰ ὀλίγα τοῖς πολλοῖς. ἐπεὶ καὶ ἡμῖν αὐτοῖς τί ἂν μέγα καὶ καλὸν κατεπέπρακτο, εἰ ἐν Μακεδονίᾳ καθήμενοι ἱκανὸν ἐποιούμεθα ἀπόνως τὴν οἰκείαν διασῴζειν, Θρᾷκας τοὺς ὁμόρους ἢ Ἰλλυριοὺς ἢ Τριβαλλοὺς ἢ καὶ τῶν Ἑλλήνων, ὅσοι οὐκ ἐπιτήδειοι ἐς τὰ ἡμέτερα, ἀναστέλλοντες; [7] Εἰ μὲν δὴ ὑμᾶς πονοῦντας καὶ κινδυνεύοντας αὐτὸς ἀπόνως καὶ ἀκινδύνως ἐξηγούμενος ἦγον, οὐκ ἀπεικότως ἂν προεκάμνετε ταῖς γνώμαις, τῶν μὲν πόνων μόνοις ὑμῖν μετόν, τὰ δὲ ἆθλα αὐτῶν ἄλλοις περιποιοῦντες· νῦν δὲ κοινοὶ μὲν ἡμῖν οἱ πόνοι, ἴσον δὲ μέτεστι τῶν κινδύνων, τὰ δὲ ἆθλα ἐν μέσῳ κεῖται ξύμπασιν. [8] ἥ τε χώρα ὑμετέρα καὶ ὑμεῖς αὐτῆς σατραπεύετε. καὶ τῶν χρημάτων τὸ μέρος νῦν τε ἐς ὑμᾶς τὸ πολὺ ἔρχεται καὶ ἐπειδὰν ἐπεξέλθωμεν τὴν Ἀσίαν, τότε οὐκ ἐμπλήσας μὰ Δί' ὑμᾶς, ἀλλὰ καὶ ὑπερβαλὼν ὅσα ἕκαστος ἐλπίζει ἀγαθὰ ἔσεσθαι τοὺς μὲν ἀπιέναι οἴκαδε ἐθέλοντας εἰς τὴν οἰκείαν ἀποπέμψω ἢ ἐπανάξω αὐτός, τοὺς δὲ αὐτοῦ μένοντας ζηλωτοὺς τοῖς ἀπερχομένοις ποιήσω.

27. Ταῦτα καὶ τοιαῦτα εἰπόντος Ἀλεξάνδρου πολὺν μὲν χρόνον σιωπὴ ἦν οὔτε ἀντιλέγειν τολμώντων πρὸς τὸν βασιλέα ἐκ τοῦ εὐθέος οὔτε

numerosos los que habitan desde el mar Oriental hasta el Hircanio, en dirección Norte, a más de los escitas (que no viven muy lejos de éstos), de suerte que es de temer que si nosotros nos volvemos de regreso a casa, incluso los pueblos que ahora están sumisos a nosotros, al no quedar consolidada nuestra permanencia, sean inducidos a la sublevación por esos otros pueblos sobre los que no tenemos control.
[4] Resultarán inútiles entonces las penalidades que hasta ahora hemos aguantado, y tendremos que volver a empezar desde el principio a sufrir penalidades y correr nuevos riesgos. ¡Permaneced conmigo, macedonios y aliados! »Bellas son las hazañas de los que se esfuerzan y arrostran los peligros. Hermoso es vivir con valor y dejar al morir una fama imperecedera.
[5] »¿Creéis acaso que nuestro antepasado [201] (de haber permanecido en Tirinto, en Argos, el Peloponeso y Tebas) habría alcanzado tan grande gloria entre los hombres hasta convertirse en dios, y ser tenido por tal, mortal como era? No fueron tampoco cosa de poca monta los trabajos de Dioniso, aun siendo un dios de mayor rango que Heracles. He aquí que nosotros hemos llegado hasta Nisa y hemos tomado la roca de Aornos, empresa que no pudo culminar el propio Heracles. [6]¡Añadid ahora a nuestras conquistas lo que nos queda, y que es sólo ya una parte del Asia. Habéis hecho lo más, nos queda lo menos! ¿Cómo diríamos haber llevado a cabo algo grande y hermoso si asentados en Macedonia nos hubiéramos dedicado sin gran esfuerzo y tranquilamente a defender nuestra patria de los vecinos tracios, de los ilirios o tribalos, conteniendo a los pueblos griegos que se mantienen hostiles a nuestros intereses?
[7] »Está bien; si mientras vosotros sufríais penalidades y corríais riesgos, yo, vuestro jefe, me hubiera mantenido al margen de riesgos y molestias, sería justo que os quejarais de que vuestro espíritu está fatigado; si sólo vosotros hubierais participado de los sufrimientos, mientras servíais los premios de lo conquistado a alguien ajeno a vosotros. Ahora bien, las penalidades han sido comunes para vosotros y para mí; por igual he participado yo en las acciones de mayor peligro, y también en común han quedado las ganancias. [8] En efecto, el territorio es vuestro, vosotros sois los sátrapas de las diversas regiones. La mayor parte de los tesoros han ido a parar a vuestras manos, y cuando hayamos arrasado todo el Asia, entonces, ¡por Zeus!, no digo que os saciaré, sino que con creces os daré mucho más de lo que cada cual pudiera esperar para sí; enviaré de regreso a casa a todo el que voluntariamente quiera volver, o tal vez yo mismo les acompañaré en el regreso; y los que prefieran quedarse aquí serán envidiados por los que se marchen.»

Discurso de Ceno.

27 Éstas y de este tenor fueron las palabras de Alejandro, tras lo cual se produjo un largo silencio, ya que nadie se atrevía a hablar abiertamente

ξυγχωρεῖν ἐθελόντων. ἐν δὲ τούτῳ πολλάκις μὲν Ἀλέξανδρος ἐκέλευε λέγειν τὸν βουλόμενον, εἰ δή τις τὰ ἐναντία τοῖς ὑπ᾽ αὐτοῦ λεχθεῖσι γιγνώσκει· ἔμενε δὲ καὶ ὣς ἐπὶ πολὺ ἡ σιωπή· ὀψὲ δέ ποτε θαρσήσας Κοῖνος ὁ Πολεμοκράτους ἔλεξε τοιάδε. [2] Ἐπειδὴ αὐτός, ὦ βασιλεῦ, οὐ κατὰ πρόσταγμα ἐθέλεις Μακεδόνων ἐξηγεῖσθαι, ἀλλὰ πείσας μὲν ἄξειν φῄς, πεισθεὶς δὲ οὐ βιάσεσθαι, οὐχ ὑπὲρ ἡμῶν τῶνδε ποιήσομαι ἐγὼ τοὺς λόγους, οἳ καὶ προτιμώμενοι τῶν ἄλλων καὶ τὰ ἆθλα τῶν πόνων οἱ πολλοὶ ἤδη κεκομισμένοι καὶ τῷ κρατιστεύειν παρά τοὺς ἄλλους πρόθυμοί σοι ἐς πάντα ἐσμέν, ἀλλ᾽ ὑπὲρ τῆς στρατιᾶς τῆς πολλῆς. [3] οὐδὲ ὑπὲρ ταύτης τὰ καθ᾽ ἡδονὴν ἐκείνοις ἐρῶ, ἀλλὰ ἃ νομίζω σύμφορά τέ σοι ἐς τὰ παρόντα καὶ ἐς τὰ μέλλοντα μάλιστα ἀσφαλῆ εἶναι. δίκαιος δέ εἰμι καθ᾽ ἡλικίαν τε μὴ ἀποκρύπτεσθαι τὰ δοκοῦντα βέλτιστα καὶ κατὰ τὴν ἐκ σοῦ μοι οὖσαν καὶ ἐς τοὺς ἄλλους ἀξίωσιν καὶ κατὰ τὴν ἐν τοῖς πόνοις τε καὶ κινδύνοις ἐς τόδε ἀπροφάσιστον τόλμαν. [4] ὅσῳ γάρ τοι πλεῖστα καὶ μέγιστα σοί τε ἡγουμένῳ καταπέπρακται καὶ τοῖς ἅμα σοὶ οἴκοθεν ὁρμηθεῖσι, τοσῷδε μᾶλλόν τι ξύμφορόν μοι δοκεῖ πέρας τι ἐπιθεῖναι τοῖς πόνοις καὶ κινδύνοις. αὐτὸς γάρ τοι ὁρᾷς, ὅσοι μὲν Μακεδόνων τε καὶ Ἑλλήνων ἅμα σοὶ ὡρμήθημεν, ὅσοι δὲ ὑπολελείμμεθα· [5] ὧν Θετταλοὺς μὲν ἀπὸ Βάκτρων εὐθὺς οὐ προθύμους ἔτι ἐς τοὺς πόνους αἰσθόμενος οἴκαδε, καλῶς ποιῶν, ἀπέπεμψας· τῶν δὲ ἄλλων Ἑλλήνων οἱ μὲν ἐν ταῖς πόλεσι ταῖς πρὸς σοῦ οἰκισθείσαις κατῳκισμένοι οὐδὲ οὗτοι πάντῃ ἑκόντες μένουσιν· οἱ δὲ ξυμπονοῦντές τε ἔτι καὶ ξυγκινδυνεύοντες, αὐτοί τε καὶ ἡ Μακεδονικὴ στρατιά, τοὺς μὲν ἐν ταῖς μάχαις ἀπολωλέκασιν, οἱ δὲ ἐκ τραυμάτων ἀπόμαχοι γεγενημένοι ἄλλοι ἄλλῃ τῆς Ἀσίας ὑπολελειμμένοι μένοι εἰσίν, [6] οἱ πλείους δὲ νόσῳ ἀπολώλασιν, ὀλίγοι δὲ ἐκ πολλῶν ὑπολείπονται, καὶ οὔτε τοῖς σώμασιν ἔτι ὡσαύτως ἐρρωμένοι, ταῖς τε γνώμαις πολὺ ἔτι μᾶλλον προκεκμηκότες. καὶ τούτοις ξύμπασιν πόθος μὲν γονέων ἐστίν, ὅσοις ἔτι σώζονται, πόθος δὲ γυναικῶν καὶ παίδων, πόθος δὲ δὴ τῆς γῆς αὐτῆς τῆς οἰκείας, ἣν ξὺν τῷ ἐκ σοῦ πορισθέντι σφίσιν κόσμῳ μεγάλοι τε ἀντὶ μικρῶν καὶ πλούσιοι ἐκ πενήτων ἀναστρέφοντες ξύγγνωστοί εἰσιν ἐπιδεῖν ποθοῦντες. [7] σὺ δὲ νῦν μὴ ἄγειν ἄκοντας· οὐδὲ γὰρ ὁμοίοις ἔτι χρήσῃ ἐς τοὺς κινδύνους, οἷς τὸ ἑκούσιον ἐν τοῖς

en presencia del Rey, aunque tampoco estaban dispuestos a condescender a sus intenciones. Repetidas veces invitó Alejandro a hablar a quien quisiera, si alguien tenía algo que exponer frente a los argumentos que él había barajado. Durante algún tiempo continuó el silencio, y sólo algo más tarde Ceno, el hijo de Polemócrato, se atrevió a hablar y dijo lo siguiente:

[2] «Ya que tú, Señor, prefieres gobernar a los macedonios no de un modo dictatorial, sino que afirmas que tú quieres que vayan a hacer cualquier cosa convencidos y no obligados a nada, voy a hablar, aunque no me refiera a los presentes. Nosotros, los aquí convocados, hemos recibido mayores honores que los demás, y hemos recogido la recompensa de nuestros esfuerzos, y por el mando que detentamos, en todo estamos más que nadie llenos de buena voluntad a tu persona; digo, pues, que no hablaré por nosotros, sino que me referiré a la mayor parte de los hombres de nuestro ejército. [3] Al hablar de ellos no diré lo que les pueda halagar, sino lo que creo que es conveniente para ti en el presente y lo que para el futuro puede traernos mayor seguridad. Justo es que por mi edad, por la estima que, gracias a ti, los demás sienten por mí, y mi incuestionable valor evidenciado en situaciones de peligro y riesgo, pueda exponer lo que a mi parecer es lo mejor.

[4] »Precisamente porque son muchas e importantes las hazañas alcanzadas bajo tu caudillaje y por los que contigo vinieron de Macedonia, por esto, me parece muy conveniente que nos fijemos un límite a nuestros trabajos y peligros: tú sabes bien cuántos macedonios y griegos partimos contigo, y cuántos somos los que quedamos. [5] Enviaste, y con muy buen criterio, a los tesalios a su patria estando en Bactria [202], porque su espíritu flaqueaba ante el peligro. Del resto de los griegos, a unos los has asentado en las ciudades que has ido fundando, aunque no todos están en ellas contentos; otros [203], que han participado junto con los macedonios en penalidades y peligros, o bien han muerto en el combate, o, inútiles para la guerra, han quedado heridos en diversos puntos de Asia.

[6] Mayoría han sido los que murieron víctimas de enfermedades, y de muchos, pocos son los que sobreviven, y aun éstos no tienen ya fuerzas en sus cuerpos, y están aún más fatigados de espíritu. En todos ellos hay nostalgia por sus padres (quienes aún los tienen vivos), nostalgia por sus mujeres e hijos, nostalgia ya, incluso, por su patria que ansian, y es comprensible, volver a ver, acompañados de la riqueza que de ti mismo esperan, hombres importantes a su regreso quienes eran de humilde familia, y ricos ahora los que salieron totalmente pobres.

[7] »No seas el caudillo de gentes que no van de buen grado, pues no te seguirán al peligro con el mismo espíritu de antes, ya que les falta el gusto

ἀγῶσιν ἀπέσται· ἐπανελθὼν δὲ αὐτός [τε], εἰ δοκεῖ, ἐς τὴν οἰκ<ε>ίαν καὶ τὴν μητέρα τὴν σαυτοῦ ἰδὼν καὶ τῶν Ἑλλήνων καταστησάμενος καὶ τὰς νίκας ταύτας τὰς πολλὰς καὶ μεγάλας ἐς τὸν πατρῷον οἶκον κομίσας οὕτω δὴ ἐξ ἀρχῆς ἄλλον στόλον στέλλεσθαι, εἰ μὲν βούλει, ἐπ᾽ αὐτὰ ταῦτα τὰ πρὸς τὴν ἕω ᾠκισμένα Ἰνδῶν γένη, εἰ δὲ βούλει, ἐς τὸν Εὔξεινον πόντον, εἰ δέ, ἐπὶ Καρχηδόνα καὶ τὰ ἐπέκεινα Καρχηδονίων τῆς Λιβύης. ταῦτα δὲ σὸν ἤδη ἐξηγεῖσθαι. [8] ἕψονται δέ σοι ἄλλοι Μακεδόνες καὶ ἄλλοι Ἕλληνες, νέοι τε ἀντὶ γερόντων καὶ ἀκμῆτες ἀντὶ κεκμηκότων, καὶ οἷς τὰ τοῦ πολέμου διὰ τὸ ἀπείρατον ἔς τε τὸ παραυτίκα οὐ φοβερὰ καὶ κατὰ τὴν τοῦ μέλλοντος ἐλπίδα ἐν σπουδῇ ἔσται· οὓς καὶ ταύτῃ ἔτι προθυμότερον ἀκολουθήσειν σοι εἰκός, ὁρῶντας τοὺς πρότερον ξυμπονήσαντάς τε καὶ ξυγκινδυνεύσαντας ἐς τὰ σφέτερα ἤδη ἐπανεληλυθότας, πλουσίους τε ἀντὶ πενήτων καὶ ἀντὶ ἀφανῶν τῶν πάλαι εὐκλεεῖς. [9] καλὸν δέ, ὦ βασιλεῦ, εἴπερ τι καὶ ἄλλο, καὶ ἡ ἐν τῷ εὐτυχεῖν σωφροσύνη. σοὶ γὰρ αὐτῷ ἡγουμένῳ καὶ στρατιὰν τοιαύτην ἄγοντι ἐκ μὲν πολεμίων δέος οὐδέν, τὰ δὲ ἐκ τοῦ δαιμονίου ἀδόκητά τε καὶ ταύτῃ καὶ ἀφύλακτα τοῖς ἀνθρώποις ἐστί.

28. Τοιαῦτα εἰπόντος τοῦ Κοίνου θόρυβον γενέσθαι ἐκ τῶν παρόντων ἐπὶ τοῖς λόγοις· πολλοῖς δὲ δὴ καὶ δάκρυα προχυθέντα ἔτι μᾶλλον δηλῶσαι τό τε ἀκούσιον τῆς γνώμης ἐς τοὺς πρόσω κινδύνους καὶ τὸ καθ᾽ ἡδονήν σφισιν εἶναι τὴν ἀποχώρησιν. Ἀλέξανδρος δὲ τότε μὲν ἀχθεσθεὶς τοῦ τε Κοίνου τῇ παρρησίᾳ καὶ τῷ ὄκνῳ τῶν ἄλλων ἡγεμόνων διέλυσε τὸν ξύλλογον· [2] ἐς δὲ τὴν ὑστεραίαν ξυγκαλέσας αὖθις ξὺν ὀργῇ τοὺς αὐτοὺς αὐτὸς μὲν ἰέναι ἔφη τοῦ πρόσω, βιάσεσθαι δὲ οὐδένα ἄκοντα Μακεδόνων ξυνέπεσθαι· ἕξειν γὰρ τοὺς ἀκολουθήσοντας τῷ βασιλεῖ σφῶν ἑκόντας· τοῖς δὲ καὶ ἀπιέναι οἴκαδε ἐθέλουσιν ὑπάρχειν ἀπιέναι καὶ ἐξαγγέλλειν τοῖς οἰκείοις, ὅτι τὸν βασιλέα σφῶν ἐν μέσοις τοῖς πολεμίοις ἐπανήκουσιν ἀπολιπόντες.

[3] ταῦτα εἰπόντα ἀπελθεῖν ἐς τὴν σκηνὴν μηδέ τινα τῶν ἑταίρων προσέσθαι αὐτῆς τε ἐκείνης τῆς ἡμέρας καὶ ἐς τὴν τρίτην ἔτι ἀπ᾽ ἐκείνης, ὑπομένοντα, εἰ δή τις τροπὴ ταῖς γνώμαις τῶν Μακεδόνων τε καὶ ξυμμάχων, οἷα δὴ ἐν ὄχλῳ στρατιωτῶν τὰ πολλὰ φιλεῖ γίγνεσθαι, ἐμπεσοῦσα εὐπειθεστέρους παρέξει αὐτούς. [4] ὡς δὲ σιγὴ αὖ πολλὴ <ἦν> ἀνὰ τὸ στρατόπεδον καὶ ἀχθόμενοι μὲν τῇ ὀργῇ αὐτοῦ δῆλοι

por el combate. De regreso tú a tu patria, si te parece, verás a tu madre, pondrás en orden los asuntos de los griegos, llevando a tu noble casa tantas y tan grandes victorias, y así podrás emprender nuevamente otra expedición, si así quieres, contra estos mismos pueblos de la India oriental; y si no, hacia el mar Euxino, o bien contra Cartago y el territorio de Libia más allá de Cartago. [8] Te será posible emprender esta nueva empresa en la que irán contigo otros macedonios y griegos, jóvenes en vez de éstos ya viejos, tropas de refresco en vez de éstas agotadas, gentes a quienes las penalidades de la guerra, por no haberlas vivido, no les espantarán, y que serán en extremo diligentes por sus esperanzas de un mejor futuro. Hombres que te seguirán, como es natural, con mayores ánimos al ver que quienes antes de ellos se esforzaron y lucharon han vuelto a casa ricos en vez de pobres, y famosos a cambio de su antiguo anonimato.

[9] »Hermosa, ¡Oh Rey! sobre toda otra cosa es la prudencia en los momentos de éxito. Cuando marchas al frente de tus tropas no hay enemigo que te pueda infundir miedo, pero los hombres están expuestos a los cambios del destino, vienen éstos cuando menos se esperan y por eso es más difícil prevenirse contra ellos.»

Alejandro se decide por el regreso.

28 A estas palabras de Ceno siguió un silencio absoluto por parte de los presentes; a muchos se les saltaron las lágrimas, manifestando así su reluctancia a seguir con los peligros de la guerra y lo grato que les resultaría el regreso. Alejandro, sin embargo, enfurecido por la libertad con que Ceno había hablado, y por la abulia de los demás jefes, suspendió la reunión. [2] Al día siguiente los volvió a convocar para decirles, todo irritado, que él iba a continuar la expedición, aunque no obligaría a ello a ningún macedonio que no quisiera acompañarle Ya habría quienes, de buen grado, quisieran acompañar a su Rey. Respecto a los que desearan volver a casa, podían hacerlo cuando quisieran, y que dijeran a sus paisanos que estaban allí de vuelta tras haber abandonado a su rey en medio de territorios enemigos.

[3] Tras echarles esto en cara, Alejandro se volvió a su tienda, y no permitió que ninguno de los Compañeros entrara en ella durante tres días. Aguardaba a ver si los macedonios o aliados cambiaban de parecer, como suele ocurrir entre los soldados, que se vuelven luego mucho mejor dispuestos.

[4] Pero el silencio se mantenía en todo el campamento, y aunque se veía a los soldados apesadumbrados por la irritación de su jefe,

ἦσαν, οὐ μὴν μεταβαλλόμενοί γε ὑπ᾽ αὐτῆς, ἐνταῦθα δὴ λέγει Πτολεμαῖος ὁ Λάγου, ὅτι ἐπὶ τῇ διαβάσει οὐδὲν μεῖον ἐθύετο, θυομένῳ δὲ οὐκ ἐγίνετο αὐτῷ τὰ ἱερά. [5] τότε δὴ τοὺς πρεσβυτάτους τε τῶν ἑταίρων καὶ τοὺς μάλιστα ἐπιτηδείους αὐτῷ συναγαγών, ὡς πάντα ἐς τὴν ὀπίσω ἀναχώρησιν αὐτῷ ἔφερεν, ἐκφαίνει ἐς τὴν στρατιάν, ὅτι ἔγνωσται ὀπίσω ἀποστρέφειν.

29. Οἱ δὲ ἐβόων τε οἷα ἂν ὄχλος ξυμμιγὴς χαίρων βοήσειε καὶ ἐδάκρυον οἱ πολλοὶ αὐτῶν· οἱ δὲ καὶ τῇ σκηνῇ τῇ βασιλικῇ πελάζοντες ηὔχοντο Ἀλεξάνδρῳ πολλὰ καὶ ἀγαθά, ὅτι πρὸς σφῶν μόνων νικηθῆναι ἠνέσχετο. ἔνθα δὴ διελὼν κατὰ τάξεις τὴν στρατιὰν δώδεκα βωμοὺς κατασκευάζειν προστάττει, ὕψος μὲν κατὰ τοὺς μεγίστους πύργους, εὖρος δὲ μείζονας ἔτι ἢ κατὰ πύργους, χαριστήρια τοῖς θεοῖς τοῖς ἐς τοσόνδε ἀγαγοῦσιν αὐτὸν νικῶντα καὶ μνημεῖα τῶν αὑτοῦ πόνων.
[2] ὡς δὲ κατεσκευασμένοι αὐτῷ οἱ βωμοὶ ἦσαν, θύει δὴ ἐπ᾽ αὐτῶν ὡς νόμος καὶ ἀγῶνα ποιεῖ γυμνικόν τε καὶ ἱππικόν. καὶ τὴν μὲν χώραν τὴν μέχρι τοῦ Ὑφάσιος ποταμοῦ Πώρῳ ἄρχειν προσέθηκεν, αὐτὸς δὲ ἐπὶ τὸν Ὑδραώτην ἀνέστρεφε. διαβὰς δὲ τὸν Ὑδραώτην, ἐπὶ τὸν Ἀκεσίνην αὖ ἐπανῄει ὀπίσω. [3] καὶ ἐνταῦθα καταλαμβάνει τὴν πόλιν ἐξῳκοδομημένην, ἥντινα Ἡφαιστίων αὐτῷ ἐκτειχίσαι ἐτάχθη· καὶ ἐς ταύτην ξυνοικίσας τῶν τε προσχώρων ὅσοι ἐθελονταὶ κατῳκίζοντο καὶ τῶν μισθοφόρων ὅ τι περ ἀπόμαχον, αὐτὸς τὰ ἐπὶ τῷ κατάπλῳ παρεσκευάζετο τῷ ἐς τὴν μεγάλην θάλασσαν. [4] Ἐν τούτῳ δὲ ἀφίκοντο πρὸς αὐτὸν Ἀρσάκης τε ὁ τῆς ὁμόρου Ἀβισάρῃ χώρας ὕπαρχος καὶ ὁ ἀδελφὸς Ἀβισάρου καὶ οἱ ἄλλοι οἰκεῖοι, δῶρά τε κομίζοντες ἃ μέγιστα παρ᾽ Ἰνδοῖς καὶ τοὺς παρ᾽ Ἀβισάρου ἐλέφαντας, ἀριθμὸν ἐς τριάκοντα· Ἀβισάρην γὰρ νόσῳ ἀδύνατον γενέσθαι ἐλθεῖν. ξυνέβαινον δὲ τούτοις καὶ οἱ παρὰ Ἀλεξάνδρου ἐκπεμφθέντες πρέσβεις πρὸς Ἀβισάρην.
[5] καὶ ταῦτα οὐ χαλεπῶς πιστεύσας οὕτως ἔχειν Ἀβισάρῃ τε τῆς αὑτοῦ χώρας σατραπεύειν ἔδωκεν καὶ Ἀρσάκην τῇ Ἀβισάρου ἐπικρατείᾳ προσέθηκεν· καὶ φόρους οὕστινας ἀποίσουσι τάξας θύει αὖ καὶ ἐπὶ τῷ Ἀκεσίνῃ ποταμῷ. καὶ τὸν Ἀκεσίνην αὖ διαβὰς ἐπὶ τὸν Ὑδάσπην ἧκεν, ἵνα καὶ τῶν πόλεων τῆς τε Νικαίας καὶ τῶν Βουκεφάλων ὅσα πρὸς τῶν ὄμβρων πεπονηκότα ἦν ξὺν τῇ στρατιᾷ ἐπεσκεύασε καὶ τὰ ἄλλα τὰ κατὰ τὴν χώραν ἐκόσμει.

no querían condescender por ello. Nos cuenta Tolomeo, hijo de Lago, que Alejandro no dejó de sacrificar, pese a todo, para preparar la travesía del río, pero las víctimas no le resultaron propicias. [5] Convocó entonces a los Compañeros de mayor edad y a los que gozaban de su mayor consideración, y en vista de que todo se manifestaba en pro de la retirada, hizo anunciar al ejército su firme decisión de volverse a casa.

29 Los soldados gritaban como una multitud que ha recibido una gran alegría, y muchos de ellos incluso lloraban. Otros se acercaron a la tienda de Alejandro, deseándole toda clase de venturas, ya que había sabido ser derrotado exclusivamente por sus hombres.
Separó Alejandro por batallones su ejército, y mandó que se erigieran doce altares, más altos que las más altas torres, y también anchos como una torre, en acción de gracias a los dioses que hasta este punto le habían conducido invicto, y como recuerdo de las penalidades sufridas [204].
[2] Una vez preparados los altares, celebró sacrificios según el ritual, así como un certamen gimnástico e hípico. Asignó a Poro todo el territorio que llega hasta el río Hífasis, mientras él se puso en marcha hacia el Hidraotes. Cruzó el Hidraotes y volvió al Acesines, [3] donde encontró ya construida la ciudad cuya fortificación había encargado a Hefestión. Asentó en ella a algunas tribus vecinas que se lo habían pedido, así como a un grupo de mercenarios inútiles ya para la guerra; mientras tanto él hizo los preparativos para el regreso por el Gran Mar.
[4] En esto, se presentaron ante él Arsaces, gobernador del territorio vecino de Abisares, y el hermano de Abisares y otros familiares, trayéndole los regalos que los indios más aprecian, así como los elefantes de Abisares (unos treinta animales), excusando a Abisares que no había podido venir por razones de salud. También les acompañaban los embajadores que Alejandro había enviado a Abisares. [5] Convencido Alejandro de que todo era como se le decía, nombró a Abisares sátrapa de su territorio, designando a Arsaces miembro de la administración de Abisares. Después de fijarles los tributos a satisfacer, sacrificó de nuevo al río Acesines. Lo atravesó y acto seguido se dirigió al río Hidaspes, donde reconstruyó con la ayuda de sus tropas parte de las ciudades de Nicea y Bucéfala, que habían sufrido destrozos por las fuertes lluvias caídas, al tiempo que ordenaba los asuntos de la región.

LIBRO VI

SINOPSIS

CAPÍTULOS:

1. Preparativos para bajar por el Hidaspes río abajo.
2. Muerte de Ceno.
3-4. Río abajo.
5-6. En la confluencia del Hidraotes-Acesines.
7-9. Lucha contra los malios.
10. Alejandro resulta herido.
11. Masacre de los malios.
12. Rumor de que Alejandro ha muerto.
13-16. Alejandro regresa al campamento.
17-18. Pátala, en la desembocadura del Indo.
19. Los macedonios extrañados ante el fenómeno de las mareas.
20-21. De nuevo en Pátala.
22. Gadrosia.
23. Penurias en Gadrosia.
24. Polvo, sudor y hierro… Alejandro cabalga.
25. Una nueva catástrofe.
26. Un verdadero jefe.
27. Se reúne en Carmania con Crátero.
28. Reencuentro Nearco-Alejandro.
29. La tumba de Ciro en Pasargada

1. Ἀλέξανδρος δέ, ἐπειδὴ παρεσκευάσθησαν αὐτῷ ἐπὶ τοῦ Ὑδάσπου ταῖς ὄχθαις πολλαὶ μὲν τριακόντοροι καὶ ἡμιόλιαι, πολλὰ δὲ καὶ ἱππαγωγὰ πλοῖα καὶ ἄλλα ὅσα ἐς παρακομιδὴν στρατιᾶς ποταμῷ εὔπορα, ἔγνω καταπλεῖν κατὰ τὸν Ὑδάσπην ὡς ἐπὶ τὴν μεγάλην θάλασσαν. [2] πρότερον μέν γε ἐν τῷ Ἰνδῷ ποταμῷ κροκοδείλους ἰδών, μόνῳ τῶν ἄλλων ποταμῶν πλὴν Νείλου, πρὸς δὲ ταῖς ὄχθαις τοῦ Ἀκεσίνου κυάμους πεφυκότας ὁποίους ἡ γῆ ἐκφέρει ἡ Αἰγυπτία, καὶ [ὁ] ἀκούσας ὅτι ὁ Ἀκεσίνης ἐμβάλλει ἐς τὸν Ἰνδόν, ἔδοξεν ἐξευρηκέναι τοῦ Νείλου τὰς ἀρχάς, [3] ὡς τὸν Νεῖλον ἐνθένδε ποθὲν ἐξ Ἰνδῶν ἀνίσχοντα καὶ δι᾽ ἐρήμου πολλῆς γῆς ῥέοντα καὶ ταύτῃ ἀπολλύοντα τὸν Ἰνδὸν τὸ ὄνομα, ἔπειτα, ὁπόθεν ἄρχεται διὰ τῆς οἰκουμένης χώρας ῥεῖν, Νεῖλον ἤδη πρὸς Αἰθιόπων τε τῶν ταύτῃ καὶ Αἰγυπτίων καλούμενον <ἢ>,[I] ὡς Ὅμηρος ἐποίησεν, ἐπώνυμον τῆς Αἰγύπτου Αἴγυπτον, οὕτω δὴ ἐσδιδόναι ἐς τὴν ἐντὸς θάλασσαν.

[4] καὶ δὴ καὶ πρὸς Ὀλυμπιάδα γράφοντα ὑπὲρ τῶν Ἰνδῶν τῆς γῆς ἄλλα τε γράψαι καὶ ὅτι δοκοίη αὐτῷ ἐξευρηκέναι τοῦ Νείλου τὰς πηγάς, μικροῖς δή τισι καὶ φαύλοις ὑπὲρ τῶν τηλικούτων τεκμαιρόμενον. [5] ἐπεὶ μέντοι ἀτρεκέστερον ἐξήλεγξε τὰ ἀμφὶ τῷ ποταμῷ τῷ Ἰνδῷ, οὕτω δὴ μαθεῖν παρὰ τῶν ἐπιχωρίων τὸν μὲν Ὑδάσπην τῷ Ἀκεσίνῃ, τὸν Ἀκεσίνην δὲ τῷ Ἰνδῷ τό τε ὕδωρ ξυμβάλλοντας καὶ τῷ ὀνόματι ξυγχωροῦντας, τὸν Ἰνδὸν δὲ ἐκδιδόντα ἤδη ἐς τὴν μεγάλην θάλασσαν, δίστομον τὸν Ἰνδὸν ὄντα, οὐδέ<ν> τι αὐτῷ προσῆκον τῆς γῆς τῆς Αἰγυπτίας· τηνικαῦτα δὲ τῆς ἐπιστολῆς τῆς πρὸς τὴν μητέρα τοῦτο <τὸ> ἀμφὶ τῷ Νείλῳ γραφὲν ἀφελεῖν. [6] καὶ τὸν κατάπλουν τὸν κατὰ τοὺς ποταμοὺς ἔστε ἐπὶ τὴν μεγάλην θάλασσαν ἐπινοοῦντα παρασκευασθῆναί οἱ ἐπὶ τῷδε κελεῦσαι τὰς ναῦς. αἱ δὲ ὑπηρεσίαι αὐτῷ ἐς τὰς ναῦς ξυνεπληρώθησαν ἐκ τῶν ξυνεπομένων τῇ στρατιᾷ Φοινίκων καὶ Κυπρίων καὶ Καρῶν καὶ Αἰγυπτίων.

2. Ἐν δὲ τούτῳ Κοῖνος μὲν ἐν τοῖς πιστοτάτοις Ἀλεξάνδρῳ ὢν τῶν ἑταίρων νόσῳ τελευτᾷ καὶ τοῦτον θάπτει ἐκ τῶν παρόντων

[I] Roos inserta ἤ, cf. v 6 , 5 .

Preparativos para bajar por el Hidaspes río abajo.

1 Tomó ahora Alejandro la decisión de dirigirse al Gran Mar, siguiendo el curso descendente del Hidaspes. Contaba para ello con un buen número de triacóntoros y naves hemiolias surtas en las aguas del Hidaspes, a más de otras naves en las que podía transportar los animales, y aun de otras muy bien equipadas para que sus hombres cruzaran cómodamente el río. [2] Alejandro no había encontrado cocodrilos en ningún río, excepto ahora en el Indo (aparte de los que ya viera en las tierras del Nilo [205]), y también había observado ahora que en las orillas del Acesines crecen una habas como las de Egipto; además, como había oído que el Acesines desemboca en el Indo, creyó por todos estos indicios haber descubierto las fuentes del Nilo [206]. [3] Creyó que el Nilo nacía por aquí, en la India, y que luego atravesaba una gran zona desértica, donde dejaba de conocérsele con el nombre de Indo, y que algo más tarde (antes de desembocar en el mar Interior [207]), cuando volvía a regar territorio habitado, recibía de los etíopes y de los egipcios el nombre de Nilo, y que por eso Homero lo denominó en sus versos río Egipto, epónimo del país [208]. Y entonces ya desembocaba en el mar Interior.

[4] Es más, en una carta [209] a su madre Olimpíade decía, entre otras cosas referentes a la India, que creía haber descubierto las fuentes del Nilo, aunque, como se ve, hizo sus conjeturas basándose en indicios escasos y débiles a propósito de una cuestión de gran monta como era ésta. [5] Más tarde, una vez que examinó estos asuntos con mayor espíritu crítico, se informó por los habitantes del lugar [210] que el Hidaspes desemboca en el Acesines, y que éste es a su vez un afluente del Indo, y que entonces ambos confunden sus nombres. Supo, por fin, que el Indo desemboca en el Gran Mar, abriéndose en dos brazos en su desembocadura, y que el Indo no tiene relación alguna con Egipto. Informado mejor de la realidad, suprimió de la carta a su madre lo que antes había escrito sobre el Nilo.

[6] El caso es que ahora tenía intención de bajar por los ríos hasta desembocar en el Gran Mar, y para ello ordenó que las naves estuvieran listas y dispuestas para zarpar a esta singladura. Componían su marinería los fenicios, chipriotas, carios y egipcios miembros de su expedición.

Muerte de Ceno.

2 Por este tiempo enfermó y murió Ceno, uno de los Compañeros más leales a Alejandro. Preparó éste su entierro y su funeral con todo el boato

μεγαλοπρεπῶς. αὐτὸς δὲ ξυναγαγὼν τούς τε ἑταίρους καὶ ὅσοι Ἰνδῶν πρέσβεις παρ᾽ αὐτὸν ἀφιγμένοι ἦσαν βασιλέα μὲν τῆς ἑαλωκυίας ἤδη Ἰνδῶν γῆς ἀπέδειξε Πῶρον, ἑπτὰ μὲν ἐθνῶν τῶν ξυμπάντων, πόλεων ἐν τοῖς ἔθνεσιν ὑπὲρ τὰς δισχιλίας. τὴν στρατιὰν δὲ διένειμεν ὧδε·

[2] αὐτὸς μὲν τούς ὑπασπιστάς τε ἅμα οἷ ξύμπαντας ἐπὶ τὰς ναῦς ἀνεβίβασε καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας καὶ τὸ ἄγημα τῶν ἱππέων. Κρατερὸς δὲ αὐτῷ μοῖράν τε τῶν πεζῶν καὶ τῶν ἱππέων παρὰ τὴν ὄχθην τοῦ Ὑδάσπου τὴν ἐν δεξιᾷ ἦγεν· κατὰ δὲ τὴν ἑτέραν ὄχθην τὸ πλεῖστόν τε καὶ κράτιστον τῆς στρατιᾶς καὶ τοὺς ἐλέφαντας Ἡφαιστίων προὐχώρει ἄγων, ἤδη ὄντας ἐς διακοσίους· τούτοις δὲ ἦν παρηγγελμένον ὡς τάχιστα ἄγειν ἵναπερ τὰ Σωπείθου βασίλεια.

[3] Φιλίππῳ δὲ τῷ σατράπῃ τῆς ἐπέκεινα τοῦ Ἰνδοῦ ὡς ἐπὶ Βακτρίους γῆς διαλιπόντι τρεῖς ἡμέρας παρήγγελτο ἕπεσθαι ξὺν τοῖς ἀμφ᾽ αὐτόν. τοὺς ἱππέας δὲ τοὺς Νυσαίους ὀπίσω ἀποπέμπει ἐς τὴν Νῦσαν. τοῦ μὲν δὴ ναυτικοῦ παντὸς Νέαρχος αὐτῷ ἐξηγεῖτο, τῆς δὲ αὐτοῦ νεὼς κυβερνήτης <ἦν> Ὀνησίκριτος, ὃς ἐν τῇ ξυγγραφῇ, ἥντινα ὑπὲρ Ἀλεξάνδρου ξυνέγραψε, καὶ τοῦτο ἐψεύσατο, ναύαρχον ἑαυτὸν εἶναι γράψας, κυβερνήτην ὄντα.

[4] ἦν δὲ τὸ ξύμπαν πλῆθος τῶν νεῶν, ὡς λέγει Πτολεμαῖος ὁ Λάγου, ᾧ μάλιστα ἐγὼ ἕπομαι, τριακόντοροι μὲν ἐς ὀγδοήκοντα, τὰ δὲ πάντα πλοῖα σὺν τοῖς ἱππαγωγοῖς τε καὶ κερκούροις καὶ ὅσα ἄλλα ποτάμια ἢ τῶν πάλαι πλεόντων κατὰ τοὺς ποταμοὺς ἢ ἐν τῷ τότε ποιηθέντων οὐ πολὺ ἀποδέοντα τῶν δισχιλίων.

3. Ὡς δὲ ξύμπαντα αὐτῷ παρεσκεύαστο, ὑπὸ τὴν ἕω ὁ μὲν στρατὸς ἐπέβαινε τῶν νεῶν, αὐτὸς δὲ ἔθυε τοῖς θεοῖς ὡς νόμος καὶ τῷ ποταμῷ Ὑδάσπῃ ὅπως οἱ μάντεις ἐξηγοῦντο. καὶ ἐπιβὰς τῆς νεὼς ἀπὸ τῆς πρῴρας ἐκ χρυσῆς φιάλης ἔσπενδεν ἐς τὸν ποταμόν, τόν τε Ἀκεσίνην ξυνεπικαλούμενος τῷ Ὑδάσπῃ, ὅντινα μέγιστον αὖ τῶν ἄλλων ποταμῶν ξυμβάλλειν τῷ Ὑδάσπῃ ἐπέπυστο καὶ οὐ πόρρω αὐτῶν εἶναι τὰς ξυμβολάς, καὶ τὸν Ἰνδόν, ἐς ὅντινα ὁ Ἀκεσίνης ξὺν τῷ Ὑδάσπῃ ἐμβάλλει. [2] ἐπὶ δὲ Ἡρακλεῖ τε τῷ προπάτορι σπείσας καὶ Ἄμμωνι καὶ τοῖς ἄλλοις θεοῖς ὅσοις αὐτῷ νόμος σημῆναι ἐς ἀναγωγὴν κελεύει τῇ σάλπιγγι. ἅμα τε δὴ ἐσημάνθη καὶ ἀνήγοντο ἐν κόσμῳ.

que las circunstancias le permitieron. Convocó luego a una reunión a los Compañeros y a los embajadores indios que a él habían acudido; en ella nombró a Poro rey de todos los territorios indios ocupados, y que componían un total de más de dos mil ciudades de siete etnias distintas.

La distribución que hizo del ejército [211] con vistas a la marcha hacia el Gran Mar fue la siguiente: [2] el propio Alejandro se embarcó al frente de los hipaspistas, los arqueros, agrianes y el *ágēma* de caballería, mientras que Crátero se puso en marcha con una parte de la infantería y caballería por la orilla derecha del Hidaspes. Por la orilla izquierda emprendió la marcha Hefestión, al mando de la mayor parte, y más selecta, del ejército, y con él iban también los elefantes, que en la actualidad alcanzaban el número de doscientos. La misión encomendada a estas fuerzas fue la de dirigirse a toda marcha al encuentro del rey Sopites [212].

[3] A Filipo, el sátrapa de aquella región vecina de la Bactria, le ordenó que se quedara allí durante tres días y luego se pusiera en marcha con sus tropas. Por su parte, la caballería de Nisa recibió autorización para regresar a su ciudad. Finalmente, Nearco [213] se haría cargo de toda la flota. El timonel de la nave en que viajaba Alejandro era Onesícrito [214], el cual escribió una historia de los viajes de Alejandro en la que, entre otras falsedades, se hacía pasar a sí mismo por comandante de la flota, en vez de timonel, que es lo que fue [215]. [4] El número de naves que componían esta expedición, según el cómputo de Tolomeo, hijo de Lago, que es el testimonio que yo sigo, era el siguiente: ochenta triacóntoros, y casi unas dos mil más entre naves de transporte de animales, bajeles y otras barcazas empleadas desde antiguo al transporte en este río, a más de las que se habían construido expresamente para esta ocasión [216].

Río abajo.

3 Una vez hechos todos los preparativos, el ejército comenzó a embarcarse a la hora del alba. Mientras tanto, Alejandro ofreció un sacrificio a los dioses según costumbre, así como al río Hidaspes, siguiendo en ello las indicaciones de los adivinos. Desde la proa de su barco ofreció al río una libación con una copa de oro, invocando conjuntamente al Hidaspes y al Acesines, que es el mayor afluente del Hidaspes según le habían dicho (la confluencia de ambos ríos estaba muy próxima a aquel lugar), e invocó también al Indo, que es donde vierten sus aguas tanto el Acesines como el Hidaspes. [2] Al fin hizo sonar la trompeta como señal de partida [217] después de haber hecho una libación por Heracles su antecesor, por Amón y los demás dioses según su costumbre. Al oír la señal, el ejército se puso en marcha con perfecto

παρήγγελτο γὰρ ἐφ᾽ ὅσων τε τὰ σκευοφόρα πλοῖα ἐχρῆν τετάχθαι καὶ ἐφ᾽ ὅσων τὰ ἱππαγωγά, ἐφ᾽ ὅσων τε τὰς μαχίμους τῶν νεῶν, ὡς μὴ συμπίπτειν ἀλλήλαις κατὰ τὸν πόρον εἰκῇ πλεούσας· καὶ ταῖς ταχυναυτούσαις φθάνειν οὐκ ἐφίετο ἔξω τῆς τάξεως.

[3] ἦν δὲ ὅ τε κτύπος τῆς εἰρεσίας οὐδενὶ ἄλλῳ ἐοικώς, ἅτε ἀπὸ πολλῶν νεῶν ἐν ταὐτῷ ἐρεσσομένων, καὶ βοὴ ἀπό τε τῶν κελευστῶν ἐνδιδόντων τὰς ἀρχάς τε καὶ ἀναπαύλας τῇ εἰρεσίᾳ καὶ τῶν ἐρετῶν ὁπότε ἀθρόοι ἐμπίπτοντες τῷ ῥοθίῳ ἐπαλαλάξειαν· αἵ τε ὄχθαι, ὑψηλότεραι τῶν νεῶν πολλαχῇ οὖσαι, ἐς στενόν τε τὴν βοὴν ξυνάγουσαι καὶ τῇ ξυναγωγῇ αὐτῇ ἐπὶ μέγα ηὐξημένην ἐς ἀλλήλας ἀντέπεμπον, καί που καὶ νάπαι ἑκατέρωθεν τοῦ ποταμοῦ τῇ τε ἐρημίᾳ καὶ τῇ ἀντιπέμψει τοῦ κτύπου καὶ αὗται ξυνεπελάμβανον· [4] οἵ τε ἵπποι διαφαινόμενοι διὰ τῶν ἱππαγωγῶν πλοίων, οὐ πρόσθεν ἵπποι ἐπὶ νεῶν ὀφθέντες ἐν τῇ Ἰνδῶν γῇ (καὶ γὰρ καὶ τὸν Διονύσου ἐπ᾽ Ἰνδοὺς στόλον οὐκ ἐμέμνηντο γενέσθαι ναυτικόν), ἔκπληξιν παρεῖχον τοῖς θεωμένοις τῶν βαρβάρων, ὥστε οἱ μὲν αὐτόθεν τῇ ἀναγωγῇ παραγενόμενοι ἐπὶ πολὺ ἐφωμάρτουν, [5] ἐς ὅσους δὲ τῶν ἤδη Ἀλεξάνδρῳ προσκεχωρηκότων Ἰνδῶν ἡ βοὴ τῶν ἐρετῶν ἢ ὁ κτύπος τῆς εἰρεσίας ἐξίκετο, καὶ οὗτοι ἐπὶ τῇ ὄχθῃ κατέθεον καὶ ξυνείποντο ἐπᾴδοντες βαρβαρικῶς. φιλῳδοὶ γάρ, εἴπερ τινὲς ἄλλοι, Ἰνδοὶ καὶ φιλορχήμονες ἀπὸ Διονύσου ἔτι καὶ τῶν ἅμα Διονύσῳ βακχευσάντων κατὰ τὴν Ἰνδῶν γῆν.

4. Οὕτω δὴ πλέων τρίτῃ ἡμέρᾳ κατέσχεν, ἵναπερ Ἡφαιστίωνί τε καὶ Κρατερῷ κατὰ τὸ αὐτὸ στρατοπεδεύειν ἐπὶ ταῖς ἀντιπέρας ὄχθαις παρήγγελτο. μείνας δὲ ἐνταῦθα ἡμέρας δύο, ὡς καὶ Φίλιππος αὐτῷ ξὺν τῇ λοιπῇ στρατιᾷ ἀφίκετο, τοῦτον μὲν ἐπὶ τὸν Ἀκεσίνην ποταμὸν ἐκπέμπει ξὺν οἷς ἔχων ἧκε, τάξας παρὰ τοῦ Ἀκεσίνου ποταμοῦ τὴν ὄχθην πορεύεσθαι· τοὺς δὲ ἀμφὶ Κρατερόν τε καὶ Ἡφαιστίωνα αὖθις ἐκπέμπει, παραγγείλας ὅπως χρὴ τὴν πορείαν ποιεῖσθαι. [2] αὐτὸς δὲ ἔπλει κατὰ τὸν Ὑδάσπην ποταμὸν οὐδαμοῦ μείονα ἐν τῷ κατάπλῳ εἴκοσι σταδίων τὸ εὖρος. προσορμιζόμενος δὲ ὅπῃ τύχοι ταῖς ὄχθαις τοὺς προσοικοῦντας τῷ Ὑδάσπῃ Ἰνδοὺς τοὺς μὲν ἐνδιδόντας σφᾶς ὁμολογίαις παρελάμβανεν, ἤδη δέ τινας καὶ ἐς ἀλκὴν χωρήσαντας βίᾳ κατεστρέψατο.

orden. Había insistido Alejandro en la distancia que las naves de carga, las que transportaban el ganado y las naves de guerra debían guardar entre sí para evitar que entrechocaran, cosa que ocurriría si navegaban a la deriva. Ni siquiera a las naves más veloces se les permitió adelantarse fuera de la formación. [3] El batir de los remos contra el agua producía un efecto único. Eran muchos los remeros que agitaban sus remos al unísono, eran los gritos de los cómitres señalando el comienzo y el final de cada movimiento, era, en fin, el ruido de los remeros que golpeaban todos a la vez contra la corriente entonando sus cantos. En muchos puntos la ribera se alzaba a mayor altura que las naves, encajonando el estrépito que el cortejo producía y que resultaba así ampliado al quedar constreñido en un espacio reducido, lo que provocaba una resonancia entre ambas riberas. A ambos lados del río y por todas partes la soledad de la cañada devolvía el sonido y contribuía a amplificar su resonancia. [4] Desde la orilla se divisaban perfectamente los caballos que iban en las barcazas, y como los indios nunca habían visto caballos embarcados por el río (ya no se acordaban siquiera de que la expedición de Dioniso a la India había sido también en barco), los bárbaros se quedaron atónitos al contemplarlos, de suerte que los que presenciaban cómo se ponía en marcha la expedición la acompañaron durante un largo trayecto.

[5] A medida que el griterío de los remeros y el ruido de los remos alcanzaba a los demás indios que se habían pasado al bando de Alejandro, salían éstos a todo correr en dirección al río y se sumaban al cortejo cantando himnos bárbaros. Los indios, ya se sabe, son un pueblo muy amante del canto, más que ningún otro, y los más amantes de la danza desde que Dioniso y sus acompañantes recorrieron el territorio de la India [218].

4 Al tercer día de navegación Alejandro se detuvo en la orilla del río, justo frente al lugar donde Hefestión y Crátero debían haber instalado el campamento. Aguardó allí dos días, al cabo de los cuales se reunió con él Filipo, que venía al frente del resto del ejército. Alejandro le ordenó que continuara con sus tropas por el río Acesines, prosiguiendo la marcha por la orilla del río. También despachó las tropas de Crátero y Hefestión, indicándoles cómo debían continuar su marcha. [2] Mientras tanto Alejandro bajó por el curso del Hidaspes, cuya anchura en ningún punto de su curso es inferior a veinte estadios. Hizo un alto, según marchaba, en una de las riberas, y allí acudieron los indios que por aquella zona del Hidaspes habitaban. Venían a entregarse a Alejandro, bajo ciertas condiciones; otros, en cambio, que habían preferido hacerle frente, fueron obligados a rendirse por la fuerza.

[3] αὐτὸς δὲ ὡς ἐπὶ τὴν Μαλλῶν τε καὶ Ὀξυδρακῶν γῆν σπουδῇ ἔπλει, πλείστους τε καὶ μαχιμωτάτους τῶν ταύτῃ Ἰνδῶν πυνθανόμενος καὶ ὅτι ἐξηγγέλλοντο αὐτῷ παῖδας μὲν καὶ γυναῖκας ἀποτεθεῖσθαι εἰς τὰς ὀχυρωτάτας τῶν πόλεων, αὐτοὶ δὲ ἐγνωκέναι διὰ μάχης ἰέναι πρὸς αὐτόν. ἐφ᾽ ὅτῳ δὴ καὶ σπουδῇ πλείονι ἐποιεῖτο τὸν πλοῦν, ὅπως μὴ καθεστηκόσιν αὐτοῖς, ἀλλὰ ἐν τῷ ἐνδεεῖ τε ἔτι τῆς παρασκευῆς καὶ τεταραγμένῳ προσφέρηται. [4] ἔνθεν δὲ ὡρμήθη τὸ δεύτερον, [καὶ] πέμπτῃ ἡμέρᾳ ἀφίκετο ἐπὶ τὴν ξυμβολὴν τοῦ τε Ὑδάσπου καὶ τοῦ Ἀκεσίνου. ἵνα δὲ ξυμβάλλουσιν οἱ ποταμοὶ οὗτοι, στενότατος εἷς ποταμὸς ἐκ τοῖς δυοῖν γίγνεται καὶ τὸ ῥεῦμα αὐτῷ ὀξὺ ἐπὶ τῇ στενότητι καὶ δῖναι ἄτοποι ὑποστρέφοντος τοῦ ῥοῦ, καὶ τὸ ὕδωρ κυμαίνεταί τε καὶ καχλάζει ἐπὶ μέγα, ὡς καὶ πόρρω ἔτι ὄντων ἐξακούεσθαι τὸν κτύπον τοῦ κύματος. [5] καὶ ἦν μὲν προεξηγγελμένα ταῦτα Ἀλεξάνδρῳ ἐκ τῶν ἐγχωρίων καὶ <ἐξ> Ἀλεξάνδρου τῇ στρατιᾷ· ὅμως δὲ ἐπειδὴ ἐπέλαζεν αὐτῷ ταῖς ξυμβολαῖς ὁ στρατός, ἐς τοσόνδε ὁ ἀπὸ τοῦ ῥοῦ κτύπος κατεῖχεν, ὥστε ἐπέστησαν τὰς εἰρεσίας οἱ ναῦται,οὐκ ἐκ παραγγέλματος, ἀλλὰ τῶν τε κελευστῶν ὑπὸ θαύματος ἐκσιωπησάντων καὶ αὐτοὶ μετέωροι πρὸς τὸν κτύπον γενόμενοι.

5. Ὡς δὲ οὐ πόρρω τῶν ξυμβολῶν ἦσαν, ἐνταῦθα δὴ οἱ κυβερνῆται παραγγέλλουσιν ὡς βιαιοτάτῃ εἰρεσίᾳ χρωμένους ἐξελαύνειν ἐκ τῶν στενῶν, τοῦ μὴ ἐμπιπτούσας τὰς ναῦς ἐς τὰς δίνας ἀναστρέφεσθαι πρὸς αὐτῶν, ἀλλὰ κρατεῖν γὰρ τῇ εἰρεσίᾳ τῶν ἐπιστροφῶν τοῦ ὕδατος. [2] τὰ μὲν δὴ στρογγύλα πλοῖα ὅσα καὶ ἔτυχεν αὐτῶν περιστραφέντα πρὸς τοῦ ῥοῦ, οὐδέν τι παθόντα ἐν τῇ ἐπιστροφῇ ὅτι μὴ ταράξαντα τοὺς ἐμπλέοντας, κατέστη ἐς εὐθύ, πρὸς αὐτοῦ τοῦ ῥοῦ ὀρθωθέντα· αἱ δὲ μακραὶ νῆες οὐχ ὡσαύτως ἀπαθεῖς ἀπῆλθον ἐν τῇ ἐπιστροφῇ, οὔτε μετέωροι ἐπὶ τοῦ ἐπικαχλάζοντος κύματος ὡσαύτως οὖσαι, ὅσαι τε δίκροτοι αὐτῶν τὰς κάτω κώπας οὐκ ἐπὶ πολὺ ἔξω ἔχουσαι τοῦ ὕδατος· [3] καὶ αἱ κῶπαι δὲ αὐτοῖς πλαγίοις ἐν ταῖς δίναις γενομένοις συνετρίβοντο, ὅσων γε ἐγκατελήφθησαν ὑπὸ τοῦ ὕδατος οὐ φθασάντων αὐτὰς μετεωρίσαι, ὡς πολλὰς μὲν πονῆσαι τῶν νεῶν, δύο δὲ δὴ περιπεσούσας ἀλλήλαις αὐτάς τε

[3] Al poco se puso de nuevo en marcha, y a toda velocidad, en dirección al territorio de los malios y oxídracos, que según noticias eran los más numerosos [219] y belicosos indios de esta zona, y que, también según le habían informado, decididos como estaban a hacerle frente, habían conducido a sus mujeres y niños a las ciudades mejor fortificadas. Las prisas con que Alejandro hacía avanzar a su flota se debían a su interés por presentarse ante estos indios no cuando ya hubieran hecho ellos todos los preparativos para el combate, sino intentando sorprenderlos así en pleno desorden mientras los hacían.

[4] Levantó, pues, de nuevo el campamento, y al quinto día llegó donde confluyen las aguas del Hidaspes y el Acesines. En el punto de confluencia de ambos ríos se origina un solo curso de agua, más estrecho pero de corriente más viva a causa de la angostura de su curso, produciéndose extraordinarios remolinos bajo la tumultuosa corriente. El agua se mueve alborotada y se precipita salpicando, de suerte que desde lejos puede oírse el ruido de la corriente. [5] Los vecinos del lugar [220] ya habían narrado todo esto a Alejandro y sus hombres, pero, aun así, a medida que el ejército se aproximaba a la confluencia de ambos ríos, tan extraordinariamente aumentó el estrépito que las aguas formaban, que los remeros dejaron de remar, no porque nadie se lo hubiera mandado, sino porque los cómitres habían enmudecido ante este prodigioso espectáculo, y los propios marineros habían quedado fuera de sí ante el fragor de las aguas.

En la confluencia Hidraotes-Acesines.

5 Al acercarse aún más a la confluencia de ambos ríos, los timoneles ordenaron a sus hombres que remaran con todas sus fuerzas para mantener las naves lejos de la angostura, a fin de evitar que se metieran en los remolinos y fueran engullidas por ellos, superando a fuerza de remos la tumultuosa corriente. [2] Las naves de transporte giraban arrastradas por las aguas, sin sufrir daño alguno en medio de los torbellinos, fuera de que sus pasajeros iban muertos de miedo. Sin embargo, se reintegraron a su anterior formación gracias a que la misma fuerza de la corriente las iba alineando. Por el contrario, las largas naves de guerra no escaparon incólumes de este torbellino, pues no pudieron ponerse a salvo ni a flote en medio de las estruendosas aguas. [3] Por su parte, las birremes apenas conseguían mantener la fila inferior de sus remos fuera del agua. Los remos se destrozaron al caer atravesados unos con otros en medio de los torbellinos. Fueron muchas las que las aguas se tragaron por no poderse poner a flote a tiempo, de suerte que la mayor parte de estas naves se perdieron; dos de ellas chocaron entre sí y

διαφθαρῆναι καὶ τῶν ἐμπλεόντων ἐν αὐταῖς πολλούς. ὡς δὲ ἐς πλάτος ἤδη ὁ ποταμὸς διέσχεν, ἐνταῦθα δὴ ὅ τε ῥοῦς οὐκέτι ὡσαύτως χαλεπὸς ἦν καὶ αἱ δῖναι οὐχ ὁμοίᾳ τῇ βίᾳ ἐπέστρεφον. [4] προσορμίσας οὖν τῇ ἐν δεξιᾷ ὄχθῃ Ἀλέξανδρος τὸν στρατόν, ἵνα σκέπη τε ἦν τοῦ ῥοῦ καὶ προσβολὴ ταῖς ναυσὶν καί τις καὶ ἄκρα τοῦ ποταμοῦ ἐπιτηδείως ἀνεῖχεν ἐς τῶν ναυαγίων τε τὴν ξυναγωγὴν καὶ εἴ τινες ἐπ᾽ αὐτῶν ζῶντες ἔτι ἐφέροντο, τούτους τε διέσωσε καὶ ἐπισκευάσας τὰς πεπονηκυίας τῶν νεῶν Νέαρχον μὲν καταπλεῖν κελεύει ἔστ᾽ ἂν ἀφίκηται ἐπὶ τὰ ὅρια τοῦ Μαλλῶν ἔθνους, αὐτὸς δὲ τῶν βαρβάρων τῶν οὐ προσχωρούντων καταδρομὴν τῆς χώρας ποιησάμενος καὶ κωλύσας ἐπικουρῆσαι αὐτοὺς τοῖς Μαλλοῖς, οὕτω δὴ αὖθις ξυνέμιξε τῷ ναυτικῷ. [5] Καὶ ἐνταῦθα Ἡφαιστίων τε αὐτῷ καὶ Κρατερὸς καὶ Φίλιππος ξὺν τοῖς ἀμφ᾽ αὐτοὺς ὁμοῦ ἤδη ἦσαν. ὁ δὲ τοὺς μὲν ἐλέφαντας καὶ τὴν Πολυπέρχοντος τάξιν καὶ τοὺς ἱπποτοξότας καὶ Φίλιππον ξὺν τῇ ἀμφ᾽ αὐτὸν στρατιᾷ διαβιβάσας τὸν Ὑδάσπην ποταμὸν Κρατερῷ ἄγειν προσέταξε· Νέαρχον δὲ ξὺν τῷ ναυτικῷ πέμπει τρισὶν ἡμέραις τὴν στρατιὰν κελεύσας φθάνειν κατὰ τὸν πλοῦν. τὸν δὲ ἄλλον στρατὸν τριχῇ διένειμε· [6] καὶ Ἡφαιστίωνα μὲν πέντε ἡμέραις προϊέναι ἔταξεν, ὡς εἴ τινες τοὺς ξὺν αὐτῷ τεταγμένους φεύγοντες ἐς τὸ πρόσω κατὰ σπουδὴν ἴοιεν, τοῖς ἀμφὶ Ἡφαιστίωνα ἐμπίπτοντες ἁλίσκωνται· Πτολεμαῖον δὲ τὸν Λάγου δοὺς καὶ τούτῳ τῆς στρατιᾶς μέρος τρισὶν ἡμέραις ὑπολειπόμενον ἕπεσθαι ἐκέλευσεν, ὡς ὅσοι τὸ ἔμπαλιν ὑποστρέφοιεν αὐτὸν φεύγοντες, οὗτοι δὲ ἐς τοὺς ἀμφὶ τὸν Πτολεμαῖον ἐμπίπτοιεν. [7] ἐπὰν δὲ ἀφίκωνται ἐς τὰς ξυμβολὰς τοῦ τε Ἀκεσίνου καὶ τοῦ Ὑδραώτου ποταμοῦ, ἐνταῦθα δὴ τούς τε φθάνοντας ὑπομένειν ἐκέλευσεν, ἔστ᾽ ἂν ἥκῃ αὐτός, καὶ τοὺς ἀμφὶ Κρατερὸν καὶ Πτολεμαῖον αὐτῷ ξυμβαλεῖν.

6. Αὐτὸς δὲ ἀναλαβὼν τοὺς ὑπασπιστάς τε καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας καὶ τῶν ἀσθεταίρων[I] καλουμένων τὴν Πείθωνος τάξιν καὶ τοὺς ἱπποτοξότας τε πάντας καὶ τῶν ἱππέων τῶν ἑταίρων τοὺς ἡμίσεας διὰ γῆς ἀνύδρου ὡς ἐπὶ Μαλλοὺς ἦγεν, ἔθνος Ἰνδικὸν Ἰνδῶν τῶν

quedaron destruidas, y muertos muchos de los que en ellos viajaban. Cuando el curso del río discurría ya buscando la llanura, la corriente se amansaba y los remolinos no las hacían girar con igual fuerza.

[4] Desembarcó entonces Alejandro en la orilla derecha a su ejército, aprovechando un lugar al abrigo de la corriente y un atracadero para las naves, donde se alzaba un promontorio muy idóneo para desde él recuperar los restos de las naves y los náufragos que aún sobrevivían arrastrados sobre sus tablones. Salvó así la vida a algunos de éstos y reparó las naves averiadas. Acto seguido ordenó a Nearco que bajara por el río hasta alcanzar la frontera del pueblo de los malios. Mientras tanto, él hizo algunas incursiones contra aquellos bárbaros que no habían querido sometérsele, a fin de impedir que acudieran en ayuda de los malios. Hecho esto, se reunió de nuevo con su flota.

[5] Se encontraron con él entonces Hefestión, Crátero y Filipo, acompañados de sus hombres. Alejandro hizo pasar al otro lado del Hidaspes a los elefantes, el batallón de Poliperconte, el cuerpo de arqueros a caballo, y a Filipo al frente de sus hombres, ordenando a Crátero que se encargara de toda esta expedición. Despachó a Nearco con la flota a que se adelantara tres jornadas de marcha río abajo, y dividió lo que quedaba del ejército en tres partes.bn[6] Ordenó a Hefestión que se adelantara unas cinco jornadas de marcha porque así, si algún enemigo escapaba al ataque de los hombres que acompañaban a Alejandro y pretendía adentrarse a toda prisa en el territorio, se toparía con las tropas de Hefestión, que le harían prisionero. De otro lado, encargó a Tolomeo, el hijo de Lago, que se destacara hacia la retaguardia con una sección de las tropas y que le siguiera a distancia de tres jornadas de marcha, a fin de que si alguien hacía defección de las filas de Alejandro y pretendía escapar por retaguardia, se topara con Tolomeo y sus hombres. [7] Encargó Alejandro a Hefestión y los hombres que marchaban abriendo camino, que cuando llegaran a la confluencia del Acesines e Hidraotes aguardaran allí hasta que llegara él mismo y se les juntaran los hombres de Crátero y de Tolomeo.

6 Alejandro se puso al frente de los hipaspistas, arqueros, agrianes, el batallón de los llamados *peceteros* [221] de Pitón, todos los arqueros a caballo y la mitad de la caballería de los Compañeros, y a través de un paraje desértico [222] los condujo al territorio de los malios, que son un pueblo indio de los que viven

[I] Ver nota I al libro II, 5.2

αὐτονόμων. [2] καὶ τῇ μὲν πρώτῃ κατεστρατοπέδευσε πρὸς ὕδατι οὐ πολλῷ, ὃ δὴ ἀπεῖχε τοῦ Ἀκεσίνου ποταμοῦ σταδίους ἐς ἑκατόν· δειπνοποιησάμενος δὲ καὶ ἀναπαύσας τὴν στρατιὰν οὐ πολὺν χρόνον παραγγέλλει ὅ τι τις ἔχοι ἄγγος ἐμπλῆσαι ὕδατος. διελθὼν δὲ τῆς τε ἡμέρας τὸ ἔτι ὑπολ<ε>ιπόμενον καὶ τὴν νύκτα ὅλην ἐς τετρακοσίους μάλιστα σταδίους ἅμα ἡμέρᾳ πρὸς πόλιν ἀφίκετο, ἐς ἣν ξυμπεφεύγεσαν πολλοὶ τῶν Μαλλῶν. [3] οἱ δὲ οὔποτ᾽ ἂν οἰηθέντες διὰ τῆς ἀνύδρου ἐλθεῖν ἐπὶ σφᾶς Ἀλέξανδρον ἔξω τε τῆς πόλεως οἱ πολλοὶ καὶ ἄνοπλοι ἦσαν· ἐφ᾽ ὅτῳ καὶ δῆλος ἐγένετο ταύτην ἀγαγὼν Ἀλέξανδρος, ἣν ὅτι αὐτῷ ἀγαγεῖν χαλεπὸν ἦν, ἐπὶ τῷδε οὐδὲ τοῖς πολεμίοις ὅτι ἄξει πιστὸν ἐφαίνετο. τούτοις μὲν δὴ οὐ προσδοκήσασιν ἐπιπεσὼν τοὺς μὲν πολλοὺς ἀπέκτεινεν αὐτῶν οὐδὲ ἐς ἀλκὴν οἷα δὴ ἀνόπλους τραπέντας· τῶν δὲ ἄλλων εἰς τὴν πόλιν κατειληθέντων κύκλῳ περιστήσας τῷ τείχει τοὺς ἱππέας, ὅτι μήπω ἡ φάλαγξ τῶν πεζῶν ἠκολουθήκει αὐτῷ, ἀντὶ χάρακος ἐχρήσατο τῇ ἵππῳ. [4] ὡς δὲ τάχιστα οἱ πεζοὶ ἀφίκοντο, Περδίκκαν μὲν τήν τε αὑτοῦ ἱππαρχίαν ἔχοντα καὶ τὴν Κλείτου καὶ τοὺς Ἀγριᾶνας πρὸς ἄλλην πόλιν ἐκπέμπει τῶν Μαλλῶν, οἷ ξυμπεφευγότες ἦσαν πολλοὶ τῶν ταύτῃ Ἰνδῶν, φυλάσσειν τοὺς ἐν τῇ πόλει κελεύσας, ἔργου δὲ μὴ ἔχεσθαι ἔστ᾽ ἂν ἀφίκηται αὐτός, ὡς μηδὲ ἀπὸ ταύτης τῆς πόλεως διαφυγόντας τινὰς αὐτῶν ἀγγέλους γενέσθαι τοῖς ἄλλοις βαρβάροις ὅτι προσάγει ἤδη Ἀλέξανδρος· αὐτὸς δὲ προσέβαλλεν τῷ τείχει. [5] οἱ δὲ βάρβαροι τὸ μὲν τεῖχος ἐκλείπουσιν, ὡς οὐκ ἂν διαφυλάξαντες αὐτὸ ἔτι, πολλῶν ἐν τῇ καταλήψει τεθνηκότων, τῶν δὲ καὶ ἀπὸ τραυμάτων ἀπομάχων γεγενημένων· ἐς δὲ τὴν ἄκραν ξυμφυγόντες χρόνον μέν τινα ἠμύνοντο ἐξ ὑπερδεξίου τε χωρίου καὶ χαλεποῦ ἐς προσβολήν, προσκειμένων δὲ πάντοθεν εὐρώστως τῶν Μακεδόνων καὶ αὐτοῦ Ἀλεξάνδρου ἄλλοτε ἄλλῃ ἐπιφαινομένου τῷ ἔργῳ ἥ τε ἄκρα κατὰ κράτος ἑάλω καὶ οἱ ξυμφυγόντες ἐς αὐτὴν πάντες ἀπέθανον· ἦσαν δὲ ἐς δισχιλίους. [6] Περδίκκας δὲ ἐς τὴν πόλιν ἐφ᾽ ἥντινα ἐστάλη ἀφικόμενος τὴν μὲν πόλιν ἐρήμην καταλαμβάνει, μαθὼν δὲ ὅτι οὐ πρὸ πολλοῦ πεφεύγεσαν ἐξ αὐτῆς οἱ ἐνοικοῦντες δρόμῳ ἤλαυνε κατὰ στίβον τῶν φευγόντων· οἱ δὲ ψιλοὶ ὡς τάχους ποδῶν εἶχον αὐτῷ ἐφείποντο. καταλαβὼν δὲ τῶν φευγόντων κατέκοψεν ὅσοι γε μὴ

independientes [223]. [2] Fijó su campamento el primer día junto a una charca de agua distante unos cien estadios [224] del río Acesines. Después de la cena, y cuando ya su ejército había descansado un rato, dio la orden de que cada cual llenara su cántaro de agua. Después de atravesar este paraje durante el resto de la tarde y toda la noche (unos cuatrocientos estadios) [225], llegó al amanecer a la ciudad donde se habían refugiado la mayor parte de los malios. [3] Como éstos no esperaban que Alejandro se presentara ante ellos después de atravesar este desértico paraje, estaban a las afueras de la ciudad y sin armas la mayoría de ellos; Alejandro había optado por cruzar este paraje precisamente por la dificultad que la empresa suponía, y fue por ello exactamente por lo que sus enemigos nunca creyeron que fuera a llevarla a cabo [226]. Cayó, pues, sobre los bárbaros pillándolos desprevenidos, y dio muerte a la mayoría de ellos, que ni siquiera ofrecieron resistencia, como gente que en ese momento estaba desarmada. Algunos consiguieron encerrarse en la ciudad, que quedó al punto cercada por la caballería de Alejandro, y hubo de quedar así cercada por no haberle llegado aún a Alejandro los refuerzos de infantería.[4] Al poco llegó la infantería, y envió a Perdicas al frente de su propia hiparquía y la de Clito, a los que se habían añadido los agrianes, contra otra ciudad de este pueblo de los malios donde se habían refugiado un buen número de indios de este distrito; encargó a Perdicas que vigilara la ciudad, pero que no la atacara hasta que él estuviera allí presente, ya que se trataba de evitar que algún posible fugitivo de esta ciudad anunciara a los demás bárbaros que Alejandro estaba de camino. Fue él, pues, quien dirigió el asalto a los muros de la ciudad. [5] Ante este ataque, los bárbaros abandonaron los muros por no poder defenderlos, resultando gran número de ellos heridos en el asalto, y quedando otros fuera de combate por las heridas recibidas. Buscaron luego refugio en la ciudadela, donde consiguieron aguantar algún tiempo, gracias a que se trataba de un lugar más elevado y difícil de tomar. Sin embargo, los macedonios continuaron atacando con fuerza por todos lados, mientras Alejandro en persona aparecía ya por aquí, ya por allá, en primera fila, por lo que la ciudadela fue capturada al asalto y pasados a cuchillo cuantos en ella se habían refugiado, y que serían unos dos mil hombres. [6] Mientras tanto, Perdicas había llegado a la ciudad adonde le habían enviado, encontrándola por completo deshabitada. Supo que sus habitantes la habían abandonado hacía no mucho tiempo, por lo que se lanzó a la carrera tras los pasos de los fugitivos, acompañado de su infantería ligera, que le seguía a todo correr de sus pies. Dándoles alcance, mató a buen número de enemigos, y se salvaron sólo los que consiguieron adentrarse

ἔφθασαν ἐς τὰ ἕλη ξυμφυγόντες.

7. Ἀλέξανδρος δὲ δειπνοποιησάμενός τε καὶ ἀναπαύσας τοὺς ἀμφ' αὑτὸν ἔστε ἐπὶ πρώτην φυλακὴν ᾔει τοῦ πρόσω· καὶ τὴν νύκτα διελθὼν πολλὴν ὁδὸν ἅμα ἡμέρᾳ ἀφίκετο πρὸς τὸν Ὑδραώτην ποταμόν. ἔνθα δὴ τῶν Μαλλῶν τοὺς μὲν πολλοὺς διαβεβηκότας ἤδη ἔμαθεν, τοῖς δὲ καὶ διαβαίνουσιν ἐπιγενόμενος περὶ αὐτὸν τὸν πόρον πολλοὺς αὐτῶν διέφθειρε. [2] καὶ αὐτὸς ὡς εἶχε ξυνδιαβὰς κατὰ τὸν αὐτὸν πόρον διώκων εἴχετο τῶν φθασάντων ἐς τὴν ἀποχώρησιν. καὶ πολλοὺς μὲν ἀπέκτεινεν αὐτῶν, τοὺς δὲ καὶ ζῶντας ἔλαβεν, οἱ πλείους δὲ κατέφυγον ἔς τι χωρίον ὀχυρὸν καὶ τετειχισμένον. Ἀλέξανδρος δέ, ὡς οἱ πεζοὶ ἀφίκοντο αὐτῷ, ἀποστέλλει ἐπὶ τούτους Πείθωνα τήν τε αὑτοῦ τάξιν ἔχοντα καὶ τῶν ἱππέων δύο ἱππαρχίας. [3] καὶ οὗτοι δὴ ἐξ ἐφόδου προσβαλόντες λαμβάνουσι τὸ χωρίον καὶ τοὺς καταπεφευγότας ἐς αὐτὸ ἠνδραπόδισαν, ὅσοι γε μὴ ἐν τῇ προσβολῇ διεφθάρησαν. ταῦτα δὲ οἱ ἀμφὶ τὸν Πείθωνα διαπραξάμενοι ἐπανῆλθον αὖθις ἐς τὸ στρατόπεδον. [4] Αὐτὸς δὲ Ἀλέξανδρος ὡς ἐπὶ τῶν Βραχμάνων τινὰ πόλιν ἦγεν, ὅτι καὶ ἐς ταύτην ξυμπεφευγέναι τινὰς τῶν Μαλλῶν ἔμαθεν. ὡς δὲ ἀφίκετο πρὸς αὐτήν, ἐπῆγε τῷ τείχει πάντοθεν πυκνὴν τὴν φάλαγγα. οἱ δὲ ὑπορυσσόμενα τὰ τείχη ἰδόντες καὶ ἐκ τῶν βελῶν ἀναστελλόμενοι τὰ μὲν τείχη καὶ οὗτοι ἐκλείπουσιν, ἐς δὲ τὴν ἄκραν ξυμφυγόντες ἐκεῖθεν ἠμύνοντο· ξυνεισπεσόντων δὲ αὐτοῖς ὀλίγων Μακεδόνων μεταβαλλόμενοι καὶ ξυστραφέντες τοὺς μὲν ἐξέωσαν αὐτῶν, ἀπέκτειναν δὲ ἐν τῇ ὑποστροφῇ ἐς πέντε καὶ εἴκοσι. [5] καὶ ἐν τούτῳ Ἀλέξανδρος τάς τε κλίμακας πάντοθεν κελεύει προστιθέναι τῇ ἄκρᾳ καὶ ὑπορύττειν τὸ τεῖχος. ὡς δὲ πύργος τε ἔπεσεν ὑπορυσσόμενος καὶ τοῦ μεταπυργίου τι παραρραγὲν ἐπιμαχωτέραν ταύτῃ ἐποίησε τὴν ἄκραν, πρῶτος Ἀλέξανδρος ἐπιβὰς τοῦ τείχους ὤφθη ἔχων τὸ τεῖχος. [6] καὶ τοῦτον ἰδόντες οἱ ἄλλοι Μακεδόνες αἰσχυνθέντες ἄλλος ἄλλῃ ἀνῄεσαν. εἴχετό τε ἤδη ἡ ἄκρα, καὶ τῶν Ἰνδῶν οἱ μὲν τὰς οἰκίας ἐνεπίμπρασαν καὶ ἐν αὐταῖς ἐγκαταλαμβανόμενοι ἀπέθνησκον, οἱ πολλοὶ δὲ μαθόμενοι αὐτῶν. ἀπέθανον δὲ οἱ πάντες ἐς πεντακισχιλίους, ζῶντες δὲ δι' ἀνδρ<ε>ίαν ὀλίγοι ἐλήφθησαν.

en los terrenos pantanosos.

Lucha contra tos malios.

7 Alejandro concedió a sus hombres un descanso después de cenar hasta la hora del primer cambio de guardia [227], para continuar luego su avance. Durante toda la noche continuó la marcha, para llegar al río Hidraotes al amanecer del día siguiente; al llegar allí se encontró con que la mayor parte de los malios lo habían cruzado; arremetió, sin embargo, contra los que aún andaban a mitad de la travesía, dando muerte a buen número de ellos. [2] Llegó a cruzar él mismo el río, y se dedicó a perseguir a los que ya estaban en la otra orilla, matando a buen número de ellos y haciendo algunos prisioneros, aunque la mayor parte lograron refugiarse en un lugar protegido y fortificado. No cejó sin embargo Alejandro por ello, ya que, tan pronto dispuso de su infantería, ordenó a Pitón que al frente de su batallón y dos hiparquías de jinetes les pusiera cerco. [3] No les supuso dificultad alguna a los hombres de Pitón tomar al asalto la pequeña fortaleza, en el cual hicieron esclavos [228] a los que allí se habían refugiado, aunque algunos murieron antes, durante el asalto. Los hombres de Pitón, cumplida la misión encomendada, regresaron al campamento.

[4] En el ínterin, Alejandro se había adelantado a una ciudad de los brahmanes [229], donde, según sus noticias, habían encontrado refugio algunos malios. Al llegar a ella aproximó al muro la falange en formación compacta. Al ver sus habitantes que sus muros habían sido socavados y que los dardos llovían sobre ellos, abandonaron la defensa de los muros y se refugiaron en la ciudadela, desde donde intentaban defenderse. Algunos macedonios, sin embargo, irrumpieron con ellos en la ciudadela, aunque los indios, dándose la vuelta y apretando filas, consiguieron rechazarlos, matando a veinticinco macedonios en su retirada.

[5] Ordenó entonces Alejandro que fijaran las escaleras por todas partes del muro, mientras algunos soldados lo socavaban. Dio esto como resultado que se desplomara una torre y una cortina del muro, lo que facilitó el asalto a la ciudadela por aquel punto. Aprovechó Alejandro este momento para subirse al muro, y todos pudieron verle dueño de la situación. [6] Al contemplar a su jefe encaramado al muro, los macedonios sintieron vergüenza de quedar rezagados, y acto seguido empezaron a subir por él, cada cual por donde podía. En un momento quedó copada la ciudadela, en la que algunos indios habían prendido fuego a sus casas, donde fueron sorprendidos y pasados a cuchillo; la mayor parte, en cambio, murieron en el combate. En total murieron unos cinco mil, y fueron pocos los capturados vivos, ya que su valor les impelía a morir luchando.

8. Μείνας δὲ αὐτοῦ μίαν ἡμέραν καὶ ἀναπαύσας τὴν στρατιὰν τῇ ὑστεραίᾳ προὐχώρει ὡς ἐπὶ τοὺς ἄλλους Μαλλούς. καὶ τὰς μὲν πόλεις ἐκλελοιπότας καταλαμβάνει, αὐτοὺς δὲ ἔμαθεν ὅτι πεφευγότες εἶεν ἐς τὴν ἔρημον. [2] καὶ ἐνταῦθα αὖθις μίαν ἡμέραν ἀναπαύσας τὴν στρατιὰν ἐς τὴν ἐπιοῦσαν Πείθωνα μὲν καὶ Δημήτριον τὸν ἱππάρχην πρὸς τὸν ποταμὸν ὀπίσω ἀπέπεμψεν, ὧν τε αὐτοὶ ἡγοῦντο ἄγοντας καὶ πρὸς τούτοις ψιλῶν τάξεις δοὺς αὐτοῖς ὅσαι ἱκαναὶ πρὸς τὸ ἔργον. [3] προσέταξε δὲ παρὰ τῇ ὄχθῃ τοῦ ποταμοῦ ἰόντας, εἴ τισι περιτυγχάνοιεν τῶν ἐς τὰς ὕλας ξυμπεφευγότων, αἳ δὴ πολλαὶ πρὸς τῇ ὄχθῃ τοῦ ποταμοῦ ἦσαν, τούτους κτείνειν, ὅσοι μὴ ἐθελονταὶ σφᾶς ἐνδιδοῖεν. καὶ πολλοὺς καταλαβόντες ἐν ταῖς ὕλαις οἱ ἀμφὶ Πείθωνά τε καὶ Δημήτριον ἀπέκτειναν. [4] Αὐτὸς δὲ ἦγεν ἐπὶ τὴν μεγίστην τῶν Μαλλῶν πόλιν, ἵνα καὶ ἐκ τῶν ἄλλων πόλεων πολλοὺς ξυμπεφευγέναι αὐτῷ ἐξηγγέλλετο. ἀλλὰ καὶ ταύτην ἐξέλιπον οἱ Ἰνδοὶ ὡς προσάγοντα Ἀλέξανδρον ἔμαθον. διαβάντες δὲ τὸν Ὑδραώτην ποταμὸν ἐπὶ ταῖς ὄχθαις αὐτοῦ, ὅτι ὑψηλαὶ αἱ ὄχθαι ἦσαν, παρατεταγμένοι ἔμενον, ὡς εἴρξοντες τοῦ πόρου Ἀλέξανδρον. [5] καὶ ταῦτα ὡς ἤκουσεν, ἀναλαβὼν τὴν ἵππον τὴν ἅμα αὐτῷ πᾶσαν ᾔει ὡς ἐπὶ τὸν Ὑδραώτην, ἵναπερ παρατετάχθαι τοὺς Μαλλοὺς ἐξηγγέλλετο. οἱ δὲ πεζοὶ ἕπεσθαι αὐτῷ ἐτάχθησαν. ὡς δὲ ἀφίκετό τε ἐπ᾽ αὐτὸν καὶ ἐν τῷ πέραν τοὺς πολεμίους τεταγμένους κατεῖδεν, ὡς εἶχεν ἐκ τῆς ὁδοῦ ἐμβάλλει ἐς τὸν πόρον ξὺν τῇ ἵππῳ μόνῃ. [6] οἱ δὲ ἰδόντες ἐν μέσῳ τοῦ ποταμοῦ ὄντα ἤδη Ἀλέξανδρον κατὰ σπουδὴν μέν, ξυντεταγμένοι δὲ ὅμως ἀπεχώρουν ἀπὸ τῆς ὄχθης· καὶ Ἀλέξανδρος ξὺν μόνῃ τῇ ἵππῳ εἵπετο. ὡς δὲ κατεῖδον ἱππέας μόνους, ἐπιστρέψαντες οἱ Ἰνδοὶ καρτερῶς ἐμάχοντο πλῆθος ὄντες ἐς πέντε μυριάδας. καὶ Ἀλέξανδρος ὡς τήν τε φάλαγγα αὐτῶν πυκνὴν κατεῖδε καὶ αὐτῷ οἱ πεζοὶ ἀπῆσαν, προσβολὰς μὲν ἐποιεῖτο ἐς κύκλους παριππεύων, ἐς χεῖρας δὲ οὐκ ᾔει τοῖς Ἰνδοῖς. [7] καὶ ἐν τούτῳ παραγίγνονται αὐτῷ οἵ τε Ἀγριᾶνες καὶ ἄλλαι τάξεις τῶν ψιλῶν, ἃς δὴ ἐπιλέκτους ἅμα οἷ ἦγε, καὶ οἱ τοξόται· οὐ πόρρω δὲ οὐδὲ ἡ φάλαγξ ἐφαίνετο τῶν πεζῶν. καὶ οἱ Ἰνδοὶ ὁμοῦ σφισι πάντων τῶν δεινῶν προσκειμένων ἀποστρέψαντες ἤδη προτροπάδην

8 Permaneció Alejandro en esta ciudad todo un día, dejando que su ejército descansara, y al día siguiente continuó su marcha contra el resto de los malios. A su paso encontraba ciudades abandonadas, donde le informaban de que sus habitantes habían buscado refugio en los parajes desérticos vecinos. [2] De nuevo dio un descanso de un día a sus hombres, y al día siguiente ordenó que Pitón y el hiparco Demetrio regresaran al río y que con ellos marcharan los hombres a sus órdenes, a los que debían ahora añadirse los batallones de tropas armadas ligeramente que creyeran necesarias para la realización de esta empresa. [3] La misión que Alejandro les encargaba era la de avanzar en paralelo a la orilla del río en busca de los que habían ido a refugiarse en la espesura de la arboleda (efectivamente, a ambas orillas del río crecía una extensa arboleda) y darles allí mismo muerte a menos que se les rindieran sin condiciones. Las tropas de Pitón y Demetrio se toparon y dieron muerte a gran número de indios en la maleza. [4] Alejandro continuó su camino, mientras tanto, a la ciudad más importante de los malios, donde, según sus noticias, habían buscado refugio muchos habitantes de otros puntos. Sin embargo, ante el anuncio de que Alejandro estaba cerca de la ciudad, los indios también la abandonaron, cruzaron el río Hidraotes y acamparon en lo alto de las escarpadas orillas del río, con la intención de evitar que Alejandro lo cruzara. [5] Al enterarse Alejandro de la situación, reunió toda la caballería que con él venía y se puso en marcha hacia el Hidraotes, buscando el emplazamiento de los malios. Dio órdenes, además, de que su infantería se aprestara a seguirle. Tan pronto llegó al río y divisó al enemigo, que estaba formado al otro lado del mismo según venía, se apartó del camino y se lanzó sólo con la caballería a buscar un vado en el río. [6] Los indios, al verle de pronto cruzar el río, se retiraron a buen ritmo, aunque con orden, de la orilla, mientras Alejandro seguía avanzando con sólo su caballería. Al darse cuenta los indios de que Alejandro venía contra ellos sólo con, su caballería, se dieron la vuelta y le hicieron frente con toda decisión en número de cincuenta mil. Alejandro se percató de que los indios formaban una falange compacta, mientras él no podía aún disponer de su infantería, por lo que no se atrevió sino a hacer unas escaramuzas, maniobrando en círculo con sus caballos, sin acercarse en exceso a los indios y evitando el combate cuerpo a cuerpo.[7] Mientras él hacía tiempo, los agrianes, los restantes batallones de tropa ligera (que como tropas selectas llevaba consigo) y los arqueros ya se habían reunido con él, y se divisaba muy cerca la falange de infantes. Los indios, al ver el cúmulo de peligros que se les echaba encima, se dieron la vuelta en desbandada, buscando refugio en las ciudades próximas que más

ἔφευγον ἐς πόλιν ὀχυρωτάτην τῶν πλησίον. [8] καὶ Ἀλέξανδρος ἑπόμενός τε αὐτοῖς πολλοὺς ἔκτεινε καὶ ὡς ἐς τὴν πόλιν οἱ διαφυγόντες κατειλήθησαν, πρῶτα μὲν τοῖς ἱππεῦσιν ἐξ ἐφόδου ἐκυκλώσατο τὴν πόλιν· ὡς δὲ οἱ πεζοὶ αὐτῷ παρῆσαν, ταύτῃ μὲν τῇ ἡμέρᾳ περιστρατοπεδεύει ἐν κύκλῳ τοῦ τείχους, ὅτι οὐ πολύ τε τῆς ἡμέρας ὑπελείπετο ἐς τὴν προσβολὴν καὶ ἡ στρατιὰ αὐτῷ ὑπό τε πορείας μακρᾶς οἱ πεζοὶ καὶ ὑπὸ διώξεως συνεχοῦς οἱ ἵπποι καὶ οὐχ ἥκιστα κατὰ τὸν πόρον τοῦ ποταμοῦ τεταλαιπωρήκεσαν.

9. Τῇ δὲ ὑστεραίᾳ διχῇ διελὼν τὸν στρατὸν τοῦ μὲν ἑτέρου αὐτὸς ἡγούμενος προσέβαλλε τῷ τείχει, τὸ δὲ ἕτερον Περδίκκας προσῆγε. καὶ ἐν τούτῳ οὐ δεξάμενοι οἱ Ἰνδοὶ τῶν Μακεδόνων τὴν ὁρμὴν τὰ μὲν τείχη τῆς πόλεως λείπουσιν, αὐτοὶ δὲ ἐς τὴν ἄκραν ξυνέφευγον. Ἀλέξανδρος μὲν οὖν καὶ οἱ ἀμφ᾽ αὐτὸν πυλίδα τινὰ κατασχίσαντες παρῆλθον ἐς τὴν πόλιν πολὺ πρὸ τῶν ἄλλων. [2] οἱ δὲ ὁμοῦ Περδίκκᾳ τεταγμένοι ὑστέρησαν ὑπερβαίνοντες κατὰ τὰ τείχη οὐκ εὐπετῶς, οὐδὲ τὰς κλίμακας οἱ πολλοὶ αὐτῶν φέροντες, ὅτι ἑαλωκέναι αὐτοῖς ἐδόκει ἡ πόλις, ἐρημούμενα τῶν προμαχομένων τὰ τείχη ὡς κατεῖδον. ὡς δὲ ἡ ἄκρα ἐχομένη πρὸς τῶν πολεμίων καὶ πρὸ ταύτης τεταγμένοι εἰς τὸ ἀπομάχεσθαι πολλοὶ ἐφάνησαν, ἐνταῦθα δὴ οἱ μὲν ὑπορύσσοντες τὸ τεῖχος, οἱ δὲ προσθέσει ὅπῃ παρείκοι τῶν κλιμάκων βιάσασθαι ἐπειρῶντο ἐς τὴν ἄκραν. [3] Ἀλέξανδρος δέ, ὡς βλακεύειν αὐτῷ ἐδόκουν τῶν Μακεδόνων οἱ φέροντες τὰς κλίμακας, ἁρπάσας κλίμακα ἑνὸς τῶν φερόντων προσέθηκε τῷ τείχει αὐτὸς καὶ εἰληθεὶς ὑπὸ τῇ ἀσπίδι ἀνέβαινεν· ἐπὶ δὲ αὐτῷ Πευκέστας ὁ τὴν ἱερὰν ἀσπίδα φέρων, ἣν ἐκ τοῦ νεὼ τῆς Ἀθηνᾶς τῆς Ἰλιάδος λαβὼν ἅμα οἷ εἶχεν Ἀλέξανδρος καὶ πρὸ αὐτοῦ ἐφέρετο ἐν ταῖς μάχαις· ἐπὶ δὲ τούτῳ Λεοννάτος ἀνῄει κατὰ τὴν αὐτὴν κλίμακα ὁ σωματοφύλαξ· κατὰ δὲ ἄλλην κλίμακα Ἀβρέας τῶν διμοιριτῶν τις στρατευομένων. [4] ἤδη τε πρὸς τῇ ἐπάλξει τοῦ τείχους ὁ βασιλεὺς ἦν καὶ ἐρείσας ἐπ᾽ αὐτῇ τὴν ἀσπίδα τοὺς μὲν ὤθει εἴσω τοῦ τείχους τῶν Ἰνδῶν, τοὺς δὲ καὶ αὐτοῦ τῷ ξίφει ἀποκτείνας γεγυμνώκει τὸ ταύτῃ τεῖχος· καὶ οἱ ὑπασπισταὶ ὑπέρφοβοι γενόμενοι ὑπὲρ τοῦ

garantías de seguridad ofrecían. [8] Alejandro, sin embargo, continuó persiguiéndoles, y dio muerte a buen número de ellos, aunque algunos fugitivos lograron ser acogidos en la ciudad. Ante esto, Alejandro dispuso que su caballería la rodeara al instante; algo más tarde llegaron los infantes, a los que Alejandro ordenó acampar en torno al muro para pasar allí las pocas horas del día que quedaban. Al estar éste terminando, le pareció que no merecía la pena preparar el asalto a la ciudad, además por lo fatigadas que estaban sus tropas: los soldados de infantería, por la larga marcha que habían tenido que recorrer; su caballería, por la ininterrumpida persecución del enemigo, y no menos por lo penoso que había resultado la travesía del río.

Prosigue la lucha. 9 Al día siguiente dividió en dos secciones su ejército, y él mismo se puso al frente de una de ellas, con la que lanzó un ataque contra el muro; de la otra se encargó Perdicas. Ante esta acción, los indios no resistieron la embestida de los macedonios, sino que abandonaron los muros y fueron a refugiarse en la ciudadela de la plaza. Alejandro y algunos hombres de su escolta derribaron una pequeña puerta, por la que penetraron en la ciudad los primeros, mucho antes que el resto de sus hombres. [2] Por contra, las tropas de Perdicas sufrieron cierto retraso en traspasar el muro, cosa que lograron con gran dificultad. Muchos de sus hombres no se molestaron en traer las escaleras de asalto por creer que la ciudad ya había sido conquistada, pues no veían en los muros a ningún defensor de la misma. Al convencerse los macedonios, sin embargo, de que los enemigos aún controlaban la ciudadela, y que eran muchos los que formaban delante de ella para defenderla, se pusieron manos a la obra, unos socavando el muro y otros arrimando las escaleras de asalto, cada cual por donde podía, a fin de intentar el asalto a la ciudadela.
[3] Le dio la impresión a Alejandro de que algunos de sus hombres flaqueaban en sus ánimos al acercar las escaleras de asalto, por lo que arrebató de las manos de uno de ellos una escalera y él mismo la fijó al muro y se puso a subir por ella protegiéndose con su escudo [230]. Al punto le siguió Peucestas, que era el que llevaba el escudo sagrado que Alejandro había cogido del templo de Atenea en Ilión y que siempre llevaba delante en las batallas. Tras éste subió por la escalera Leónato, uno de los de su guardia personal; por otra escalera subió el *dimoirítes* [231] Ábreas. [4] Se hallaba Alejandro sobre la almena del muro con su escudo apoyado en ella, y desde allí rechazaba a parte de los indios al interior de la ciudadela, provocando en parte de otros una gran matanza con su espada, hasta dejar limpia de enemigos aquella zona del muro donde se encontraba. Sintieron miedo los *hipaspistas* por la suerte que pudiera

βασιλέως σπουδῇ ὠθούμενοι κατὰ τὴν αὐτὴν κλίμακα συντρίβουσιν αὐτήν, ὥστε οἱ μὲν ἤδη ἀνιόντες αὐτῶν κάτω ἔπεσον, τοῖς δὲ ἄλλοις ἄπορον ἐποίησαν τὴν ἄνοδον. [5] Ἀλέξανδρος δὲ ὡς ἐπὶ τοῦ τείχους στὰς κύκλῳ τε ἀπὸ τῶν πλησίον πύργων ἐβάλλετο, οὐ γὰρ πελάσαι γε ἐτόλμα τις αὐτῷ τῶν Ἰνδῶν, καὶ ὑπὸ τῶν ἐκ τῆς πόλεως, οὐδὲ πόρρω τούτων γε ἐσακοντιζόντων (ἔτυχε γάρ τι καὶ προσκεχωσμένον ταύτῃ πρὸς τὸ τεῖχος), δῆλος μὲν ἦν Ἀλέξανδρος ὢν τῶν τε ὅπλων τῃ λαμπρότητι καὶ τῷ ἀτόπῳ τῆς τόλμης, ἔγνω δὲ ὅτι αὐτοῦ μὲν μένων κινδυνεύσει μηδὲν ὅ τι καὶ λόγου ἄξιον ἀποδεικνύμενος, καταπηδήσας δὲ εἴσω τοῦ τείχους τυχὸν μὲν αὐτῷ τούτῳ ἐκπλήξει τοὺς Ἰνδούς, εἰ δὲ μή, καὶ κινδυνεύειν δέοι, μεγάλα ἔργα καὶ τοῖς ἔπειτα πυθέσθαι ἄξια ἐργασάμενος οὐκ ἀσπουδεὶ ἀποθανεῖται—ταῦτα γνοὺς καταπηδᾷ ἀπὸ τοῦ τείχους ἐς τὴν ἄκραν. [6] ἔνθα δὴ ἐρεισθεὶς πρὸς τῷ τείχει τοὺς μέν τινας ἐς χεῖρας ἐλθόντας καὶ τόν γε ἡγεμόνα τῶν Ἰνδῶν προσφερόμενόν οἱ θρασύτερον παίσας τῷ ξίφει ἀποκτείνει· ἄλλον δὲ πελάζοντα λίθῳ βαλὼν ἔσχε καὶ ἄλλον λίθῳ, τὸν δὲ ἐγγυτέρω προσάγοντα τῷ ξίφει αὖθις. οἱ δὲ βάρβαροι πελάζειν μὲν αὐτῷ οὐκέτι ἤθελον, ἔβαλλον δὲ πάντοθεν περιεστηκότες ὅ τι τις ἔχων βέλος ἐτύγχανεν ἢ ἐν τῷ τότε ἔλαβεν.

10. Ἐν τούτῳ δὲ Πευκέστας τε καὶ ὁ διμοιρίτης Ἀβρέας καὶ ἐπ᾽ αὐτοῖς Λεοννάτος, οἳ δὴ μόνοι ἔτυχον πρὶν ξυντριβῆναι τὰς κλίμακας ἀναβεβηκότες ἐπὶ τὸ τεῖχος, καταπηδήσαντες καὶ αὐτοὶ πρὸ τοῦ βασιλέως ἐμάχοντο. καὶ Ἀβρέας μὲν ὁ διμοιρίτης πίπτει αὐτοῦ τοξευθεὶς ἐς τὸ πρόσωπον, Ἀλέξανδρος <δὲ> βάλλεται καὶ αὐτὸς διὰ τοῦ θώρακος ἐς τὸ στῆθος τοξεύματι ὑπὲρ τὸν μαστόν, ὥστε λέγει Πτολεμαῖος ὅτι καὶ πνεῦμα ὁμοῦ τῷ αἵματι ἐκ τοῦ τραύματος ἐξεπνεῖτο. [2] ὁ δέ, ἔστε μὲν ἔτι θερμὸν ἦν αὐτῷ τὸ αἷμα, καίπερ κακῶς ἔχων ἠμύνετο· πολλοῦ δὲ δὴ τοῦ αἵματος καὶ ἀθρόου οἷα δὴ ξὺν πνεύματι ἐκρυέντος, ἴλιγγός τε αὐτὸν καὶ λειποψυχία κατέσχε καὶ πίπτει αὐτοῦ ἐπὶ τὴν ἀσπίδα ξυννεύσας. Πευκέστας δὲ περιβὰς πεπτωκότι καὶ ὑπερσχὼν τὴν ἱερὰν τὴν ἐξ Ἰλίου ἀσπίδα πρὸ αὐτοῦ [εἶχε], καὶ Λεοννάτος ἐς τὰ ἐπὶ θάτερα, οὗτοί τε βάλλονται ἀμφότεροι

correr su rey, y se lanzaron tan violentamente sobre aquella escalera, que quedó destrozada por el empellón que le dieron, provocando que se precipitaran al suelo los que por ella subían, dejando sin vía de acceso a los demás que intentaban subir. [5] Alejandro permanecía en pie sobre el muro, lo que le convirtió en blanco de los que se hallaban apostados en las cercanas torres de alrededor (desde luego, ningún indio se atrevía a aproximársele); también le disparaban desde cerca los que estaban en la ciudadela, protegidos en un terraplén que se levantaba frente al muro. Alejandro resultaba claramente reconocible por el brillo que sus armas despedían y por su inusitado valor. Comprendió, sin embargo, que de permanecer allí corría el riesgo de no poder hacer nada que mereciera la pena, y que, en cambio, si saltaba de lo alto del muro al interior de la ciudadela podría provocar un verdadero pánico entre los indios. En caso contrario, arrostraría el peligro y moriría valerosamente tras culminar las mayores hazañas, dignas de conocerse por los hombres venideros; tomó, pues, esta determinación y saltó desde el muro al interior del recinto. [6] Apostado allí contra el muro dio muerte con un mandoble de su espada a algunos indios que le hicieron frente; entre otros, a su jefe, que se había abalanzado valientemente sobre él. A todo el que se acercaba los contenía lanzándoles piedras por aquí y por allá, y arremetía con su espada a quien conseguía acercársele. Los bárbaros se cuidaban mucho de acercársele, sino que disparaban desde lejos por todas partes a su alrededor, lanzándole lo que cada cual tenía a mano o al momento encontraba.

Alejandro resulta herido. **10** En esto Peucestas, el *dimoirítes* Ábreas [232] y con ellos Leónato, que eran los únicos que habían subido al muro junto con Alejandro antes de que la escalera se rompiera, saltaron también ahora del muro al interior del recinto para combatir al lado de su rey. Ábreas, el *dimoirítes,* pereció allí mismo, alcanzado en plena cara por una flecha. El propio Alejandro resultó herido en el pecho, encima de la tetilla, por una flecha que le atravesó la coraza, de suerte que, según cuenta Tolomeo, espiraba por la herida aire mezclado con sangre. [2] Alejandro continuó defendiéndose, aun malherido como estaba, mientras la sangre de su herida le mantuvo con vigor, pero al producirse una gran hemorragia en un movimiento de espiración, le sobrevino una sensación de mareo y una lipotimia que dio con él en tierra, y cayó sobre su escudo. Peucestas rodeó al punto su abatido cuerpo, y levantó el sagrado escudo de Ilión para protegerle de los disparos; al otro lado de Alejandro se colocó Leónato, en medio de una lluvia de proyectiles que sobre ellos caía;

καὶ Ἀλέξανδρος ἐγγὺς ἦν ἤδη ὑπὸ τοῦ αἵματος ἐκλιπεῖν.
[3] τοῖς γὰρ Μακεδόσι καὶ ταύτῃ ἐν ἀπόρῳ γεγένητο τὰ τῆς προσβολῆς, ὅτι οἱ τὸν Ἀλέξανδρον βαλλόμενόν τε ἐπὶ τῷ τείχει ἰδόντες καὶ πηδῶντα ἔσω ἐς τὴν ἄκραν, ὑπὸ σπουδῆς τε καὶ φόβου μή τι αὐτοῖς ὁ βασιλεὺς πάθῃ οὐ ξὺν νόῳ κινδυνεύων, τὰς κλίμακας ξυντετριφότες ἄλλοι ἄλλας μηχανὰς ἐς τὸ ἀνελθεῖν ἐπὶ τὸ τεῖχος ὡς ἐν ἀπόροις ἐμηχανῶντο, οἱ μὲν πασσάλους ἐμπηγνύοντες ἐς τὸ τεῖχος γήϊνον ὄν, καὶ κατὰ τούτους ἐκκρεμαννύμενοι χαλεπῶς ἀνεῖρπον, οἱ δὲ ἄλλοι ἐπ᾽ ἄλλους ἐπιβαίνοντες. [4] ὁ δὲ πρῶτος ἀνελθὼν ἐνρίπτει αὑτὸν κατὰ τοῦ τείχους ἐς τὴν πόλιν, ἵναπερ τὸν βασιλέα ἑώρων κείμενον, ξὺν οἰμωγῇ καὶ ἀλαλαγμῷ πάντες. ἤδη τε ἀμφ᾽ αὐτῷ πεπτωκότι καρτερὰ μάχη ξυνειστήκει ἄλλου ἐπ᾽ ἄλλῳ τῶν Μακεδόνων προασπίζοντος, καὶ ἐν τούτῳ οἱ μὲν τόν μοχλὸν ὅτῳ εἴχετο ἡ κατὰ τὸ μεταπύργιον πύλη κατασχίσαντες ἐπ᾽ ὀλίγους παρῄεσαν, οἱ δὲ καθ᾽ ὅ τι ἡ πύλη διέσχε τοὺς ὤμους ὑποθέντες καὶ ὤσαντες ἐς τὸ ἔσω τὸ τεῖχος ἀνεπέτασαν ταύτῃ τὴν ἄκραν.

11. Ἐν τούτῳ δὲ οἱ μὲν ἔκτεινον τοὺς Ἰνδούς, καὶ ἀπέκτεινάν γε πάντας οὐδὲ γυναῖκα ἢ παῖδα ὑπελείποντο, οἱ δὲ ἐξέφερον τὸν βασιλέα ἐπὶ τῆς ἀστίδος κακῶς ἔχοντα, οὔπω γιγνώσκοντες βιώσιμον ὄντα. τὸ δὲ βέλος ἐξελκύσαι ἐκ τοῦ τραύματος ἐπιτεμόντα τὴν πληγὴν οἱ μὲν Κριτόδημον ἀνέγραψαν, ἰατρὸν Κῷον, τὸ γένος τῶν Ἀσκληπιαδῶν, οἱ δὲ Περδίκκαν τὸν σωματοφύλακα, οὐ παρόντος ἐν τῷ δεινῷ ἰατροῦ, ἐγκελευσαμένου Ἀλεξάνδρου τῷ ξίφει ἐπιτεμεῖν τὴν πληγὴν καὶ κομίσασθαι τὸ βέλος. [2] ἐν δὲ τῇ κομιδῇ φορὰ αἵματος πολλοῦ γίγνεται, ὥστε λειποψυχῆσαι αὖθις Ἀλέξανδρον καὶ οὕτω σχεθῆναι αὐτῷ τὸ αἷμα ὑπὸ τῇ λειποψυχίᾳ. πολλὰ δὲ καὶ ἄλλα ἀναγέγραπται τοῖς ξυγγραφεῦσιν ὑπὲρ τοῦ παθήματος, καὶ ἡ φήμη παραδεξαμένη αὐτὰ κατὰ τοὺς πρώτους ψευσαμένους ἔτι καὶ εἰς ἡμᾶς διασώζει, οὐδὲ ἀφήσει παραδιδοῦσα καὶ ἐφεξῆς ἄλλοις τὰ ψευδῆ, εἰ μὴ ὑπὸ τῆσδε τῆς ξυγγραφῆς παύσεται. [3] Αὐτίκα ἐν Ὀξυδράκαις τὸ πάθημα τοῦτο γενέσθαι Ἀλεξάνδρῳ ὁ πᾶς λόγος κατέχει· τὸ δὲ ἐν

mientras tanto, Alejandro continuaba sin recuperar el conocimiento a causa de la gran pérdida de sangre que había sufrido.
[3] Apurada se puso para los macedonios en aquel asalto la situación, al ver que su rey, apostado sobre la muralla, era el blanco de todos los disparos enemigos; al ver cómo había saltado al interior de la ciudadela. Todo esto impulsó a los macedonios a lanzarse al peligro de un modo irreflexivo, llevados de la prisa y del temor de que a su rey pudiera ocurrirle algún mal. Al romperse la escalera de asalto se agenciaron otros medios para poder escalar el muro, dado lo angustioso de la situación; unos clavetearon unas picas en el muro hecho de arcilla, y colgándose de ellas a duras penas consiguieron gatear por el muro; otros intentaban escalarlo subiéndose a los hombros del compañero. [4] El primero que consiguió escalarlo se deslizó por él hasta el interior del recinto, y al ver que su rey yacía malherido en tierra, empezaron todos a lamentarse y a entonar su grito de guerra. Se originó entonces una violenta batalla en torno al rey postrado en tierra, mientras acudían, uno tras otros, buen número de macedonios a protegerle con sus escudos. Entretanto, algunos hombres habían conseguido descerrajar la puerta situada en una cortina entre dos torres, y por allí empezaron a entrar en grupos. Por su parte, otros presionaban con sus hombros en la rotura de la puerta, y lanzándola dentro del muro, dejaron al descubierto la acrópolis y vía libre a ella por aquel punto.

Masacre de los malios.

11 Los soldados de Alejandro se dedicaron a matar a todos los indios indiscriminadamente, sin respetar a mujeres ni niños [233]. Algunos sacaron al rey, que permanecía malherido, sobre su escudo, sin saber si continuaba o no con vida. Según unos, Clitodemo, que era un médico de Cos y de la familia Asclepíada, le practicó una incisión en la zona contusionada y le extrajo la flecha de la herida; según otros, fue Perdicas, de su guardia personal, quien a la vista de que no se disponía a mano de un cirujano, practicó la incisión y extrajo la flecha, por ruego expreso de Alejandro. [2] Al sacarle el proyectil, le sobrevino una gran hemorragia, de suerte que Alejandro perdió el conocimiento de nuevo, aunque gracias a ello se consiguió detener la hemorragia. Se han dado muchas otras versiones de este suceso por parte de los historiadores, y la tradición los ha aceptado y aún sobreviven tal y como lo manipularon los primeros embaucadores, y estas mentiras no cesarán de transmitirse de unos a otros ininterrumpidamente, hasta que la verdad de esta historia mía no les ponga coto. [3] La tradición unánimemente divulgada [234] sostiene que Alejandro sufrió este percance estando entre los oxídracos, cuando en

Μαλλοῖς ἔθνει αὐτονόμῳ Ἰνδικῷ ξυνέβη, καὶ ἥ τε πόλις Μαλλῶν ἦν καὶ οἱ βαλόντες Ἀλέξανδρον Μαλλοί, οἳ δὴ ἐγνώκεσαν μὲν ξυμμίξαντες τοῖς Ὀξυδράκαις οὕτω διαγωνίζεσθαι, ἔφθη δὲ διὰ τῆς ἀνύδρου ἐπ᾽ αὐτοὺς ἐλάσας πρίν τινα ὠφέλειαν αὐτοῖς παρὰ τῶν Ὀξυδρακῶν γενέσθαι ἢ αὐτοὺς ἐκείνοις τι ἐπωφελῆσαι.

[4] ἐπεὶ καὶ τὴν τελευταίαν μάχην τὴν πρὸς Δαρεῖον γενομένην, καθ᾽ ἥντινα ἔφυγε Δαρεῖος οὐδὲ πρόσθεν ἔληξε τῆς φυγῆς πρὶν ξυλληφθῆναι ὑπὸ τῶν ἀμφὶ Βῆσσον καὶ προσάγοντος ἤδη Ἀλεξάνδρου ἀποθανεῖν, πρὸς Ἀρβήλοις γενέσθαι ὁ πᾶς λόγος κατέχει, καθάπερ οὖν καὶ τὴν πρὸ ταύτης ἐν Ἰσσῷ καὶ τὴν πρώτην ἱππομαχίαν πρὸς Γρανίκῳ.

[5] ἀλλὰ πρὸς Γρανίκῳ μὲν ξυνέβη <ἡ> μάχη ἡ ἱππικὴ καὶ πρὸς Ἰσσῷ ἡ αὖθις πρὸς Δαρεῖον μάχη, Ἄρβηλα δὲ τοῦ χώρου, ἐν ᾧ τὴν ἐσχάτην μάχην Δαρεῖός τε καὶ Ἀλέξανδρος ἐμαχέσαντο, οἱ μὲν τὰ πλεῖστα ξυγγράψαντες λέγουσιν ὅτι ἑξακοσίους σταδίους ἀπέχει, οἱ δὲ τὰ ἐλάχιστα, ὅτι ἐς πεντακοσίους. ἀλλὰ ἐν Γαυγαμήλοις γὰρ γενέσθαι τὴν μάχην πρὸς ποταμῷ Βουμήλῳ λέγει Πτολεμαῖος καὶ Ἀριστόβουλος.

[6] πόλις δὲ οὐκ ἦν τὰ Γαυγάμηλα, ἀλλὰ κώμη μεγάλη, οὐδὲ ὀνομαστὸς ὁ χῶρος οὐδὲ ἐς ἀκοὴν ἡδὺ τὸ ὄνομα· ἔνθεν δή μοι δοκεῖ πόλις οὖσα τὰ Ἄρβηλα ἀπηνέγκατο τὴν δόξαν τῆς μεγάλης μάχης. εἰ δὲ πρὸς Ἀρβήλοις χρὴ οἴεσθαι γενέσθαι τὸ ἔργον ἐκεῖνο ἐς τοσόνδε Ἀρβήλων ἀπέχον, καὶ τὴν ἐν Σαλαμῖνι γενομένην ναυμαχίαν πρὸς ἰσθμῷ τῷ Κορινθίων ἔξεστι λέγειν ὅτι ἐγένετο, καὶ τὴν ἐπ᾽ Ἀρτεμισίῳ τῆς Εὐβοίας πρὸς Αἰγίνῃ ἢ Σουνίῳ.

[7] Καὶ μὴν ὑπὲρ τῶν ὑπερασπισάντων ἐν τῷ κινδύνῳ Ἀλεξάνδρου, Πευκέσταν μὲν γενέσθαι ξύμπαντες ὁμολογοῦσιν, ὑπὲρ Λεοννάτου δὲ οὐκέτι ξυμφέρονται οὐδὲ ὑπὲρ Ἀβρέου τοῦ διμοιρίτου. καὶ οἱ μὲν ξύλῳ πληγέντα κατὰ τοῦ κράνους Ἀλέξανδρον καὶ ἰλιγγιάσαντα πεσεῖν, αὖθις δὲ ἀναστάντα βληθῆναι βέλει διὰ τοῦ θώρακος ἐς τὸ στῆθος· Πτολεμαῖος δὲ ὁ Λάγου ταύτην μόνην τὴν πληγὴν πληγῆναι λέγει τὴν ἐς τὸ στῆθος. [8] τὸ δὲ δὴ μέγιστον πλημμέλημα τῶν ξυγγραψάντων τὰ ἀμφὶ Ἀλέξανδρον ἐκεῖνο τίθεμαι ἔγωγε.

realidad ocurrió mientras se hallaba entre los malios, que son un pueblo independiente de la India, en una ciudad de los malios y a manos de los mismos. Estos malios habían planeado unirse, efectivamente, a los oxídracos y hacer frente conjunto a Alejandro; pero ocurrió que Alejandro se les adelantó al cruzar el desierto a toda marcha para caer sobre los malios antes de que éstos recibieran ayuda de los oxídracos o éstos la pudieran recibir de aquéllos. [4] De igual modo, sostiene la tradición más difundida [235] que fue en Arbela donde se desarrolló la que fue última batalla de Alejandro y Darío, en la que éste se dio a la fuga hasta ser capturado por Beso y sus secuaces, y muerto cuando ya Alejandro casi les daba alcance. También afirma esta tradición que la batalla anterior a ésta tuvo lugar en Iso, y el primer encuentro de ambas caballerías en Gránico. [5] Efectivamente, es cierto que en Gránico se desarrolló una batalla de caballería y en Iso fue el siguiente encuentro con Darío; ahora bien, la mayoría de los historiadores defienden que Arbela dista unos seiscientos estadios [236] del lugar en que acaeció la última batalla entre Darío y Alejandro, y otros, que reducen algo esa distancia, afirman que están alejados ambos lugares unos quinientos estadios. Por ejemplo, Tolomeo y Aristobulo nos dicen que la batalla se desarrolló en Gaugamela, junto al río Bumodo [237]. [6] Lo que ocurrió, sin embargo, es que Gaugamela no era una ciudad importante, sino sólo una aldea de regular importancia, y que incluso su nombre no era famoso ni resultaba eufónico, y fue por ello, creo yo, por lo que Arbela, al ser una ciudad, quedó con la fama de tan importante batalla [238]. Resulta, pues, que si vamos a admitir que el combate se desarrolló en Arbela, siendo así que su verdadero escenario dista mucho de Arbela, habremos de admitir igualmente que el combate naval librado en Salamina se desarrolló en el golfo de Corinto, y que la batalla del cabo Artemisio, en la isla de Eubea, tuvo lugar en Egina o en el cabo Sunion. [7] En lo que sí concuerdan todos los testimonios es en que fue Peucestas uno de los que protegieron con su escudo a Alejandro en aquella ocasión de peligro, y sólo algunos citan a Leónato y a Ábreo el *dimoirítes* [239]. A propósito de la herida de Alejandro, unos dicen que fue herido en la cabeza por una piedra que le provocó la pérdida del conocimiento, cayendo a tierra, aunque pudo luego recuperarse y ponerse en pie, para ser de nuevo alcanzado por un dardo que le atravesó la coraza hasta clavarse en su pecho. Según Tolomeo, sin embargo, Alejandro recibió sólo esta herida en el pecho.[8] Por mi parte, yo he de decir que son en pasajes como éste donde yo descubro las mayores inexactitudes en los relatos escritos por los historiadores de Alejandro.

Πτολεμαῖον γὰρ τὸν Λάγου ἔστιν οἳ ἀνέγραψαν ξυναναβῆναί τε Ἀλεξάνδρῳ κατὰ τὴν κλίμακα ὁμοῦ Πευκέστᾳ καὶ ὑπερασπίσαι κειμένου, καὶ ἐπὶ τῷδε Σωτῆρα ἐπικληθῆναι τὸν Πτολεμαῖον· καίτοι αὐτὸς Πτολεμαῖος ἀναγέγραφεν οὐδὲ παραγενέσθαι τούτῳ τῷ ἔργῳ, ἀλλὰ στρατιᾶς γὰρ αὐτὸς ἡγούμενος ἄλλας μάχεσθαι μάχας καὶ πρὸς ἄλλους βαρβάρους. ταῦτα μὲν δὴ ἐν ἐκβολῇ τοῦ λόγου ἀναγεγράφθω μοι, ὡς μὴ ἀταλαίπωρον γίγνεσθαι τοῖς ἔπειτα ἀνθρώποις τὴν ὑπὲρ τῶν τηλικούτων ἔργων τε καὶ παθημάτων ἀφήγησιν.

12. Ἐν ᾧ δὲ Ἀλέξανδρος αὐτοῦ μένων τὸ τραῦμα ἐθεραπεύετο, ἐς τὸ στρατόπεδον, ἔνθενπερ ὡρμήθη ἐπὶ τοὺς Μαλλούς, ὁ μὲν πρῶτος λόγος ἧκεν ὅτι τεθνηκὼς εἴη ἐκ τοῦ τραύματος. καὶ τὰ μὲν πρῶτα οἰμωγὴ ἦν τῆς στρατιᾶς ξυμπάσης ἄλλου ἄλλῳ παραδιδόντος τὴν φήμην· παυσάμενοι δὲ τῆς οἰμωγῆς ἄθυμοί τε καὶ ἄποροι ἦσαν, ὅστις μὲν ἐξηγούμενος ἔσται τῆς στρατιᾶς [2] (πολλοῖς γὰρ δὴ ἐν ἴσῳ τὰ τῆς ἀξιώσεως ἐδόκει πρός τε αὐτοῦ Ἀλεξάνδρου καὶ πρὸς Μακεδόνων καθεστηκέναι), ὅπως δὲ ἀποσωθήσονται ἐς τὴν οἰκείαν, τοσούτων μὲν ἐθνῶν μαχίμων περιειργόντων σφᾶς ἐν κύκλῳ, τῶν μὲν οὔπω προσκεχωρηκότων, ἃ δὴ ὑπὲρ τῆς ἐλευθερίας εἴκαζον ἀγωνιεῖσθαι καρτερῶς, τῶν δὲ ἀποστησομένων ἀφαιρεθέντος αὐτοῖς τοῦ Ἀλεξάνδρου φόβου, ποταμῶν τε ἐν μέσῳ ἀδιαβάτων τότε δὴ ἐδόκουν εἶναι καὶ πάντα σφίσιν ἄπορα καὶ ἀμήχανα ἐρήμοις Ἀλεξάνδρου ἐφαίνετο. [3] ὡς δὲ ἧκέ ποτε λόγος ὅτι ζῇ Ἀλέξανδρος, τούτῳ μὲν μόγις ξυνεχώρησαν, εἰ δὲ καὶ βιώσιμός ἐστιν, οὔπω ἐπιστεύετο. ὡς δὲ καὶ γράμματα παρ᾽ αὐτοῦ ἧκεν ὅτι ὅσον οὔπω κατελεύσεται ἐπὶ τὸ στρατόπεδον, οὐδὲ ταῦτα τοῖς πολλοῖς ὑπὸ τοῦ ἄγαν δέους πιστὰ ἐφαίνετο, ἀλλὰ πλάττεσθαι γὰρ πρὸς τῶν ἀμφ᾽ αὐτὸν σωματοφυλάκων τε καὶ στρατηγῶν εἰκάζετο.

13. Καὶ ταῦτα ἐννοήσας Ἀλέξανδρος, μή τι νεωτερισθείη ἐν τῇ στρατιᾷ, ὅτε πρῶτον ἠδυνήθη κομίζεται ἐπὶ τοῦ ποταμοῦ τοῦ Ὑδραώτου τὰς ὄχθας· καὶ πλέων κατὰ τὸν ποταμόν (ἦν γὰρ τὸ στρατόπεδον ἐπὶ ταῖς ξυμβολαῖς τοῦ τε Ὑδραώτου καὶ τοῦ Ἀκεσίνου, ἵνα Ἡφαιστίων τε ἐπὶ τῆς στρατιᾶς ἦν καὶ Νέαρχος τὸ ναυτικὸν αὐτῷ εἶχεν), ὡς [δὲ] ἐπέλαζεν

Por ejemplo: algunos dicen que Tolomeo, el hijo de Lago, fue uno de los que subieron por la escalera con Alejandro, acompañado también de Peucestas, y que protegió con su escudo al rey cuando éste quedó postrado en tierra, a resultas de lo cual Tolomeo recibió el sobrenombre de «Salvador». Sin embargo, el propio Tolomeo nos ha dejado dicho en sus escritos que ni siquiera estuvo presente en esta batalla, sino que se hallaba a la sazón al frente de sus tropas combatiendo con tribus bárbaras de otra región. Yo he hecho ahora esta digresión, a fin de que el relato de tan grandes hazañas y sufrimientos no resulte falto de exactitud para los hombres venideros [240].

Rumor de que Alejandro ha muerto.

12 Como Alejandro hubo de permanecer allí en reposo para recuperarse de sus heridas, empezó a difundirse por el campamento (campamento que él abandonara al lanzarse al ataque contra los malios) un primer rumor de que había perecido a causa de las heridas recibidas. Al ir pasando de unos a otros este rumor, todo el ejército gemía por lo ocurrido; a los gemidos sucedieron el desánimo y la desesperación ante la falta de un único caudillo para el ejército [2] (ya que eran varios los que por igual tenían categoría para ello en el futuro; valoración en la que habían coincidido Alejandro y los propios macedonios). Veían como cosa incierta el regreso a casa sanos y salvos, rodeados como se hallaban ahora por tantos pueblos belicosos que les cerraban el paso, de los cuales, unos aún no les estaban sometidos, es más, parecían dispuestos a luchar bravamente por defender su libertad; y otros, a buen seguro, en seguida se sublevarían, al desaparecer con Alejandro el miedo que éste provocaba en ellos. Aún más, creían que se hallaban ahora en medio de ríos infranqueables, y en suma, sin Alejandro todo se les hacía dificultades insolubles e irremediables.

[3] Por eso, cuando les llegó la noticia de que Alejandro seguía vivo, no querían darle crédito, y nadie quería creer que pudiera sobrevivir a sus heridas. Llegó incluso una carta del propio Alejandro anunciando que en breve plazo bajaría al campamento, pero la mayoría de sus hombres creía que no era auténtica, sino que se trataba de una carta falsificada por sus oficiales y guardia personal, ¡tanto era el miedo que les embargaba!

Alejandro regresa al campamento.

13 Para prevenir que en el ejército se produjera algún alboroto, decidió Alejandro que le transportaran por la orilla del Hidraotes tan pronto fuera posible. Navegaba, pues, río abajo (el ejército ocupaba un emplazamiento en la confluencia del Hidraotes y el Acesines, donde estaba Hefestión como jefe del ejército y Nearco con su flota), y cuando el barco con

ἡ ναῦς ἤδη τῷ στρατοπέδῳ τὸν βασιλέα φέρουσα, κελεύει δὴ ἀφελεῖν τὴν σκηνὴν ἀπὸ τῆς πρύμνης, ὡς καταφανὴς εἶναι πᾶσιν. [2] οἱ δὲ ἔτι ἠπίστουν, ὡς νεκροῦ δῆθεν κομιζομένου Ἀλεξάνδρου, πρίν γε δὴ προσχούσης τῆς νεὼς τῇ ὄχθῃ ὁ μὲν τὴν χεῖρα ἀνέτεινεν ἐς τὸ πλῆθος· οἱ δὲ ἀνεβόησαν, ἐς τὸν οὐρανὸν ἀνασχόντες τὰς χεῖρας, οἱ δὲ πρὸς αὐτὸν Ἀλέξανδρον· πολλοῖς δὲ καὶ δάκρυα ἐπὶ τῷ ἀνελπίστῳ προεχύθη ἀκούσια. καὶ οἱ μὲν τῶν ὑπασπιστῶν κλίνην προσέφερον αὐτῷ ἐκκομιζομένῳ ἐκ τῆς νεώς, ὁ δὲ τὸν ἵππον προσαγαγεῖν ἐκέλευσεν.
[3] ὡς δὲ ἐπιβὰς τοῦ ἵππου ὤφθη αὖθις, κρότῳ δὴ πολλῷ ἐπεκτύπησεν ἡ στρατιὰ πᾶσα, ἐπήχησαν δὲ αἵ τε ὄχθαι καὶ αἱ πλησίον αὐτῶν νάπαι. προσάγων δὲ ἤδη τῇ σκηνῇ καταβαίνει ἀπὸ τοῦ ἵππου, ὥστε καὶ βαδίζων ὀφθῆναι. οἱ δὲ ἐπέλαζον ἄλλος ἄλλοθεν, οἱ μὲν χειρῶν, οἱ δὲ γονάτων, οἱ δὲ τῆς ἐσθῆτος αὐτῆς ἁπτόμενοι, οἱ δὲ καὶ ἰδεῖν ἐγγύθεν καί τι καὶ ἐπευφημήσαντες ἀπελθεῖν· οἱ δὲ ταινίαις ἔβαλλον, οἱ δὲ ἄνθεσιν, ὅσα ἐν τῷ τότε ἡ Ἰνδῶν γῆ παρεῖχε. [4] Νέαρχος δὲ λέγει, ὅτι χαλεποὶ αὐτῷ τῶν φίλων ἐγένοντο ὅσοι ἐκάκιζον, ὅτι αὐτὸς πρὸ τῆς στρατιᾶς κινδυνεύοι· οὐ γὰρ στρατηγοῦ ταῦτα, ἀλλὰ στρατιώτου εἶναι. καί μοι δοκεῖ ἄχθεσθαι Ἀλέξανδρος τοῖσδε τοῖς λόγοις, ὅτι ἀληθεῖς τε ὄντας ἐγίγνωσκε καὶ αὑτὸν ὑπαίτιον τῇ ἐπιτιμήσει. καὶ ὅμως ὑπὸ μένους τε τοῦ ἐν ταῖς μάχαις καὶ τοῦ ἔρωτος τῆς δόξης, καθάπερ οἱ ἄλλης τινὸς ἡδονῆς ἐξηττώμενοι, οὐ καρτερὸς ἦν ἀπέχεσθαι τῶν κινδύνων. [5] ἄνθρωπον δέ τινα πρεσβύτερον λέγει Βοιώτιον, τὸ δὲ ὄνομα τοῦ ἀνθρώπου οὐ λέγει, ὡς ἀχθόμενόν τε πρὸς τὰς ἐπιτιμήσεις τῶν φίλων κατέμαθεν Ἀλέξανδρον καὶ ἐσκυθρωπακότα, προσελθόντα τοῦτον βοιωτιάζοντα ἅμα τῇ φωνῇ ταῦτα φάναι· ὦ Ἀλέξανδρε, ἀνδρῶν τὰ ἔργα· καί τι καὶ ἰαμβεῖον ὑπειπεῖν, τὸν δὲ νοῦν εἶναι τοῦ ἰαμβείου ὅτι τῷ τι δρῶντι καὶ παθεῖν ἔστιν ὀφειλόμενον. καὶ τοῦτον ἔν τε τῷ παραυτίκα εὐδοκιμῆσαι καὶ ἐπιτηδειότερον ἐς τὸ ἔπειτα Ἀλεξάνδρῳ γενέσθαι.

14. Ἐν τούτῳ δὲ ἀφίκοντο παρὰ Ἀλέξανδρον τῶν Μαλλῶν τῶν ὑπολειπομένων πρέσβεις ἐνδιδόντες τὸ ἔθνος, καὶ παρὰ Ὀξυδρακῶν οἵ τε ἡγεμόνες τῶν πόλεων καὶ οἱ νομάρχαι αὐτοὶ καὶ ἄλλοι ἅμα τούτοις ἑκατὸν καὶ πεντήκοντα οἱ γνωριμώτατοι αὐτοκράτορες περὶ σπονδῶν

Alejandro a bordo se acercó al campamento, ordenó que recogieran el toldo de proa para que todos sus hombres pudieran verle.
[2] Sus soldados, sin embargo, desconfiaban aún, diciendo que era el cadáver de Alejandro lo que allí transportaban a larga distancia, pero antes de que la nave se acercara a la orilla, Alejandro saludó a su gente levantando la mano; ante esto, sus hombres lanzaron gritos de júbilo, alzando unos sus brazos al cielo, mientras otros se dirigían a él, correspondiéndole al saludo.

Muchos no pudieron evitar que se asomaran unas lágrimas a sus ojos ante aquella realidad inesperada. Algunos de los hipaspistas le acercaron una litera para descender del barco, ante lo cual él reaccionó dando orden de que le trajeran un caballo. [3] Fue ahora, al verle montado a caballo, cuando toda su gente prorrumpió en grandes aplausos, devolviendo el eco la orilla y los cercanos valles. Al acercarse a su tienda, se apeó Alejandro de su caballo para que le vieran pasear. Sus hombres corrían todos a acercársele, unos por aquí, otros por allá, tocándole las manos, las piernas y sus vestidos; otros, tras haberle visto tan de cerca y haberle saludado, se marcharon sin más. A su paso unos le arrojaban guirnaldas, otros flores, cuantas crecen en la India.
[4] Nos dice Nearco que Alejandro se molestó con algunos de sus amigos que le afearon que se arriesgara a pasear así delante de su ejército, conducta —decían— más propia de un soldado que del jefe del ejército. A mi parecer, Alejandro se sintió molesto ante estos reproches precisamente porque tenía conciencia de que eran verdaderos, y de que él se había hecho acreedor a esa censura, y, sin embargo, no fue capaz de sustraerse (al igual que otros no pueden hacerlo a cualquier otro placer) a correr estos riesgos, al igual que no sabía sustraerse a actuar con valentía en los combates, ni a su afán de gloria.
[5] También nos dice Nearco que un beocio, ya de considerable edad (aunque no nos consta su nombre), percatado de la irritación y malhumor de Alejandro por los reproches de sus amigos, se acercó a él y en su lengua bárbara le dijo: «Alejandro, de hombres son las gestas», añadiendo luego un trímero yámbico que decía más o menos: *para quien hace algo grande es el sufrimiento pago* [241].

El beocio se granjeó con esta intervención la inmediata estima de Alejandro, así como su amistad ya desde ahora.

14 En esto, se presentaron ante Alejandro unos embajadores del resto de los malios, dispuestos a rendirse a Alejandro. También comparecieron los jefes de las ciudades oxídracas, sus nomarcos, a más de ciento cincuenta personajes influyentes con plenos poderes para negociar,

δῶρά τε ὅσα μέγιστα παρ᾽. Ἰνδοῖς κομίζοντες καὶ τὸ ἔθνος καὶ οὗτοι ἐνδιδόντες. [2] συγγνωστὰ δὲ ἁμαρτεῖν ἔφασαν οὐ πάλαι παρ᾽· αὐτὸν πρεσβευσάμενοι· ἐπιθυμεῖν γάρ, ὥσπερ τινὲς ἄλλοι, ἔτι μᾶλλον αὐτοὶ ἐλευθερίας τε καὶ αὐτόνομοι εἶναι, ἥντινα ἐλευθερίαν ἐξ ὅτου Διόνυσος ἐς Ἰνδοὺς ἧκε σώαν σφίσιν εἶναι ἐς Ἀλέξανδρον· εἰ δὲ Ἀλεξάνδρῳ δοκοῦν ἐστιν, ὅτι καὶ Ἀλέξανδρον ἀπὸ θεοῦ[I] γενέσθαι λόγος κατέχει, σατράπην τε ἀναδέξεσθαι, ὅντινα τάττοι Ἀλέξανδρος, καὶ φόρους ἀποίσειν τοὺς Ἀλεξάνδρῳ δόξαντας· διδόναι δὲ καὶ ὁμήρους ἐθέλειν ὅσους ἂν αἰτῇ Ἀλέξανδρος. [3] ὁ δὲ χιλίους ᾔτησε τοὺς κρατιστεύοντας τοῦ ἔθνους, οὕς, εἰ μὲν βούλοιτο, ἀντὶ ὁμήρων καθέξειν, εἰ δὲ μή, ξυστρατεύοντας ἕξειν ἔστ᾽ ἂν διαπολεμηθῇ αὐτῷ πρὸς τοὺς ἄλλους Ἰνδούς. οἱ δὲ τούς τε χιλίους ἔπεμψαν, τοὺς κρατίστους καὶ μεγίστους σφῶν ἐπιλεξάμενοι, καὶ ἅρματα πεντακόσια οὐκ αἰτηθέντες καὶ τοὺς ἀμβάτας τῶν ἁρμάτων. Ἀλέξανδρος δὲ σατράπην μὲν τούτοις τε καὶ τῶν Μαλλῶν τοῖς ἔτι σωζομένοις ἐπέταξε Φίλιππον· τοὺς ὁμήρους δὲ αὐτοῖς ἀφῆκεν, τὰ δὲ ἅρματα ἔλαβεν. [4] Ὡς δὲ ταῦτα αὐτῷ κεκόσμητο καὶ πλοῖα ἐπὶ τῇ διατριβῇ τῇ ἐκ τοῦ τραύματος πολλὰ προσεναυπήγητο, ἀναβιβάσας ἐς τὰς ναῦς τῶν μὲν ἑταίρων ἱππέας ἑπτακοσίους καὶ χιλίους, τῶν ψιλῶν δὲ ὅσουσπερ καὶ πρότερον, πεζοὺς δὲ ἐς μυρίους, ὀλίγον μέν τι τῷ Ὑδραώτῃ ποταμῷ κατέπλευσεν, ὡς δὲ συνέμιξεν ὁ Ὑδραώτης τῷ Ἀκεσίνῃ, ὅτι ὁ Ἀκεσίνης κρατεῖ τοῦ Ὑδραώτου [ἐν] τῇ ἐπωνυμίᾳ, κατὰ τὸν Ἀκεσίνην αὖ ἔπλει, ἔστε ἐπὶ τὴν ξυμβολὴν τοῦ Ἀκεσίνου καὶ τοῦ Ἰνδοῦ ἧκεν. [5] τέσσαρες γὰρ οὗτοι μεγάλοι ποταμοὶ καὶ ναυσίποροι οἱ τέσσαρες εἰς τὸν Ἰνδὸν ποταμὸν τὸ ὕδωρ ξυμβάλλουσιν, οὐ ξὺν τῇ σφετέρᾳ ἕκαστος ἐπωνυμίᾳ, ἀλλὰ ὁ Ὑδάσπης μὲν ἐς τὸν Ἀκεσίνην ἐμβάλλει, ἐμβαλὼν δὲ τὸ πᾶν ὕδωρ Ἀκεσίνην παρέχεται καλούμενον· αὖθις δὲ ὁ Ἀκεσίνης οὗτος ξυμβάλλει τῷ Ὑδραώτῃ, καὶ παραλαβὼν τοῦτον ἔτι Ἀκεσίνης ἐστί· καὶ τὸν Ὕφασιν ἐπὶ τούτῳ ὁ Ἀκεσίνης παραλαβὼν τῷ αὑτοῦ δὴ ὀνόματι ἐς τὸν Ἰνδὸν ἐμβάλλει· ξυμβαλὼν δὲ ξυγχωρεῖ δὴ τῷ Ἰνδῷ. ἔνθεν δὴ ὁ Ἰνδὸς πρὶν ἐς τὸ Δέλτα σχισθῆναι οὐκ ἀπιστῶ ὅτι καὶ ἐς ἑκατὸν σταδίους ἔρχεται καὶ ὑπὲρ τοὺς ἑκατὸν τυχόν, ἵναπερ λιμνάζει μᾶλλον.

[I] [1]θεοῦ es la lectura de todos los MSS. de los excerpta de legationibus: θεῶν A.

dispuestos también a ponerse de parte de Alejandro, para quien traían los regalos que más estiman los indios. [2] Dijeron éstos que esperaban supiera disculparles por no haberle enviado embajadores hasta este momento, pero que ahora deseaban, como muchos otros, vivir en libertad e independencia, libertad en que habían vivido ininterrumpidamente desde que Dioniso vino a la India hasta este día. Ellos estaban dispuestos, dado que Alejandro era de ascendencia divina, y si así lo estimaba oportuno, a aceptar como sátrapa a quien Alejandro designase, a pagarle los tributos que él creyera necesario, así como, finalmente, a ofrecerle los rehenes que el propio Alejandro solicitara. [3] Alejandro pidió mil hombres, los más influyentes del pueblo, a los que retendría como rehenes, o si así le convenía dispondría de ellos para que sirvieran en sus filas mientras durasen sus campañas contra los demás indios. Efectivamente, enviaron a los mil hombres, seleccionados como los más influyentes y poderosos de la ciudad, a más de quinientos carros con sus aurigas, aunque Alejandro no había solicitado los carros.

Nombró a Filipo sátrapa de este pueblo y del resto de los malios, y liberó acto seguido a los rehenes, aunque se quedó con los carros. [4] Una vez en orden todos estos asuntos, y tan pronto como quedaron listas las naves que habían estado construyendo mientras Alejandro se restablecía de sus heridas, hizo embarcar éste mil setecientos jinetes de los Compañeros, igual número de soldados de infantería ligera que antes, y diez mil infantes para descender un corto trayecto río abajo por el Hidraotes. Como éste desemboca en el Acesines (es éste quien pasa a denominar esta parte del río) continuó su navegación por el Acesines hasta llegar a la confluencia del Acesines y del Indo. [5] Se trata de que estos cuatro grandes ríos, navegables todos ellos, desembocan en el Indo [242], aunque no mantienen todos sus respectivos nombres originarios, sino que el Hidaspes, que es un afluente del Acesines, pierde su nombre al desembocar en éste, y pasa a llamarse Acesines. A su vez, el Acesines se une con el Hidraotes, uno de sus afluentes, conservando el nombre de Acesines. El Acesines recibe más adelante como afluente el Hífasis, y lleva sus aguas y desemboca, conservando su mismo nombre dé· Acesines, en el Indo. De todo esto resulta que el Indo alcanza en su desembocadura, y antes de diseminarse en su delta, unos cien estadios de ancho [243], y por encima de los cien cuando parece ya más un lago que un río.

15. Ἐνταῦθα ἐπὶ ταῖς ξυμβολαῖς τοῦ Ἀκεσίνου καὶ Ἰνδοῦ προσέμενεν ἔστε ἀφίκετο αὐτῷ ξὺν τῇ στρατιᾷ Περδίκκας καταστρεψάμενος ἐν παρόδῳ τὸ Ἀβαστανῶν ἔθνος αὐτόνομον. ἐν τούτῳ δὲ ἄλλαι τε προσγίγνονται Ἀλεξάνδρῳ τριακόντοροι καὶ πλοῖα στρογγύλα ἄλλα, ἃ δὴ ἐν Ξάθροις ἐναυπηγήθη αὐτῷ, καὶ <Σόγδοι> ἄλλο ἔθνος Ἰνδῶν αὐτόνομον προσεχώρησαν. καὶ παρὰ Ὀσσαδίων, καὶ τούτου γένους αὐτονόμου Ἰνδικοῦ, πρέσβεις ἧκον, ἐνδιδόντες καὶ οὗτοι τοὺς Ὀσσαδίους. [2] Φιλίππῳ μὲν δὴ τῆς σατραπείας ὅρους ἔταξε τὰς συμβολὰς τοῦ Ἀκεσίνου καὶ Ἰνδοῦ καὶ ἀπολείπει ξὺν αὐτῷ τούς τε Θρᾷκας πάντας καὶ ἐκ τῶν τάξεων ὅσοι ἐς φυλακὴν τῆς χώρας ἱκανοὶ ἐφαίνοντο, πόλιν τε ἐνταῦθα κτίσαι ἐκέλευσεν ἐπ᾽ αὐτῇ τῇ ξυμβολῇ τοῖν ποταμοῖν, ἐλπίσας μεγάλην τε ἔσεσθαι καὶ ἐπιφανῆ ἐς ἀνθρώπους, καὶ νεωσοίκους ποιηθῆναι. [3] ἐν τούτῳ δὲ καὶ Ὀξυάρτης ὁ Βάκτριος, ὁ Ῥωξάνης τῆς γυναικὸς τῆς Ἀλεξάνδρου πατήρ, ἧκε παρ᾽ Ἀλέξανδρον καὶ προστίθησιν αὐτῷ Παραπαμισαδῶν σατραπεύειν, ἀπαλλάξας Τυρίεσπιν τὸν πρόσθεν σατράπην, ὅτι οὐκ ἐν κόσμῳ ἐξηγεῖσθαι αὐτῷ ὁ Τυρίεσπις ἐξήγγελτο. [4] Ἔνθα δὴ διαβιβάσας Κρατερόν τε καὶ τῆς στρατιᾶς τὴν πολλὴν καὶ τοὺς ἐλέφαντας ἐπ᾽ ἀριστερὰ τοῦ Ἰνδοῦ ποταμοῦ, ὅτι εὐπορώτερά τε ταύτῃ τὰ παρὰ τὸν ποταμὸν στρατιᾷ βαρείᾳ ἐφαίνετο καὶ τὰ ἔθνη τὰ προσοικοῦντα οὐ πάντῃ φίλια ἦν, αὐτὸς κατέπλει ἐς τῶν Σόγδων τὸ βασίλειον. καὶ ἐνταῦθα πόλιν τε ἐτείχιζεν ἄλλην καὶ νεωσοίκους ἐποίει ἄλλους καὶ τὰ πλοῖα αὐτῷ τὰ πεπονηκότα ἐπεσκευάσθη. τῆς δὲ ἀπὸ τῶν ξυμβολῶν τοῦ τε Ἰνδοῦ καὶ Ἀκεσίνου χώρας ἔστε ἐπὶ θάλασσαν σατράπην ἀπέδειξε [ν Ὀξυάρτην καὶ] Πείθωνα ξὺν τῇ παραλίᾳ πάσῃ τῆς Ἰνδῶν γῆς. [5] Καὶ Κρατερὸν μὲν ἐκπέμπει αὖθις ξὺν τῇ στρατιᾷ διὰ τῆς Ἀραχωτῶν καὶ Δραγγῶν γῆς,[I] αὐτὸς δὲ κατέπλει ἐς τὴν Μουσικανοῦ ἐπικράτειαν, ἥντινα

15 Permaneció Alejandro en la confluencia del Acesines y del Indo hasta que se le unió Perdicas y su ejército, una vez dominado el pueblo de los abástanos, pueblo independiente de esta región. Allí se le añadieron otros triacóntoros y naves de transporte construidas por los jatros, otro pueblo indio independiente que se había puesto de su parte. Comparecieron también unos embajadores de otros pueblos independientes de la India, los llamados osadios, dispuestos a poner a su pueblo a disposición de Alejandro.

[2] Fijó Alejandro como límites de la satrapía de Filipo la confluencia del Acesines y el Indo, asignándole como destacamento todos los tracios y los batallones necesarios para defender la región. Ordenó también fundar una ciudad en la misma confluencia de ambos ríos, ya que era de esperar para ella un futuro de grandeza y esplendor entre los hombres, dotándola incluso de unos astilleros [244].

[3] Por este tiempo se presentó ante Alejandro el bactrio Oxiartes, padre de Roxana, mujer de Alejandro [245], a quien añadió la satrapía de Parapamisada, regentada hasta ahora por Tiriaspes, a quien no había tenido más remedio que destituir del cargo por su mala gestión al frente del mismo, según las noticias que hasta él habían llegado.

[4] Dispuso entonces Alejandro que Crátero, la mayor parte del ejército y los elefantes cruzaran a la orilla izquierda del Indo, por ser ésta una zona más apta para el avance del ejército pesado y porque, además, algunos pueblos vecinos de dicha orilla permanecían aún hostiles a Alejandro. Mientras tanto, él se puso en camino, río abajo, hacia la residencia real de Sogdia. Fortificó allí una nueva ciudad, dotada también de astilleros, donde reparó los daños de algunas de sus naves, y nombró sátrapas de esta región, que limita con la confluencia del Indo y Acesines hasta el mar y toda la franja costera de India, a Oxiartes y Pitón.

[5] Despachó nuevamente a Crátero con su ejército a través del territorio de los aracosios y drangianos [246], mientras él continuaba río abajo hacia los dominios de Musícano (país el más feliz [247] de la India, según las noticias a él llegadas), dado que ni su propio rey, Musícano, había

[I] Las palabras entre corchetes aquí y en 4 generalmente se consideran glosas, ya que la afirmación sobre O. es falsa (última nota), y Crátero todavía está con el ejército principal en el § 7, y su marcha hacia Arachotia está fechada más tarde en 17, 3; erróneamente según Bosworth, CQ 1976, quien sostiene que A. encontró incompatibles cuentas en sus fuentes principales y sin darse cuenta dio ambas. Seguramente tiene razón (en su nota sobre iii 25, 7) en que la oscilación de A entre drangiano y zarangiano, como aquí y en 17, 3, muestra que Ar. y pt. adoptó diferentes formas; A. usó lo que encontró en la fuente que estaba siguiendo (una indicación de que, cualquiera que A. prefiriera, la narrativa militar a veces sigue a Ar.). Pero «drangiano» era la forma griega habitual, que también un glosador habría utilizado naturalmente. En § 4 el singular 'sátrapa' seguramente puede estar en aposición a una sola persona, es decir, Pitón, hijo de Agenor (Berve núm. 619), quien está ampliamente atestiguado como sátrapa de

εὐδαιμονεστάτην τῆς Ἰνδῶν γῆς εἶναι ἐξηγγέλλετο, ὅτι οὔπω οὔτε ἀπηντήκει αὐτῷ Μουσικανὸς ἐνδιδοὺς αὑτόν τε καὶ τὴν χώραν οὔτε πρέσβεις ἐπὶ φιλίᾳ ἐκπέμπει, οὐδέ τι οὔτε αὐτὸς ἐπεπόμφει ἃ δὴ μεγάλῳ βασιλεῖ εἰκός, οὔτε τι ᾐτήκει ἐξ Ἀλεξάνδρου. [6] καὶ γίγνεται αὐτῷ ὁ πλοῦς κατὰ τὸν ποταμὸν ἐς τοσόνδε ἐσπουδασμένος ὥστε ἔφθη ἐπὶ τοῖς ὁρίοις γενέσθαι τῆς Μουσικανοῦ χώρας, πρὶν πυθέσθαι Μουσικανὸν ὅτι ὥρμηται ὡς ἐπ᾽ αὐτὸν Ἀλέξανδρος. οὕτω δὴ ἐκπλαγεὶς κατὰ τάχος ἀπήντα Ἀλεξάνδρῳ, δῶρά τε τὰ πλείστου ἄξια παρ᾽ Ἰνδοῖς κομίζων καὶ τοὺς ἐλέφαντας ξύμπαντας ἄγων καὶ τὸ ἔθνος τε καὶ αὑτὸν ἐνδιδοὺς καὶ ὁμολογῶν ἀδικεῖν, ὅπερ μέγιστον παρ᾽ Ἀλεξάνδρῳ ἦν ἐς τὸ τυχεῖν ὧν τις δέοιτο. [7] καὶ οὖν καὶ Μουσικανῷ ἐπὶ τοῖσδε ἄδεια ἐδόθη ἐξ Ἀλεξάνδρου, καὶ τὴν πόλιν ἐθαύμασεν Ἀλέξανδρος καὶ τὴν χώραν, καὶ ἄρχειν αὐτῆς Μουσικανῷ ἔδωκεν· Κρατερὸς δὲ ἐν τῇ πόλει ἐτάχθη τὴν ἄκραν ἐκτειχίσαι· καὶ παρόντος ἔτι ἐτειχίσθη Ἀλεξάνδρου καὶ φυλακὴ κατεστάθη, ὅτι ἐπιτήδειον αὐτῷ ἐφάνη τὸ χωρίον ἐς τὸ κατέχεσθαι τὰ κύκλῳ ἔθνη φυλαττόμενα.

16. Ἔνθεν δὲ ἀναλαβὼν τούς τε τοξότας καὶ τοὺς Ἀγριᾶνας καὶ τὴν ἵππον τὴν ἅμα οἷ πλέουσαν ἐξελαύνει ἐπὶ τὸν νομάρχην τῆς ταύτῃ γῆς, ὄνομα δὲ ἦν Ὀξικανός, ὅτι μήτε αὐτὸς ἀφῖκτο μήτε πρέσβεις παρ᾽ αὐτοῦ ἧκον ἐνδιδόντες αὑτόν τε καὶ τὴν χώραν. [2] δύο μὲν δὴ τὰς μεγίστας πόλεις τῶν ὑπὸ τῷ Ὀξικανῷ ἐξ ἐφόδου κατὰ κράτος ἔλαβεν, ἐν δὲ τῇ ἑτέρᾳ τούτων καὶ αὐτὸς Ὀξικανὸς ἑάλω. ὁ δὲ τὴν μὲν λείαν τῇ στρατιᾷ δίδωσι, τοὺς ἐλέφαντας δὲ ἅμα οἷ ἦγε· καὶ <αἱ> ἄλλαι δὲ πόλεις αὐτῷ αἱ ἐν τῇ αὐτῇ χώρᾳ ἐνεδίδοντο ἐπιόντι οὐδέ τις ἐτρέπετο ἐς ἀλκήν· οὕτω καὶ Ἰνδοὶ πάντες ἐδεδούλωντο ἤδη τῇ γνώμῃ πρὸς Ἀλεξάνδρου τε καὶ τῆς Ἀλεξάνδρου τύχης.

[3] Ὁ δὲ ἐπὶ Σάμβον αὖ ἦγε τῶν ὀρείων Ἰνδῶν σατράπην ὑπ᾽ αὐτοῦ κατασταθέντα, ὃς πεφευγέναι αὐτῷ ἐξηγγέλλετο ὅτι Μουσικανὸν ἀφειμένον πρὸς Ἀλεξάνδρου ἐπύθετο καὶ τῆς χώρας τῆς ἑαυτοῦ ἄρχοντα· τὰ γὰρ πρὸς Μουσικανὸν αὐτῷ πολέμια ἦν. [4] ὡς δὲ ἐπέλαζεν

comparecido ofreciéndose a sí mismo y su país a Alejandro, ni había enviado embajadores para tratar de paz. Es más, ni siquiera le había enviado presente alguno, como era lógico hacer con un gran rey, ni de él había solicitado tampoco nada. [6] El viaje río abajo resultó tan rápido que se presentó en la frontera del territorio Musícano antes de que el propio rey Musícano se hubiera enterado de que Alejandro se había puesto en marcha contra él. Musícano, aterrorizado, salió a su encuentro a toda prisa, llevándole los regalos de mayor aprecio entre los indios, así como todos sus elefantes. El propio rey se le sometió como vasallo y le entregó su pueblo, al tiempo que reconocía no haberse portado debidamente con él. Desde luego, éste era el mejor método para conseguir de Alejandro lo que uno le pedía. [7] Obtuvo, pues, Musícano el perdón de Alejandro, que quedó atónito al contemplar la ciudad y en general el país de los musícanos, permitiendo que sobre él continuara gobernando como hasta ahora Musícano. Encargó, sin embargo, a Crátero que fortificara la acrópolis, cosa que éste hizo inmediatamente mientras Alejandro permanecía en ella. Dejó establecida en la ciudad una guarnición [248], pues le parecía se trataba de un puesto muy idóneo con vistas a controlar y tener vigilados los pueblos de su contorno.

16 Emprendió desde aquí Alejandro una expedición con los arqueros, agrianes y la caballería con él destacada, contra el nomarco de este territorio, de nombre Oxicano, ya que ni se había presentado ante él, ni le había enviado embajadores ofreciendo a su entera disposición su propia persona y su país. [2] Tomó al asalto y por la fuerza las dos mayores ciudades de los oxicanos, en la segunda de las cuales fue capturado el propio rey Oxicano. Alejandro distribuyó el botín entre sus hombres, y se quedó para sí con los elefantes [249]. Las restantes ciudades de la región se le entregaron de buen grado a medida que Alejandro avanzaba, sin que ninguna de ellas intentara siquiera defenderse; hasta tal extremo estaban subyugados los ánimos de todos los indios por Alejandro y sus éxitos [250].

[3] Continuó ahora Alejandro su avance hacia Sambo, a quien había dejado en calidad de sátrapa de los indios que habitan estos montes. Entre Musícano y este Sambo existía desde antiguo cierta enemistad, por lo que Sambo se había fugado ahora (según noticias llegadas a Alejandro) al haberse enterado de que Alejandro había dejado en libertad a Musícano y que éste seguía como jefe de su territorio. [4] Al acercarse Alejandro a

Sind, y en 5 la palabra 'otra vez' sugiere que (como en 4) Crátero fue temporalmente separado de Al., cf. 7, aunque A. característicamente omite detalles e ignora su regreso (cf. v 27, 1; vi 6, 6 nn.). Los ejemplos paralelos de la crasa estupidez que Bosworth imputa a A. no son convincentes.

ἤδη τῇ πόλει Ἀλέξανδρος, ἥντινα μητρόπολιν εἶχεν ἡ τοῦ Σάμβου χώρα, ὄνομα δὲ ἦν τῇ πόλει Σινδίμανα, αἵ τε πύλαι αὐτῷ ἀνοίγονται προσάγοντι καὶ οἱ οἰκεῖοι οἱ τοῦ Σάμβου τά τε χρήματα ἀπηρίθμησαν καὶ τοὺς ἐλέφαντας μετὰ σφῶν ἄγοντες ἀπήντων· οὐ γὰρ δὴ Ἀλεξάνδρῳ γε πολεμίως ἔχοντα Σάμβον φυγεῖν, ἀλλὰ Μουσικανοῦ τὴν ἄφεσιν δείσαντα. [5] ὁ δὲ καὶ ἄλλην πόλιν ἐν τούτῳ ἀποστᾶσαν εἷλεν καὶ τῶν Βραχμάνων, οἳ δὴ σοφισταὶ τοῖς Ἰνδοῖς εἰσιν, ὅσοι αἴτιοι τῆς ἀποστάσεως ἐγένοντο ἀπέκτεινεν. ὑπὲρ ὧν ἐγὼ τῆς σοφίας, εἰ δή τίς ἐστιν, ἐν τῇ Ἰνδικῇ ξυγγραφῇ δηλώσω.

17. Καὶ ἐν τούτῳ Μουσικανὸς αὐτῷ ἀφεστάναι ἐξηγγέλλετο. καὶ ἐπὶ τοῦτον μὲν ἐκπέμπει Πείθωνα τὸν Ἀγήνορος σατράπην ξὺν στρατιᾷ ἀποχρώσῃ, αὐτὸς δὲ τὰς πόλεις τὰς ὑπὸ Μουσικανῷ τεταγμένας ἐπελθὼν τὰς μὲν ἐξανδραποδίσας αὐτῶν κατέσκαψεν, εἰς ἃς δὲ φρουρὰς εἰσήγαγε καὶ ἄκρας ἐξετείχισε. ταῦτα δὲ διαπραξάμενος ἐπὶ τὸ στρατόπεδόν τε ἐπανῆκε καὶ τὸν στόλον. [2] ἔνθα δὴ Μουσικανός τε ξυλληφθεὶς ἄγεται πρὸς Πείθωνος, καὶ τοῦτον κρεμάσαι κελεύει Ἀλέξανδρος ἐν τῇ αὑτοῦ γῇ, καὶ τῶν Βραχμάνων ὅσοι αἴτιοι τῆς ἀποστάσεως τῷ Μουσικανῷ κατέστησαν. ἀφίκετο δὲ αὐτῷ καὶ ὁ τῶν Πατάλων τῆς χώρας ἄρχων, ὃ δὴ τὸ Δέλτα ἔφην εἶναι τὸ πρὸς τοῦ ποταμοῦ τοῦ Ἰνδοῦ ποιούμενον, μεῖζον ἔτι τοῦ Δέλτα τοῦ Αἰγυπτίου, καὶ οὗτος τήν τε χώραν αὐτῷ ἐνεδίδου πᾶσαν καὶ αὑτόν τε καὶ τὰ αὑτοῦ ἐπέτρεψεν. [3] τοῦτον μὲν δὴ ἐπὶ τῇ αὑτοῦ ἀρχῇ ἐκπέμπει αὖθις παραγγείλας παρασκευάζειν ὅσα ἐς ὑποδοχὴν τῇ στρατιᾷ· αὐτὸς δὲ Κρατερὸν μὲν τήν τε Ἀττάλου τάξιν ἄγοντα καὶ τὴν Μελεάγρου καὶ Ἀντιγένους καὶ τῶν τοξοτῶν ἔστιν οὓς καὶ τῶν ἑταίρων τε καὶ ἄλλων Μακεδόνων ὅσους ἐς Μακεδονίαν ἀπομάχους ὄντας ἤδη ἔστελλε τὴν ἐπ᾽ Ἀραχωτῶν καὶ Ζαραγγῶν ἔπεμπεν ἐς Καρμανίαν, καὶ τοὺς ἐλέφαντας τούτῳ ἄγειν ἔδωκεν· [4] τὴν δὲ ἄλλην στρατιάν, ὅση γε μὴ ξὺν αὐτῷ κατέπλει ὡς ἐπὶ θάλασσαν, ... Ἡφαιστίων ἐπετάχθη,[I] Πείθωνα δὲ τούς τε ἱππακοντιστὰς ἄγοντα καὶ τοὺς Ἀγριᾶνας ἐς τὴν ἐπέκεινα ὄχθην τοῦ Ἰνδοῦ διαβιβάσας, οὐχ ᾗπερ Ἡφαιστίων τὴν στρατιὰν ἄγειν ἤμελλε, τάς τε ἐκτετειχισμένας ἤδη πόλεις ξυνοικίσαι

[I] Roos sugirió que la laguna podría llenarse, por ejemplo, con <διχῇ διένειμε· καὶ τῇ μὲν πλείστῃ μοίρᾳ>.

la capital de esta región en que gobernaba Sambo (la ciudad se llama Sindímana), sus habitantes le franquearon las puertas y los parientes de Sambo le ofrecieron sus tesoros y le llevaron los elefantes que tenían, diciéndole que Sambo había escapado no por enemistad con Alejandro, sino por temor de que Musícano estaba en libertad. [5] Capturó Alejandro a continuación una nueva ciudad que intentó rebelarse, condenando a muerte a los brahmanes que habían inducido a la rebelión [251]. Estos brahmanes indios son unos sabios, sobre cuya sabiduría, si alguna tienen, ya hablaré en mi obra sobre la India [252].

Pátala.

17 En este momento le llegaron noticias de la defección de Musícano, ante lo cual Alejandro dispuso que marchara contra él el sátrapa Pitón, hijo de Agenor, con un adecuado contingente de tropas. Él mismo se dirigió a algunas ciudades sometidas a Musícano, redujo a esclavitud a los habitantes de algunas de ellas (arrasándolas hasta los cimientos), mientras que en otras estableció sus propios guardias y fortificó sus ciudadelas. [2] Cumplido este objetivo, regresó al campamento donde estaba también su flota. Pitón se presentó en el campamento trayendo prisionero a Musícano, y Alejandro le dio orden de que le colgara en su propio país e hiciera lo mismo con los brahmanes que habían inducido a la defección de Musícano.

Se presentó ahora ante Alejandro el gobernador del distrito de Pátala, que es el territorio, como dije, donde el Indo forma el delta [253] en su desembocadura, delta que es, por cierto, mayor que el del Nilo en Egipto. Venía a ofrecer su persona a Alejandro y poner a su disposición y bajo sus órdenes todo su territorio. [3] Dispuso Alejandro que se volviera a su ciudad, encareciéndole que preparara todo lo necesario para recibir en la ciudad a sus tropas.

Ordenó por entonces Alejandro que Crátero [254] marchara a Carmania por la ruta de Aracosia y el lago Zaranga [255], llevando consigo el batallón de Átalo, el de Meleagro, el de Antigenes y algunos arqueros, así como todos los Compañeros, los macedonios que volvían a casa por haber quedado inútiles para el servicio de armas, añadiéndole a la expedición también los elefantes. [4] Asignó el mando del resto del ejército (fuera de la parte que con él mismo bajaría por el río hasta llegar al mar) a Hefestión. De otro lado, ordenó a Pitón que al frente de los hipacontistas y los agrianes cruzara a la otra orilla del Indo (es decir, por la opuesta a aquella por la que Hefestión iba a conducir sus hombres) y asentara colonos en

ἐκέλευσε καὶ εἰ δή τινα νεωτερίζοιτο πρὸς τῶν ταύτῃ Ἰνδῶν καὶ ταῦτα ἐς κόσμον καταστήσαντα ξυμβάλλειν οἱ ἐς τὰ Πάταλα. [5] Ἤδη δὲ τρίτην ἡμέραν αὐτῷ τοῦ πλοῦ ἔχοντι ἐξαγγέλλεται ὅτι ὁ τῶν Πατάλων ὕπαρχος ξυλλαβὼν τῶν Παταλέων τοὺς πολλοὺς ἀποδεδρακὼς οἴχοιτο ἀπολιπὼν τὴν χώραν ἔρημον· καὶ ἐπὶ τούτῳ πλείονι ἢ πρόσθεν σπουδῇ κατέπλει Ἀλέξανδρος. ὡς δὲ ἀφίκετο ἐς τὰ Πάταλα, τήν τε πόλιν καὶ τὴν χώραν ἔρημον καταλαμβάνει τῶν ἐνοικούντων τε καὶ ἐπεργαζομένων. [6] ὁ δὲ κατὰ δίωξιν τῶν φευγόντων ἐκπέμψας τῆς στρατιᾶς τοὺς κουφοτάτους, ἐπεί τινες αὐτῶν ξυνελήφθησαν, ἀποπέμπει τούτους παρὰ τοὺς ἄλλους, ἐντειλάμενος ἐπανιέναι θαρροῦντας· εἶναι γὰρ αὐτοῖς τήν τε πόλιν οἰκεῖν ὡς πρόσθεν καὶ τὴν χώραν ἐργάζεσθαι. καὶ ἐπανῆλθον οἱ πολλοὶ αὐτῶν.

18. Αὐτὸς δὲ Ἡφαιστίωνι προστάξας τειχίζειν ἐν τοῖς Πατάλοις ἄκραν ἀποπέμπει ἐς τὴν ἄνυδρον τῆς πλησίον γῆς φρέατά τε ὀρύξοντας καὶ οἰκήσιμον τὴν χώραν κατασκευάσοντας. καὶ τούτοις ἐπέθεντο τῶν προσχώρων τινὲς βαρβάρων, καὶ ἔστι μὲν οὓς διέφθειραν αὐτῶν ἄφνω προσπεσόντες, πολλοὺς δὲ καὶ σφῶν ἀποβαλόντες ἔφυγον ἐς τὴν ἔρημον, ὥστε ἐπιτελεσθῆναι τοῖς ἐκπεμφθεῖσι τὰ ἔργα προσγενομένης αὐτοῖς καὶ ἄλλης στρατιᾶς, ἣν Ἀλέξανδρος πυθόμενος τῶν βαρβάρων τὴν ἐπίθεσιν ἐστάλκει μεθέξοντας τοῦ ἔργου. [2] Περὶ δὲ τοῖς Πατάλοις σχίζεται τοῦ Ἰνδοῦ τὸ ὕδωρ ἐς <δύο> ποταμοὺς μεγάλους, καὶ οὗτοι ἀμφότεροι σώζουσι τοῦ Ἰνδοῦ τὸ ὄνομα ἔστε ἐπὶ τὴν θάλασσαν. ἐνταῦθα ναύσταθμόν τε καὶ νεωσοίκους ἐποίει Ἀλέξανδρος· ὡς δὲ προὐκεχωρήκει αὐτῷ τὰ ἔργα, ὁ δὲ καταπλεῖν ἐπενόει ἔστε ἐπὶ τὴν ἐκβολὴν τοῦ ἐν δεξιᾷ ῥέοντος ποταμοῦ ἐς τὴν θάλασσαν. [3] Λεοννάτον μὲν δὴ δοὺς αὐτῷ τῶν τε ἱππέων ἐς χιλίους καί τῶν ὁπλιτῶν τε καὶ ψιλῶν ἐς ὀκτακισχιλίους κατὰ τὴν νῆσον τὰ Πάταλα ἐκπέμπει ἀντιπαράγειν τῷ στόλῳ, αὐτὸς δὲ τὰς μάλιστα τῶν νεῶν ταχυναυτούσας ἀναλαβὼν ὅσαι τε ἡμιόλιαι καὶ τὰς τριακοντόρους πάσας καὶ τῶν κερκούρων ἔστιν οὓς ἔπλει κατὰ τὸν ποταμὸν τὸν ἐν δεξιᾷ. [4] οὐκ ἔχοντι δὲ αὐτῷ ἡγεμόνα τοῦ πλοῦ, ὅτι πεφεύγεσαν οἱ ταύτῃ Ἰνδοί, ἀπορώτερα τὰ τοῦ κατάπλου ἦν· χειμών τε ἐπιγίγνεται ἐς τὴν ὑστεραίαν ἀπὸ τῆς ἀναγωγῆς καὶ ὁ ἄνεμος τῷ ῥόῳ πνέων ὑπεναντίος κοῖλόν τε ἐποίει τὸν ποταμὸν καὶ τὰ σκάφη

todas las ciudades fortificadas que encontrara, restableciera el orden en aquellas en que presumiera alguna futura rebelión por parte de los indios, y que, finalmente, se uniera con él en Pátala [256].

[5] Al tercer día de navegación en dirección a Pátala le llegaron noticias a Alejandro de que el gobernador de Pátala había desertado de su ciudad, marchándose al frente de la mayor parte de los habitantes de la ciudad, que había quedado desierta. Ante estas noticias, Alejandro aceleró su descenso por el río, con mayor prisa que hasta ahora. Al llegar a Pátala encontró la ciudad y su territorio totalmente desierto, sin habitantes ni trabajadores en sus campos. [6] En persecución de los fugitivos mandó a sus tropas más ligeras, que consiguieron capturar a algunos de ellos. Devolvió a los capturados a que fueran en busca de sus conciudadanos, encargándoles que regresaran sin miedo, ya que podían habitar su ciudad como hasta ahora lo habían hecho y volver a trabajar la tierra [257]. Tuvo éxito esta propuesta, pues regresaron la mayor parte de ellos.

18 Encargó Alejandro a Hefestión que fortificara la acrópolis de Pátala, y despachó a otros a las zonas desérticas de alrededor a excavar pozos y hacer la zona habitable. Sin embargo, algunos bárbaros vecinos del territorio cayeron sobre el destacamento de macedonios, dando muerte a algunos de ellos por lo inesperado del ataque, aunque los bárbaros también perdieron a muchos de sus hombres y tuvieron que buscar refugio en el desierto, de suerte que las obras hubieron de esperar a otra expedición que Alejandro mandaría más tarde con este fin, después de que le llegaran noticias del ataque de los bárbaros.

[2] El curso del río Indo se abre en dos grandes brazos al llegar a Pátala, conservando ambos el nombre de Indo hasta alcanzar el mar. Hizo construir Alejandro en este punto un puerto y unos astilleros, ya que cuando las obras estuvieran más avanzadas pensaba bajar por el brazo de río de la derecha hasta llegar a la desembocadura en el mar. [3] Ordenó a Leónato que al frente de mil jinetes y ocho mil hombres de infantería pesada y ligera marchara a Pátala y siguiera a pie por la isla los movimientos de la flota. Él mismo, mientras tanto, con sus naves más marineras, hemiolios, todos los triacóntoros y bajeles bajaría río abajo por el brazo derecho del Indo. [4] Había quedado, sin embargo, su flota sin prácticos [258], por haberse escapado los indios de esta región, de ahí que el descenso por el río resultara muy arriesgado. Al día siguiente de haber zarpado la flota sobrevino una gran tormenta; el viento [259] soplaba contra corriente y provocaba grandes vacíos en el agua, haciendo que los barcos

διέσειεν, ὥστε ἐπόνησαν αὐτῷ αἱ πλεῖσται τῶν νεῶν, τῶν δὲ τριακοντόρων ἔστιν αἳ καὶ πάντῃ διελύθησαν. ἔφθησαν δὲ ἐποκείλαντες αὐτὰς πρὶν παντάπασιν διαπεσεῖν ἐν τῷ ὕδατι. [5] ἕτεραι οὖν ξυνεπήγνυντο. καὶ τῶν ψιλῶν τοὺς κουφοτάτους ἐκπέμψας ἐς τὴν προσωτέρω τῆς ὄχθης χώραν ξυλλαμβάνει τινὰς τῶν Ἰνδῶν, καὶ οὗτοι τὸ ἀπὸ τοῦδε ἐξηγοῦντο αὐτῷ τὸν πόρον. ὡς δὲ ἧκον ἵναπερ ἀναχεῖται ἐς εὖρος ὁ ποταμός, ὡς καὶ διακοσίους ταύτῃ σταδίους ἐπέχειν ᾗπερ εὐρύτατος αὐτὸς αὑτοῦ ἦν, τό τε πνεῦμα κατῄει μέγα ἀπὸ τῆς ἔξω θαλάσσης καὶ αἱ κῶπαι ἐν κλύδωνι χαλεπῶς ἀνεφέροντο, ξυμφεύγουσιν αὖ ἐς διώρυχα, ἐς ἥντινα οἱ ἡγεμόνες αὐτῷ καθηγήσαντο.

19. Ἐνταῦθα ὁρμισάντων τὸ πάθημα ἐπιγίγνεται τῆς μεγάλης θαλάσσης ἡ ἄμπωτις, ὥστε ἐπὶ ξηροῦ ἀπελήφθησαν αὐτοῖς αἱ νῆες. καὶ τοῦτο οὔπω πρότερον ἐγνωκόσι τοῖς ἀμφ᾽ Ἀλέξανδρον ἔκπληξιν μὲν καὶ αὐτὸ οὐ σμικρὰν παρέσχε, πολὺ δὲ δὴ ἔτι μείζονα, ὁπότε διελθούσης τῆς ὥρας προσῄει τε τὸ ὕδωρ καὶ τὰ σκάφη <ἐ>μετεωρίζοντο. [2] ὅσας μὲν δὴ τῶν νεῶν ἐν τῷ πηλῷ ἑδραίας κατέλαβεν, αὗται δὲ ἀβλαβῶς τε ἐμετεωρίσθησαν καὶ οὐδὲν χαλεπὸν παθοῦσαι ἔπλεον αὖθις· ὅσαι δὲ ἐν ξηροτέρᾳ τε τῇ γῃ καὶ οὐ βεβαίως τὴν στάσιν ἔχουσαι ὑπελείφθησαν, αὗται δὲ ἀθρόου ἐπελθόντος τοῦ κύματος αἱ μὲν αὐτῶν ἐμπεσοῦσαι ἐς ἀλλήλας, αἱ δὲ πρὸς τῇ γῇ ἀρ[ρ]αχθεῖσαι συνετρίβησαν. [3] ταύτας τε οὖν ἐπεσκεύασεν Ἀλέξανδρος ἐκ τῶν παρόντων καὶ ἐν κερκούροιν δυοῖν προπέμπει κατὰ τὸν ποταμὸν τοὺς κατασκεψομένους τὴν νῆσον, ἐς ἥντινα οἱ ἐπιχώριοι ἔφασκον ὁρμιστέα εἶναι αὐτῷ κατὰ τὸν πλοῦν τὸν ἐς τὴν θάλασσαν· Κίλλουτα δὲ τῇ νήσῳ τὸ ὄνομα ἔλεγον. ὡς δὲ ἐξηγγέλθη ὅτι ὅρμοι τε ἐν τῇ νήσῳ εἰσὶ καὶ αὐτὴ μεγάλη καὶ ὕδωρ ἔχουσα, ὁ μὲν ἄλλος αὐτῷ στόλος ἐς τὴν νῆσον κατέσχεν, αὐτὸς δὲ ταῖς ἄριστα πλεούσαις τῶν νεῶν ἐπέκεινα προὐχώρει, ὡς ἀπιδεῖν τοῦ ποταμοῦ τὴν ἐκβολὴν τὴν ἐς τὴν θάλασσαν, εἰ παρέχει τὸν ἔκπλουν εὔπορον. [4] προελθόντες δὲ ἀπὸ τῆς νήσου σταδίους ὅσον διακοσίους ἀφορῶσιν ἄλλην νῆσον, ταύτην ἤδη ἐν τῇ θαλάσσῃ. τότε μὲν δὴ ἐπανῆλθον ἐς τὴν ἐν τῷ ποταμῷ νῆσον, καὶ πρὸς τοῖς ἄκροις αὐτῆς καθορμισθεὶς θύει τοῖς θεοῖς Ἀλέξανδρος ὅσοις ἔφασκεν ὅτι παρὰ τοῦ Ἄμμωνος ἐπηγγελμένον ἦν

se golpearan, hasta el punto de que la mayor parte de ellos quedaron averiados y algunos triacóntoros totalmente deshechos. Con todo, consiguieron llevarlos a la orilla antes de que quedaran por completo destrozados, aunque hubo que proceder a resultas de ello a reparar algunas nuevas embarcaciones.

[5] Envió sus tropas más ligeras al territorio de la orilla de allá a que procuraran capturar algunos indios que le sirvieran de prácticos desde ahora hasta el final de la travesía. Al llegar al punto donde el río gana su mayor anchura (alcanza en su punto máximo hasta un total de doscientos estadios) [260] soplaba un fuerte viento procedente del mar que hacía que los remos a duras penas pudieran sacarse del agua, por lo que tuvieron que refugiarse en un abrigo del río, guiados por los prácticos.

Los macedonios extrañados ante el fenómeno de las mareas.

19 Se hallaban anclados en este canal, y ocurrió que a las pocas horas bajó la marea (fenómeno, por lo demás, natural y ordinario en un mar abierto) de suerte que las naves quedaron varadas en seco. Este fenómeno, desconocido hasta ahora para los hombres de Alejandro, provocó en ellos gran estupor, aunque fue éste mucho mayor cuando, al cabo de varias horas, la marea volvió a subir, poniendo a flote sus embarcaciones. [2] Las naves que habían quedado asentadas sobre el fango se pusieron de nuevo a flote al subir la marea, sin sufrir daño alguno, dispuestas a seguir navegando; en cambio, las que habían quedado en un fondo más seco y en un asentamiento más firme, comenzaron, unas a entrechocarse entre sí al subir la marea, y otras fueron a estrellarse contra la orilla, donde quedaron destruidas.

[3] Alejandro reparó las averías lo mejor que pudo en las actuales circunstancias y ordenó que algunos se adelantaran en dos bajeles río abajo para inspeccionar la isla en la que, según decían los indígenas, podían anclar la flota en esta travesía hasta el mar. El nombre de la isla era Ciluta. Este destacamento informó a Alejandro que en la isla había buenos fondeaderos, así como que se trataba de una isla de gran tamaño y de agua abundante; ante esta información hizo pasar a la isla a parte de su flota, mientras él mismo, con sus naves más marineras, se adelantó al otro extremo de la isla, para ver desde lejos la desembocadura del río en el mar y estudiar si era posible zarpar por allí con seguridad. [4] Adelantándose unos doscientos estadios [261] de la isla, divisaron otra nueva isla, ésta ya en pleno mar. Regresaron a continuación a la isla situada en el río, anclaron frente a uno de sus salientes y preparó Alejandro sacrificios en honor de aquellos dioses a los que, según Amón

θῦσαι αὐτῷ. ἐς δὲ τὴν ὑστεραίαν κατέπλει ὡς ἐπὶ τὴν ἄλλην τὴν ἐν τῷ πόντῳ νῆσον, καὶ προσχὼν καὶ ταύτῃ ἔθυε καὶ ἐνταῦθα ἄλλας αὖ θυσίας ἄλλοις τε θεοῖς καὶ ἄλλῳ τρόπῳ· καὶ ταύτας δὲ κατ᾽ ἐπιθεσπισμὸν θύειν <ἔφασκε> τοῦ Ἄμμωνος. [5] αὐτὸς δὲ ὑπερβαλὼν τοῦ Ἰνδοῦ ποταμοῦ τὰς ἐκβολὰς ἐς τὸ πέλαγος ἀνέπλει, ὡς μὲν ἔλεγεν, ἀπιδεῖν εἴ πού τις χώρα πλησίον ἀνίσχει ἐν τῷ πόντῳ, ἐμοὶ δὲ δοκεῖ, οὐχ ἥκιστα ὡς πεπλευκέναι τὴν μεγάλην τὴν ἔξω Ἰνδῶν θάλασσαν. ἐνταῦθα ταύρους τε σφάξας τῷ Ποσειδῶνι ἀφῆκεν ἐς τὴν θάλασσαν καὶ σπείσας ἐπὶ τῇ θυσίᾳ τήν τε φιάλην χρυσῆν οὖσαν καὶ κρατῆρας χρυσοῦς ἐνέβαλεν ἐς τὸν πόντον χαριστήρια, εὐχόμενος σῶόν οἱ παραπέμψαι τὸν στρατὸν τὸν ναυτικόν, ὅντινα ξὺν Νεάρχῳ ἐπενόει στέλλειν ὡς ἐπὶ τὸν κόλπον τὸν Περσικὸν καὶ τὰς ἐκβολὰς τοῦ τε Εὐφράτου καὶ τοῦ Τίγρητος.

20. Ἐπανελθὼν δὲ ὀπίσω ἐς τὰ Πάταλα τήν τε ἄκραν τετειχισμένην καταλαμβάνει καὶ Πείθωνα ξὺν τῇ στρατιᾷ ἀφιγμένον καὶ τούτῳ ξύμπαντα καταπεπραγμένα ἐφ᾽ οἷσπερ ἐστάλη. Ἡφαιστίων μὲν δὴ ἐτάχθη παρασκευάζειν τὰ πρὸς τὸν ἐκτειχισμόν τε τοῦ ναυστάθμου καὶ τῶν νεωσοίκων τὴν κατασκευήν· καὶ γὰρ καὶ ἐνταῦθα ἐπενόει στόλον ὑπολείπεσθαι νεῶν οὐκ ὀλίγων πρὸς τῇ πόλει τοῖς Πατάλοις, ἵναπερ ἐσχίζετο ὁ ποταμὸς ὁ Ἰνδός. [2] Αὐτὸς δὲ κατὰ τὸ ἕτερον στόμα τοῦ Ἰνδοῦ κατέπλει αὖθις ἐς τὴν μεγάλην θάλασσαν, ὡς καταμαθεῖν, ὅπῃ εὐπορωτέρα ἡ ἐκβολὴ τοῦ Ἰνδοῦ ἐς τὸν πόντον γίγνεται· ἀπέχει δὲ ἀλλήλων τὰ στόματα τοῦ ποταμοῦ τοῦ Ἰνδοῦ ἐς σταδίους μάλιστα ὀκτακοσίους καὶ χιλίους. [3] ἐν δὲ τῷ κατάπλῳ ἀφίκετο τῆς ἐκβολῆς τοῦ ποταμοῦ ἐς λίμνην μεγάλην, ἥντινα ἀναχεόμενος ὁ ποταμός, τυχὸν δὲ καὶ [ἐκ][I] τῶν πέριξ ὑδάτων ἐμβαλλόντων ἐς αὐτήν, μεγάλην τε ποιεῖ καὶ κόλπῳ θαλάσσης μάλιστα ἐοικυῖαν· καὶ γὰρ ἰχθύες ἤδη ἐν αὐτῇ τῶν ἀπὸ θαλάσσης ἐφαίνοντο, μείζονες τῶν ἐν τῇδε τῇ ἡμετέρᾳ θαλάσσῃ. προσορμισθεὶς οὖν κατὰ τὴν λίμνην ἵναπερ οἱ καθηγεμόνες ἐξηγοῦντο, τῶν μὲν στρατιωτῶν τοὺς πολλοὺς καταλείπει σὺν Λεοννάτῳ αὐτοῦ καὶ τοὺς κερκούρους ξύμπαντας, [4] αὐτὸς δὲ ταῖς τριακοντόροις τε καὶ ἡμιολίαις ὑπερβαλὼν τὴν ἐκβολὴν τοῦ Ἰνδοῦ καὶ προελθὼν καὶ ταύτῃ

[I] Adopto la eliminación que hace Sintenis.

le había indicado, debía sacrificar. Al día siguiente volvió río abajo hasta la isla situada en el mar abierto, desembarcó en ella y ofreció también sacrificios a otros dioses y con distinto ritual, siguiendo en todo ello las indicaciones del oráculo de Amón.

[5] Dejó atrás la desembocadura del Indo y puso rumbo al mar abierto con idea de ver, según él mismo decía, si en pleno océano existía algún territorio cercano. A mi parecer, sin embargo, el móvil fue el deseo de navegar por el Gran Mar más allá de la India [262]. Degolló allí unos bueyes en honor de Posidón, lanzándolos al mar, y tras el sacrificio hizo una libación con una copa de oro que arrojó también al Océano, al igual que unas crateras de oro, todo ello como acción de gracias, deprecando al dios les permitiera regresar sanos y salvos a los hombres de su flota que bajo el mando de Nearco [263] pensaba enviar hacia el golfo Pérsico y las desembocaduras del Tigris y el Eufrates.

De nuevo en Pátala.

20 Regresó más tarde a Pátala, donde sus hombres ya habían fortificado la acrópolis, y encontró allá a Pitón que acababa de llegar con su ejército, después de haber cumplido la misión que Alejandro le encomendara. Ordenó a Hefestión que preparara todo lo necesario para fortificar y construir un puerto y unos astilleros, ya que su propósito era dejar en Pátala una parte considerable de su flota, justo donde el río Indo se abre en diversas bocas.

[2] Hizo Alejandro una nueva visita al Gran Mar, bajando ahora por la otra boca del Indo para conocer cuál de las dos bocas resultaba más segura. Ambos brazos del Indo distan entre sí unos mil ochocientos estadios [264].

[3] Al bajar por este brazo del Indo se topó con un gran lago que se alimenta de las aguas del río, y al que fluyen también las aguas de otros canales de todo su alrededor, por lo cual el lago adquiere una enorme extensión, hasta el punto de que parece un golfo en pleno mar. Es más, en él pueden verse peces de mayor tamaño incluso que los que viven en nuestro mar Mediterráneo. Ancló, pues, Alejandro en este lago, donde le indicaron los prácticos, ordenando a Leónato que se quedara allí con la mayor parte de sus soldados y todos los bajeles. [4] Mientras tanto, él continuó hasta el mar con sus triacóntoros y hemiolios, bajando por esta desembocadura del

ἐς τὴν θάλασσαν εὐπορωτέραν τε κατέμαθεν τὴν ἐπὶ τάδε τοῦ Ἰνδοῦ ἐκβολὴν καὶ αὐτὸς προσορμισθεὶς τῷ αἰγιαλῷ καὶ τῶν ἱππέων τινὰς ἅμα οἷ ἔχων παρὰ θάλασσαν ᾔει σταθμοὺς τρεῖς, τήν τε χώραν ὁποία τίς ἐστιν ἡ ἐν τῷ παράπλῳ ἐπισκεπτόμενος καὶ φρέατα ὀρύσσεσθαι κελεύων, ὅπως ἔχοιεν ὑδρεύεσθαι οἱ πλέοντες. [5] αὐτὸς μὲν δὴ ἐπανελθὼν ἐπὶ τὰς ναῦς ἀνέπλει ἐς τὰ Πάταλα μέρος δέ τι τῆς στρατιᾶς τὰ αὐτὰ ταῦτα ἐργασομένους κατὰ τὴν παραλίαν ἔπεμψεν, ἐπανιέναι καὶ τούτοις προστάξας ἐς τὰ Πάταλα. αὖθις δὲ ὡς ἐπὶ τὴν λίμνην καταπλεύσας ἄλλον ναύσταθμον καὶ ἄλλους νεωσοίκους ἐνταῦθα κατεσκεύασε, καὶ φυλακὴν καταλιπὼν τῷ χωρίῳ σῖτόν τε ὅσον καὶ ἐς τέτταρας μῆνας ἐξαρκέσαι τῇ στρατιᾷ ἐσηγάγετο καὶ τἆλλ᾽ ὅσα [ἐν] τῷ παράπλῳ παρεσκεύαζεν.

21. Ἦν δὲ ἐν μὲν τῷ τότε ἄπορος ἡ ὥρα ἐς τὸν πλοῦν· οἱ γὰρ ἐτησίαι ἄνεμοι κατεῖχον, οἳ δὴ τῇ ὥρᾳ ἐκείνῃ οὐ καθάπερ παρ᾽ ἡμῖν ἀπ᾽ ἄρκτου, ἀλλ᾽ ἀπὸ τῆς μεγάλης θαλάσσης κατὰ νότον μάλιστα ἄνεμον ἵστανται. [2] ἀπὸ δὲ τοῦ χειμῶνος τῆς ἀρχῆς τὸ ἀπὸ Πλειάδων δύσεως ἔστε ἐπὶ τροπάς, ἃς ἐν χειμῶνι ὁ ἥλιος ἐπιστρέφει, πλόϊμα εἶναι ταύτῃ ἐξηγγέλλετο. τότε γὰρ κατὰ γῆν μᾶλλον οἷα δὴ πολλῷ ὕδατι ἐξ οὐρανοῦ βεβρεγμένην αὔρας ἵστασθαι μαλθακὰς καὶ ἐς τὸν παράπλουν ταῖς τε κώπαις καὶ τοῖς ἱστίοις ξυμμέτρους. [3] Νέαρχος μὲν δὴ ἐπιταχθεὶς τῷ ναυτικῷ προσέμενε τὴν ὥραν τοῦ παράπλου, αὐτὸς δὲ ἄρας ἐκ Πατάλων ἔστε μὲν ἐπὶ τὸν ποταμὸν τὸν Ἀράβιον ξὺν τῇ στρατιᾷ πάσῃ προὐχώρει. ἐκεῖθεν δὲ ἀναλαβὼν τῶν ὑπασπιστῶν τε καὶ τῶν τοξοτῶν τοὺς ἡμίσεας καὶ τῶν ἀσθεταίρων[I] καλουμένων τὰς τάξεις καὶ τῆς ἵππου τῆς ἑταιρικῆς τό τε ἄγημα καὶ ἴλην ἀφ᾽ ἑκάστης ἱππαρχίας καὶ τοὺς ἱπποτοξότας ξύμπαντας ὡς ἐπὶ τὴν θάλασσαν ἐς ἀριστερὰ ἐτράπετο, ὕδατά τε ὀρύσσειν, ὡς κατὰ τὸν παράπλουν ἄφθονα εἴη τῇ στρατιᾷ τῇ παραπλεούσῃ, καὶ ἅμα ὡς τοῖς Ὠρείταις[II] τοῖς ταύτῃ Ἰνδοῖς αὐτονόμοις ἐκ πολλοῦ οὖσιν ἄφνω ἐπιπεσεῖν, ὅτι μηδὲν φίλιον αὐτοῖς ἐς αὐτόν τε καὶ τὴν στρατιὰν ἐπέπρακτο. τῆς δὲ ὑπολειφθείσης δυνάμεως Ἡφαιστίων αὐτῷ ἀφηγεῖτο. [4] Ἀραβῖται μὲν

[I] Ver nota I al libro II, 5.2
[II] Salmasius inserta καὶ para hacer coincidir con Ind. 22, 10, sin embargo ver nota ad loc.

Indo (que además le pareció más navegable que la otra). Echó anclas junto a la playa y avanzó por la línea de la costa durante tres jornadas con los caballos que consigo traía. Su intención era inspeccionar el territorio con vistas a la navegación de cabotaje, para lo cual mandó excavar pozos a fin de que la expedición pudiera disponer de agua en abundancia. Regresó donde habían quedado sus barcos y subió por el río de regreso a Pátala. [5] Envió luego a una parte de sus hombres hasta la costa, para que fueran adelantando las obras, encargándoles que volvieran a Pátala cuando las hubieran concluido. Al regresar Alejandro al lago, construyó allí un nuevo puerto y otros astilleros, y dejó en ellos una guarnición. A continuación mandó buscar provisiones para cuatro meses, así como hacer todos los preparativos que su ejército pudiera necesitar en el viaje.

21 La estación, sin embargo, no era propicia para iniciar la navegación, pues soplaban los vientos monzones, como cada año en esta época, aunque a diferencia de nuestros vientos no soplan del Norte, sino del Océano, procedentes del Sur sobre todo. [2] Se informó, empero, Alejandro de que la mejor época para emprender la navegación es la que va desde el principio del invierno [265], justo en el momento del ocaso de las Pléyades, hasta el solsticio de invierno [266], pues en esta época soplan por tierra (como cuando ésta queda regada por abundantes lluvias) unas suaves brisas, muy adecuadas para la navegación de cabotaje, tanto si se hace a remo como a vela. [3] Nearco, pues, el comandante de la flota, aguardaba la hora de hacerse a la mar [267]. Mientras tanto, Alejandro levantó el campamento de Pátala para dirigirse con todo el ejército hacia el río Arabio [268]. Desde aquí avanzó hacia el Océano, que quedaba a su izquierda, al frente de la mitad de los hipaspistas y de los arqueros, los batallones de los llamados *peceteros,* el *ágēma* de la caballería de los Compañeros, un escuadrón de cada hiparquía, así como todos los lanzadores de dardos a caballo. Su idea era abrir nuevos pozos, a fin de que los que iban a partir en la expedición por mar con Nearco dispusieran de agua en abundancia, y, de otra parte, caer por sorpresa con sus hombres sobre los oritas [269], que son una tribu india de estos confines que viven independientes desde largo tiempo, pues no habían tenido para con Alejandro y sus tropas ningún gesto de amistad. Hefestión había quedado como comandante supremo del resto de las tropas acampadas. [4] Por su parte, los arabitas, la tribu india que habita como pueblo independiente

δή, ἔθνος καὶ τοῦτο αὐτόνομον τῶν περὶ τὸν Ἀράβιον ποταμὸν νεμομένων, οὔτε ἀξιόμαχοι δόξαντες εἶναι Ἀλεξάνδρῳ οὔτε ὑποδῦναι ἐθελήσαντες, ὡς προσάγοντα ἐπύθοντο Ἀλέξανδρον, φεύγουσιν ἐς τὴν ἔρημον. Ἀλέξανδρος δὲ διαβὰς τὸν Ἀράβιον ποταμὸν στενόν τε καὶ ὀλίγου ὕδατος καὶ διελθὼν ἐν νυκτὶ τῆς ἐρήμου τὴν πολλὴν ὑπὸ τὴν ἕω πρὸς τῇ οἰκουμένῃ ἦν· καὶ τοὺς μὲν πεζοὺς ἐν τάξει ἐκέλευσεν ἕπεσθαι, τοὺς δὲ ἱππέας ἀναλαβὼν αὐτὸς καὶ ἐς ἴλας κατανείμας, ὅπως ἐπὶ πλεῖστον τοῦ πεδίου ἐπέχοιεν, ἐπῄει τὴν χώραν τῶν Ὠρειτῶν. [5] ὅσοι μὲν δὴ ἐς ἀλκὴν αὐτῶν ἐτράποντο κατεκόπησαν πρὸς τῶν ἱππέων, πολλοὶ δὲ καὶ ζῶντες ἑάλωσαν. ὁ δὲ τότε μὲν κατεστρατοπέδευσε πρὸς ὕδατι οὐ πολλῷ, ὡς δὲ καὶ οἱ περὶ Ἡφαιστίωνα αὐτῷ ὁμοῦ ἤδη ἦσαν, προὐχώρει ἐς τὸ πρόσω. ἀφικόμενος δὲ εἰς κώμην, ἥπερ ἦν μεγίστη τοῦ ἔθνους τοῦ Ὠρειτῶν, Ῥαμβακία ἐκαλεῖτο ἡ κώμη, τόν τε χῶρον ἐπῄνεσε καὶ ἐδόκει ἂν αὐτῷ πόλις ξυνοικισθεῖσα μεγάλη καὶ εὐδαίμων γενέσθαι. Ἡφαιστίωνα μὲν δὴ ἐπὶ τούτοις ὑπελείπετο.

22. Αὐτὸς δὲ ἀναλαβὼν αὖθις τῶν ὑπασπιστῶν καὶ τῶν Ἀγριάνων τοὺς ἡμίσεας καὶ τὸ ἄγημα τῶν ἱππέων καὶ τοὺς ἱπποτοξότας προῄει ὡς ἐπὶ τὰ ὅρια τῶν τε Γαδρωσῶν καὶ Ὠρειτῶν, ἵναπερ στενή τε ἡ πάροδος αὐτῷ εἶναι ἐξηγγέλλετο καὶ οἱ Ὠρεῖται τοῖς Γαδρωσοῖς ξυντεταγμένοι πρὸ τῶν στενῶν στρατοπεδεύειν, ὡς εἴρξοντες τῆς παρόδου Ἀλέξανδρον. [2] καὶ ἦσαν μὲν ταύτῃ τεταγμένοι, ὡς δὲ προάγων ἤδη ἐξηγγέλλετο, οἱ μὲν πολλοὶ ἔφυγον ἐκ τῶν στενῶν λιπόντες τὴν φυλακήν, οἱ δὲ ἡγεμόνες τῶν Ὠρειτῶν ἀφίκοντο παρ᾽ αὐτὸν σφᾶς τε αὐτοὺς καὶ τὸ ἔθνος ἐνδιδόντες. τούτοις μὲν δὴ προστάττει ξυγκαλέσαντας τὸ πλῆθος τῶν Ὠρειτῶν πέμπειν ἐπὶ τὰ σφέτερα ἤθη, ὡς δεινὸν οὐδὲν πεισομένους· σατράπην δὲ καὶ τούτοις ἐπιτάσσει Ἀπολλοφάνην· [3] καὶ ξὺν τούτῳ ἀπολείπει Λεοννάτον τὸν σωματοφύλακα ἐν Ὤροις, ἔχοντα τούς τε Ἀγριᾶνας ξύμπαντας καὶ τῶν τοξοτῶν ἔστιν οὓς καὶ τῶν ἱππέων καὶ ἄλλους πεζούς τε καὶ ἱππέας Ἕλληνας μισθοφόρους, τό τε ναυτικὸν ὑπομένειν ἔστ᾽ ἂν περιπλεύσῃ τὴν χώραν καὶ τὴν πόλιν ξυνοικίζειν καὶ τὰ κατὰ τοὺς Ὠρείτας κοσμεῖν, ὅπως μᾶλλόν τι προσέχοιεν τῷ σατράπῃ τὸν νοῦν. αὐτὸν δὲ ξὺν τῇ στρατιᾷ τῇ πολλῇ, καὶ γὰρ καὶ Ἡφαιστίων ἀφίκετο ἄγων αὐτῷ τοὺς ὑπολειφθέντας, προὐχώρει ὡς ἐπὶ Γαδρωσοὺς ἔρημον τὴν πολλήν.

ambas márgenes del río epónimo, pensaban que no disponían de fuerzas para oponerse a Alejandro, y como, de otra parte, no querían someterse a él sin más, tan pronto como tuvieron noticias de que Alejandro estaba cerca, huyeron al desierto. Alejandro cruzó el río Arabio [270], que es un riachuelo estrecho y de poca corriente, atravesó la mayor parte del desierto en una sola noche, encontrándose al amanecer de nuevo en territorio habitado. Ordenó a su infantería que le siguiera, agrupados por batallones, a fin de ocupar la mayor parte de la llanura, y así fue como se introdujo en el territorio de los oritas.

[5] Los que le ofrecieron resistencia fueron aniquilados por la caballería, aunque en su mayor parte fueron capturados prisioneros aún con vida [271]. Acampó Alejandro entonces junto a un riachuelo, hasta que se le juntaron las tropas que venían con Hefestión, y acto seguido continuó su avance. Llegó a la capital del pueblo orita, llamada Rambacia, cuyo emplazamiento mereció todos sus elogios, al tiempo que le pareció que un asentamiento [272] en este lugar se transformaría en pocos años en una ciudad grande y próspera. Ordenó a Hefestión que se quedara aquí para atender estas cuestiones.

Gadrosia.

22 Se puso de nuevo Alejandro al frente de la mitad de los hipaspista y los agrianes, el *ágēma* de caballería y los lanzadores de dardos a caballo, y marchó con ellos hacia la frontera de los oritas y los gadrosios, donde había, según las informaciones a él llegadas, un paso estrecho en el que los oritas y gadrosios habían congregado sus tropas delante del desfiladero para impedir el paso a Alejandro. [2] Estaban allí apostados cuando les llegaron noticias de que Alejandro se aproximaba; al enterarse de ello, muchos abandonaron sus puestos de vigilancia y huyeron del desfiladero. Los jefes de los oritas, por su parte, se presentaron ante Alejandro entregándose a sí mismos y a su pueblo. Les encargó Alejandro que invitaran a su gente a volver a sus aldeas, pues no tenían nada que temer. Nombró sátrapa de esta región a Apolófanes.

[3] Quedaría allí con él en territorio orita también Leónato, uno de su guardia personal, al mando de todos los agrianes, algunos arqueros y jinetes, así como otros infantes y jinetes griegos del contingente mercenario. Leónato debía aguardar hasta que la expedición marítima costeara esta región, ocupándose mientras tanto de promover nuevos asentamientos y ordenar los asuntos concernientes a los oritas, a fin de que éstos se mostraran diligentes y bien dispuestos para con su sátrapa. Por su parte, él continuó su avance con la mayor parte del ejército (ya que Hefestión se le había unido con los hombres que con él habían quedado)

[4] Καὶ ἐν τῇ ἐρήμῳ ταύτῃ λέγει Ἀριστόβουλος σμύρνης πολλὰ δένδρα πεφυκέναι μείζονα ἢ κατὰ τὴν ἄλλην σμύρναν, καὶ τοὺς Φοίνικας τοὺς κατ᾽ ἐμπορ[ε]ίαν τῇ στρατιᾷ ξυνεπομένους ξυλλέγοντας τὸ δάκρυον τῆς σμύρνης (πολὺ γὰρ εἶναι, οἷα δὴ ἐκ μεγάλων τε τῶν πρέμνων καὶ οὔπω πρόσθεν ξυλλελεγμένον) ἐμπλήσαντας τὰ ὑποζύγια ἄγειν.

[5] ἔχειν δὲ τὴν ἔρημον ταύτην καὶ νάρδου ῥίζαν πολλήν τε καὶ εὔοδμον καὶ ταύτην ξυλλέγειν τοὺς Φοίνικας· πολὺ δὲ εἶναι αὐτῆς τὸ καταπατούμενον πρὸς τῆς στρατιᾶς, καὶ ἀπὸ τοῦ πατουμένου ὀδμὴν ἡδεῖαν κατέχειν ἐπὶ πολὺ τῆς χώρας. τοσόνδε εἶναι τὸ πλῆθος· [6] εἶναι δὲ καὶ ἄλλα δένδρα ἐν τῇ ἐρήμῳ, τὸ μέν τι δάφνῃ ἐοικὸς τὸ φύλλον, καὶ τοῦτο ἐν τοῖς προσκλυζομένοις τῇ θαλάσσῃ χωρίοις πεφυκέναι· καὶ ἀπολείπεσθαι μὲν τὰ δένδρα πρὸς τῆς ἀμπώτεως ἐπὶ ξηροῦ, ἐπελθόντος δὲ τοῦ ὕδατος ἐν τῇ θαλάσσῃ πεφυκότα φαίνεσθαι· τῶν δὲ καὶ ἀεὶ τὰς ῥίζας τῇ θαλάσσῃ ἐπικλύζεσθαι, ὅσα ἐν κοίλοις χωρίοις ἐπεφύκει, ἔνθενπερ οὐχ ὑπενόστει τὸ ὕδωρ, καὶ ὅμως οὐ διαφθείρεσθαι τὸ δένδρον πρὸς τῆς θαλάσσης. [7] εἶναι δὲ τὰ δένδρα ταύτῃ πήχεων καὶ τριάκοντα ἔστιν ἃ αὐτῶν, τυχεῖν τε ἀνθοῦντα ἐκείνῃ τῇ ὥρᾳ, καὶ τὸ ἄνθος εἶναι τῷ λευκῷ μάλιστα ἴῳ προσφερές, τὴν ὀδμὴν δὲ πολύ τι ὑπερφέρον. καὶ ἄλλον εἶναι καυλὸν ἐκ γῆς πεφυκότα ἀκάνθης, καὶ τούτῳ ἐπεῖναι ἰσχυρὰν τὴν ἄκανθαν, ὥστε ἤδη τινῶν καὶ παριππευόντων ἐμπλακεῖσαν τῇ ἐσθῆτι κατασπάσαι ἀπὸ τοῦ ἵππου μᾶλλόν τι τὸν ἱππέα ἢ αὐτὴν ἀποσχισθῆναι ἀπὸ τοῦ καυλοῦ. [8] καὶ τῶν λαγῶν λέγεται ὅτι παραθεόντων εἴχοντο ἐν ταῖς θριξὶν αἱ ἄκανθαι καὶ ὅτι οὕτως ἡλίσκοντο οἱ λαγῶ, καθάπερ ὑπὸ ἰξοῦ αἱ ὄρνιθες ἢ τοῖς ἀγκίστροις οἱ ἰχθύες, σιδήρῳ δὲ ὅτι διακοπῆναι οὐ χαλεπὴ ἦν· καὶ ὀπὸν ὅτι ἀνίει πολὺν ὁ καυλὸς τῆς ἀκάνθης τεμνομένης, ἔτι πλείονα ἢ αἱ συκαῖ τοῦ ἦρος καὶ δριμύτερον.

23. Ἔνθεν δὲ διὰ τῆς Γαδρωσῶν χώρας ἤει ὁδὸν χαλεπὴν καὶ ἄπορον τῶν ἐπιτηδείων, τῶν τε ἄλλων καὶ ὕδωρ πολλαχοῦ τῇ στρατιᾷ οὐκ ἦν· ἀλλὰ νύκτωρ ἠναγκάζοντο γῆν πολλὴν πορεύεσθαι καὶ προσωτέρω ἀπὸ θαλάσσης, ἐπεὶ αὐτῷ γε ἐν σπουδῇ ἦν ἐπελθεῖν[I] τὰ παρὰ τὴν θάλασσαν τῆς χώρας καὶ λιμένας τε ἰδεῖν τοὺς ὄντας καὶ ὅσα γε ἐν

[I] Krüger: ἐλθεῖν A, Roos.

en dirección a Gadrosia, a través de un terreno en su mayor parte desértico.

[4] En este desierto nos dice Aristobulo que crecen abundantes plantas de mirra [273], de tamaño mayor que la ordinaria. Los comerciantes fenicios que acompañaban al ejército recogían la resina de la mirra (que en grandes cantidades pendía de los enormes troncos por no haber sido recolectada antes por nadie) y se la llevaban cargada en acémilas.

[5] También producía este desierto abundantes y muy olorosas plantas de nardo [274], que también recogieron los fenicios. Al caminar el ejército sobre estas plantas a lo largo de un buen trecho, se extendió un fragante perfume por toda la zona al ser pisoteadas las plantas, tal era la abundancia que de ellas había.

[6] También se crían en este desierto otros árboles, de hojas muy parecidas al laurel, que crecen en lugares bañados por el agua del mar; estos árboles quedan en seco al bajar la marea, y en cambio parecen brotar del mar cuando la marea llena. Otros, por contra, tienen sus raíces bañadas por el mar constantemente, pues crecen en hondonadas que no quedan nunca en seco, sin que la planta sufra daño por estar sus raíces siempre bajo el agua del mar.

[7] Se encontraban en este lugar árboles de hasta treinta codos y, a la sazón, se hallaban en floración, siendo sus flores muy parecidas a la violeta blanca, aunque de fragancia mucho más intensa. Cría también esta tierra un cardo de acanto de tan recio espino que si alguien lo tocaba cabalgando, se agarraba a su vestido hasta dar con el jinete a tierra sin que el espino se desprendiera del cardo. [8] Dicen, incluso, que los espinos se agarran al pelo de las liebres al atravesar éstas corriendo por entre los cardos, y que al punto son cazadas al igual que las aves quedan prisioneras en la liga o los peces en los anzuelos. Con todo, pueden cortarse fácilmente estos cardos con un hacha, y el cardo de acanto, así cortado, destila abundante jugo, mayor cantidad y más ácido que los higos de primavera.

Penurias en Gadrosia.

23 Desde aquí, continuó Alejandro su marcha [275] a través del territorio gadrosio por un camino difícil, careciendo por completo de provisiones para su ejército, y sin encontrar siquiera agua por ninguna parte. Se vieron obligados a recorrer la mayor parte del territorio por la noche, apartados considerablemente del mar, aunque Alejandro tenía un interés permanente por aproximarse a la costa para inspeccionar los puertos que

παρόδῳ δυνατὰ γένοιτο τῷ ναυτικῷ παρασκευάσαι, ἢ φρέατα ὀρύξαντας ἢ ἀγορᾶς που ἢ ὅρμου ἐπιμεληθέντας. [2] ἀλλὰ ἦν γὰρ ἔρημα παντάπασιν τὰ πρὸς τῇ θαλάσσῃ τῆς Γαδρωσῶν γῆς, ὁ δὲ Θόαντα τὸν Μανδροδώρου καταπέμπει ἐπὶ θάλασσαν ξὺν ὀλίγοις ἱππεῦσιν, κατασκεψόμενον εἴ πού τις ὅρμος ὢν τυγχάνει ταύτῃ ἢ ὕδωρ οὐ πόρρω ἀπὸ θαλάσσης ἤ τι ἄλλο τῶν ἐπιτηδείων. [3] καὶ οὗτος ἐπανελθὼν ἀπήγγειλεν ἁλιέας τινὰς καταλαβεῖν ἐπὶ τοῦ αἰγιαλοῦ ἐν καλύβαις πνιγηραῖς· πεποιῆσθαι δὲ τὰς καλύβας ξυνθέντας τὰς κόγχας· στέγην δὲ εἶναι αὐταῖς τὰς ἀκάνθας τῶν ἰχθύων· καὶ τούτους τοὺς ἁλιέας ὕδατι ὀλίγῳ διαχρῆσθαι χαλεπῶς διαμωμένους τὸν κάχληκα, καὶ οὐδὲ τούτῳ πάντῃ γλυκεῖ τῷ ὕδατι. [4] Ὡς δὲ ἀφίκετο Ἀλέξανδρος ἐς χῶρόν τινα τῆς Γαδρωσίας ἵνα ἀφθονώτερος ἦν σῖτος, διανέμει ἐς τὰ ὑποζύγια τὸν καταληφθέντα καὶ τοῦτον σημηνάμενος τῇ ἑαυτοῦ σφραγῖδι κατακομίζεσθαι κελεύει ὡς ἐπὶ θάλασσαν. ἐν ᾧ δὲ ᾔει ὡς ἐπὶ τὸν σταθμόν, ἔνθενπερ ἐγγυτάτω ἦν ἡ θάλασσα, ἐν τούτῳ ὀλίγα φροντίσαντες οἱ στρατιῶται τῆς σφραγῖδος αὐτοί τε οἱ φύλακες τῷ σίτῳ ἐχρήσαντο καὶ ὅσοι μάλιστα λιμῷ ἐπιέζοντο καὶ τούτοις μετέδωκαν. [5] ἐς τοσόνδε γὰρ πρὸς τοῦ κακοῦ ἐνικῶντο, ὡς τὸν πρόδηλον καὶ παρόντα ἤδη ὄλεθρον τοῦ ἀφανοῦς τε καὶ πρόσω ἔτι ὄντος ἐκ τοῦ βασιλέως κινδύνου ξὺν λογισμῷ ἔδοξέ σφισιν ἔμπροσθεν ποιήσασθαι. καὶ Ἀλέξανδρος καταμαθὼν τὴν ἀνάγκην ξυνέγνω τοῖς πράξασιν. αὐτὸς δέ, ὅσα ἐκ τῆς χώρας ἐπιδραμὼν ξυναγαγεῖν ἠδυνήθη εἰς ἐπισιτισμὸν τῇ στρατιᾷ τῇ περιπλεούσῃ ξὺν τῷ στόλῳ, ταῦτα κομίσοντα πέμπει Κρηθέα τὸν Καλλατιανόν. [6] καὶ τοῖς ἐγχωρίοις προσετάχθη ἐκ τῶν ἄνω τόπων σῖτόν τε ὅσον δυνατοὶ ἦσαν κατακομίσαι ἀλέσαντας καὶ τὰς βαλάνους τὰς τῶν φοινίκων καὶ πρόβατα ἐς ἀγορὰν τῷ στρατῷ. καὶ ἐς ἄλλον αὖ τόπον Τήλεφον κατέπεμψε τῶν ἑταίρων σὺν σίτῳ οὐ πολλῷ ἀληλεσμένῳ.

24. Αὐτὸς δὲ προὐχώρει ὡς ἐς τὰ βασίλεια τῶν Γαδρωσῶν, ὁ δὲ χῶρος Ποῦρα ὀνομάζεται, ἵναπερ ἀφίκετο ἐξ Ὤρων ὁρμηθεὶς ἐν ἡμέραις ταῖς πάσαις ἑξήκοντα. καὶ λέγουσιν οἱ πολλοὶ τῶν ξυγγραψάντων τὰ ἀμφ' Ἀλέξανδρον οὐδὲ τὰ ξύμπαντα ὅσα ἐταλαιπώρησεν αὐτῷ κατὰ τὴν Ἀσίαν ἡ στρατιὰ ξυμβληθῆναι ἄξια εἶναι τοῖς τῇδε πονηθεῖσι πόνοις.

hubiera y hacer todos los preparativos que pudieran resultar útiles para la buena marcha de su flota, bien excavando pozos, bien preparando un mercado o un lugar de amarre para sus barcos. [2] Mas, como la costa del territorio gadrosio es desértica por todas partes, tuvo que despachar a Toante, el hijo de Mandrodoro, con unos pocos jinetes hacia el mar, para que inspeccionara si había por allí algún lugar idóneo para amarre de sus barcos, o algún manantial no lejos del mar, o cualquier otro medio de abastecerse de lo más necesario. [3] Regresó Toante diciendo que había encontrado a algunos pescadores [276] en la playa en unas sofocantes chozas, hechas de conchas imbricadas unas en otras, y cuyo tejado estaba construido con el espinazo de peces. Sin embargo, estos pescadores apenas usaban agua, y obtenían ésta excavando penosamente la grava, aunque en todo caso no se trataba de agua dulce. [4] Al llegar Alejandro a una zona de Gadrosia en que abundaba el trigo, repartió las provisiones que había conseguido a los encargados de transportarlo en las bestias, precintó las provisiones con sus propio sello y dio órdenes estrictas de que las llevaran a la costa. Sin embargo, mientras se dirigía él al campamento más próximo al mar, sus soldados y los guardias, sin respetar ni tener consideración alguna por el sello real, abrieron las provisiones y las distribuyeron entre los más acosados por el hambre. [5] Hasta tal punto llegó la desgracia de estos hombres, que calcularon que era preferible atender esta manifiesta y presente necesidad a correr aquel otro lejano e incierto castigo de parte de su rey. En efecto, Alejandro perdonó en esta ocasión a los autores, pues comprendió que habían obrado movidos por una extrema necesidad.
Hizo luego Alejandro una correría por la región y se aprovisionó de cuantas cosas pudo para atender al ejército que acompañaba a la flota en su periplo, y envió a Crátero el de Calatis [277] a hacerse cargo de todo ello. [6] Ordenó a los habitantes de la región que trajeran de la zona interior del país todo el trigo molido que pudieran, dátiles de palmera y ganado para vender al ejército, y despachó a otro lugar a Télefo, uno de los Compañeros, con cierta cantidad de trigo molido.

Polvo, sudor y hierro. Alejandro cabalga.

24 Continuó Alejandro su avance hacia la capital de Gadrosia, llamada Pura[278] , a la que llegó desde el territorio de los oritas en seis días de marcha [279]. Casi todos los historiadores de Alejandro dicen que todo lo que sufrieron sus hombres en Asia no puede compararse con las penalidades que aquí penaron.

[2] οὐ μὴν ἀγνοήσαντα Ἀλέξανδρον τῆς ὁδοῦ τὴν χαλεπότητα ταύτῃ ἐλθεῖν, τοῦτο μὲν μόνος Νέαρχος λέγει ὧδε, ἀλλὰ ἀκούσαντα γὰρ ὅτι οὔπω τις πρόσθεν διελθὼν ταύτῃ ξὺν στρατιᾷ ἀπεσώθη, ὅτι μὴ Σεμίραμις ἐξ Ἰνδῶν ἔφυγε. καὶ ταύτην δὲ ἔλεγον οἱ ἐπιχώριοι σὺν εἴκοσι μόνοις τῆς στρατιᾶς ἀποσωθῆναι, Κῦρον δὲ τὸν Καμβύσου σὺν ἑπτὰ μόνοις καὶ τοῦτον. [3] ἐλθεῖν γὰρ δὴ καὶ Κῦρον ἐς τοὺς χώρους τούτους ὡς ἐσβαλοῦντα ἐς τὴν Ἰνδῶν γῆν, φθάσαι δὲ ὑπὸ τῆς ἐρημίας τε καὶ ἀπορίας τῆς ὁδοῦ ταύτης ἀπολέσαντα τὴν πολλὴν τῆς στρατιᾶς. καὶ ταῦτα Ἀλεξάνδρῳ ἐξαγγελλόμενα ἔριν ἐμβαλεῖν πρὸς Κῦρον καὶ Σεμίραμιν. τούτων τε οὖν ἕνεκα καὶ ἅμα ὡς τῷ ναυτικῷ ἐγγύθεν ἐκπορίζεσθαι τὰ ἀναγκαῖα, λέγει Νέαρχος ταύτην τραπῆναι Ἀλέξανδρον. [4] τό τε οὖν καῦμα ἐπιφλέγον καὶ τοῦ ὕδατος τὴν ἀπορίαν πολλὴν τῆς στρατιᾶς διαφθεῖραι καὶ μάλιστα δὴ τὰ ὑποζύγια· ταῦτα μὲν πρὸς τοῦ βάθους τε τῆς ψάμμου καὶ τῆς θέρμης, ὅτι κεκαυμένη ἦν, τὰ πολλὰ δὲ καὶ δίψει ἀπόλλυσθαι· καὶ γὰρ καὶ γηλόφοις ἐπιτυγχάνειν ὑψηλοῖς ψάμμου βαθείας, οὐ νεναγμένης, ἀλλ᾽ οἵας δέχεσθαι καθάπερ ἐς πηλὸν ἢ ἔτι μᾶλλον ἐς χιόνα ἀπάτητον ἐπιβαίνοντας. [5] καὶ ἅμα ἐν ταῖς προσβάσεσί τε καὶ καταβαίνοντας τούς τε ἵππους καὶ τοὺς ἡμιόνους ἔτι μᾶλλον κακοπαθεῖν τῷ ἀνωμάλῳ τῆς ὁδοῦ καὶ ἅμα οὐ βεβαίῳ, τῶν τε σταθμῶν τὰ μήκη πιέσαι οὐχ ἥκιστα τὴν στρατιάν· ἀπορία γὰρ ὕδατος οὐ ξύμμετρος οὖσα μᾶλλόν τι ἦγε πρὸς ἀνάγκην τὰς πορείας ποιεῖσθαι. [6] ὁπότε μὲν δὴ τῆς νυκτὸς ἐπελθόντες τὴν ὁδὸν ἥντινα ἀνύσαι ἐχρῆν ἕωθεν πρὸς ὕδωρ ἔλθοιεν, οὐ πάντῃ ἐταλαιπωροῦντο· προχωρούσης δὲ τῆς ἡμέρας ὑπὸ μήκους τῆς ὁδοῦ, εἰ ὁδοιποροῦντες ἔτι ἐγκαταληφθεῖεν, ἐνταῦθα ἂν ἐταλαιπώρουν πρὸς τοῦ καύματός τε καὶ ἅμα δίψει ἀπαύστῳ συνεχόμενοι.

25. Τῶν δὲ δὴ ὑποζυγίων πολὺς ὁ φθόρος καὶ ἑκούσιος τῇ στρατιᾷ ἐγίγνετο· ξυνιόντες γάρ, ὁπότε ἐπιλίποι σφᾶς τὰ σιτία, καὶ τῶν ἵππων τοὺς πολλοὺς ἀποσφάζοντες καὶ τῶν ἡμιόνων τὰ κρέα ἐσιτοῦντο καὶ ἔλεγον δίψει ἀποθανεῖν αὐτοὺς ἢ ὑπὸ καμάτου ἐκλιπόντας· καὶ ὁ τὴν ἀτρέκειαν τοῦ ἔργου ἐξελέγξων ὑπό τε τοῦ πόνου οὐδεὶς ἦν καὶ ὅτι ξύμπαντες τὰ αὐτὰ ἡμάρτανον. [2] καὶ Ἀλέξανδρον μὲν οὐκ ἐλελήθει τὰ

[2] Alejandro no eligió esta ruta por ignorar la dificultad del camino (esto sólo nos lo cuenta así Nearco [280]), sino más bien porque había oído que nadie hasta ahora había cruzado por aquí con su ejército sano y salvo, excepto Semíramis cuando escapó de los indios. Es más, según decían los vecinos del lugar [281], ésta logró salvarse solamente con veinte de sus hombres. También lo había logrado Ciro, el hijo de Cambises, con sólo siete de sus hombres. [3] Ciro había llegado a estos parajes para invadir la India, pero antes de que pudiera llevar a cabo su propósito pereció la mayor parte de su ejército por la dureza del desierto y la dificultad que hacer la travesía suponía. Alejandro, que tuvo noticias de estas hazañas, quiso emular [282] a Ciro y Semíramis; fue, pues, por este motivo y por hallarse en todo momento muy cerca de su flota (a fin de poderla abastecer de todo lo necesario) según dice Nearco, por lo que Alejandro tomó este camino.

[4] El tórrido sol y la falta de agua acabó con la mayor parte del ejército de Alejandro [283], y desde luego con las acémilas, que perecieron por hundirse en la arena, bajo un sol abrasador, y muchas de sed. Pues ocurría, en efecto, que se encontraban sobre altas colinas de profunda arena, arena nunca hollada, en la que se hundían al igual que si estuvieran pisando fango, o aún más exactamente, nieve no pisada. [5] Todavía más, las caballerías y las mulas, al ascender o descender por las dunas lo pasaban aún peor, debido a la escabrosidad e inseguridad del firme del camino. Por su parte, el ejército sufría no menos a causa de las largas marchas de cada día, pues el agua les faltaba y los puntos de abastecimiento estaban muy irregularmente localizados, por lo que a veces se veían obligados a continuar sin más remedio su caminata.

[6] Cuando conseguían hacer por la noche el trayecto previsto y llegar al amanecer a algún lugar donde había agua, no sufrían en exceso, pero si debían continuar la marcha durante el día, por exigirlo así el largo trayecto hasta llegar al lugar de abastecimiento, sufrían no sólo por el calor [284], sino que también eran víctimas de insaciable sed.

Una nueva catástrofe.

25 Entre las bestias de carga hubo también una gran mortandad, siendo en ocasiones la propia gente de Alejandro quien las mataba. En efecto, al faltarles la comida, se pusieron de acuerdo para ir matando poco a poco un buen número de caballos y mulos a fin de alimentarse con su carne, diciendo que los animales habían perecido por la sed o agotados por el cansancio. No hubo nadie que quisiera aclarar la realidad de lo que ocurría, ya que todos eran cómplices de una misma falta, y por la desesperación en que todos estaban. [2] No ignoraba Alejandro lo que

γιγνόμενα, ἴασιν δὲ τῶν παρόντων ἑώρα τὴν τῆς ἀγνοίας προσποίησιν μᾶλλόν τι ἢ τὴν ὡς γιγνωσκομένων ἐπιχώρησιν. οὔκουν οὐδὲ τοὺς νόσῳ κάμνοντας τῆς στρατιᾶς οὐδὲ τοὺς διὰ κάματον ὑπολειπομένους ἐν ταῖς ὁδοῖς ἄγειν ἔτι ἦν εὐμαρῶς ἀπορίᾳ τε τῶν ὑποζυγίων καὶ ὅτι τὰς ἁμάξας αὐτοὶ κατέκοπτον, ἀπόρους οὔσας αὐτοῖς ὑπὸ βάθους τῆς ψάμμου ἄγεσθαι καὶ ὅτι ἐν τοῖς πρώτοις σταθμοῖς διὰ ταῦτα ἐξηναγκάζοντο οὐ τὰς βραχυτάτας ἰέναι τῶν ὁδῶν, ἀλλὰ τὰς εὐπορωτάτας τοῖς ζεύγεσι.

[3] καὶ οὕτως οἱ μὲν νόσῳ κατὰ τὰς ὁδοὺς ὑπελείποντο, οἱ δὲ ὑπὸ καμάτου ἢ καύματος ἢ τῷ δίψει οὐκ ἀντέχοντες, καὶ οὔτε οἱ ἄξοντες ἦσαν οὔτε οἱ μένοντες θεραπεύσοντες· σπουδῇ γὰρ πολλῇ ἐγίγνετο ὁ στόλος, καὶ ἐν τῷ ὑπὲρ τοῦ παντὸς προθύμῳ τὸ καθ᾽ ἑκάστους ξὺν ἀνάγκῃ ἠμελεῖτο· οἱ δὲ καὶ ὕπνῳ κάτοχοι κατὰ τὰς ὁδοὺς γενόμενοι οἷα δὴ νυκτὸς τὸ πολὺ τὰς πορείας ποιούμενοι, ἔπειτα ἐξαναστάντες, οἷς μὲν δύναμις ἔτι ἦν κατὰ τὰ ἴχνη τῆς στρατιᾶς ἐφομαρτήσαντες ὀλίγοι ἀπὸ πολλῶν ἐσώθησαν, οἱ πολλοὶ δὲ ὥσπερ ἐν πελάγει ἐκπεσόντες ἐν τῇ ψάμμῳ ἀπώλλυντο.

[4] Ξυνηνέχθη δὲ τῇ στρατιᾷ καὶ ἄλλο πάθημα, ὃ δὴ οὐχ ἥκιστα ἐπίεσεν αὐτούς τε καὶ τοὺς ἵππους καὶ τὰ ὑποζύγια. ὕεται γὰρ ἡ Γαδρωσίων γῆ ὑπ᾽ ἀνέμων τῶν ἐτησίων, καθάπερ οὖν καὶ ἡ Ἰνδῶν γῆ, οὐ τὰ πεδία τῶν Γαδρωσίων, ἀλλὰ τὰ ὄρη, ἵναπερ προσφέρονταί τε αἱ νεφέλαι ἐκ τοῦ πνεύματος καὶ ἀναχέονται, οὐχ ὑπερβάλλουσαι τῶν ὀρῶν τὰς κορυφάς. [5] ὡς δὲ ηὐλίσθη ἡ στρατιὰ πρὸς χειμάρρῳ ὀλίγου ὕδατος, αὐτοῦ δὴ ἕνεκα τοῦ ὕδατος, ἀμφὶ δευτέραν φυλακὴν τῆς νυκτὸς ἐμπλησθεὶς ὑπὸ τῶν ὄμβρων ὁ χειμάρρους ὁ ταύτῃ ῥέων ἀφανῶν τῇ στρατιᾷ γεγενημένων τῶν ὄμβρων τοσούτῳ ἐπῆλθε τῷ ὕδατι, ὡς γύναια καὶ παιδάρια τὰ πολλὰ τῶν ἑπομένων τῇ στρατιᾷ διαφθεῖραι καὶ τὴν κατασκευὴν τὴν βασιλικὴν ξύμπασαν ἀφανίσαι καὶ τῶν ὑποζυγίων ὅσα ὑπελείπετο,[I] αὐτοὺς δὲ μόλις καὶ χαλεπῶς ξὺν τοῖς ὅπλοις οὐδὲ τούτοις πᾶσιν ἀποσωθῆναι. [6] οἱ πολλοὶ δὲ καὶ πίνοντες, ὁπότε ἐκ καύματός τε καὶ

[I] Castiglioni: ἀπελείπετο codd.

estaba sucediendo, pero es que el único remedio que en las actuales circunstancias veía era fingir no estar enterado de nada, mejor que tener que condescender con actos que le eran bien conocidos. No resultaba nada fácil recoger a los soldados enfermos ni a los que por la fatiga quedaban rezagados en los caminos, pues carecían casi totalmente de bestias de carga, y porque ellos mismos habían destrozado los carromatos [285]. Llegó un momento en que resultaba imposible tirar de ellos al quedar enterrados en la profunda arena, razón por la que en las primeras jornadas de marcha se habían visto obligados a ir no por las rutas más cortas, sino por las más cómodas para los carromatos.

[3] Así, unos quedaban abandonados por esos caminos, aquejados de alguna enfermedad; otros, por no poder soportar más el cansancio, el calor o la sed; no había nadie que pudiera transportarlos, ni nadie que pudiera quedarse a cuidarlos. Como el ejército marchaba a toda prisa, no tenían más remedio que desatender en beneficio del bien común los intereses particulares; por ello, si alguno quedaba rezagado vencido por el sueño (lo cual era fácil, ya que la mayoría de las veces marchaban durante la noche) y se despertaba algo más tarde, se ponía a seguir las huellas del ejército si aún tenía fuerzas; eran pocos, sin embargo, los que conseguían reagruparse y salvar sus vidas, pues la mayoría caían fatigados sobre la arena y perecían como náufragos en el mar.

[4] Sobrevino al ejército todavía una nueva calamidad no menos importante, que aniquiló a hombres, caballos y acémilas. Por influjo de los vientos monzones de cada año llueve intensamente sobre la tierra gadrosia, al igual que ocurre en la India, siendo las precipitaciones más intensas en los montes que en la llanura, pues las nubes son arrastradas por los vientos y descargan su aguacero sin sobrepasar las crestas de las montañas. [5] Estaba acampado el ejército junto a un torrente de escaso caudal (precisamente se había acampado allí para que el ejército pudiera disponer de agua), cuando a eso de la segunda guardia nocturna el riachuelo que por allí discurría creció por el agua de las lluvias caídas río arriba, sin que las tropas de Alejandro se hubieran percatado de estas torrenciales lluvias, y fue tan grande la avalancha de agua por el río, que causó la muerte a la mayor parte de las mujeres y niños que acompañaban al ejército, todo el pabellón del rey desapareció entre las aguas, así como los pocos animales que quedaban. A duras penas y difícilmente pudieron salvarse los soldados, y sólo con parte de sus armas. [6] Hubo más: Muchos se pusieron ahora a beber, al

δίψους ὕδατι ἀθρόῳ ἐπιτύχοιεν, πρὸς αὐτοῦ τοῦ ἀπαύστου ποτοῦ ἀπώλλυντο. καὶ τούτων ἕνεκα Ἀλέξανδρος τὰς στρατοπεδείας οὐ πρὸς τοῖς ὕδασιν αὐτοῖς τὸ πολὺ ἐποιεῖτο, ἀλλὰ ἀπέχων ὅσον εἴκοσι σταδίους μάλιστα, ὡς μὴ ἀθρόους ἐμπίπτοντας τῷ ὕδατι αὐτούς τε καὶ κτήνη ἀπόλλυσθαι καὶ ἅμα τοὺς μάλιστα ἀκράτορας σφῶν ἐπεμβαίνοντας ἐς τὰς πηγὰς ἢ τὰ ῥεύματα διαφθείρειν καὶ τῇ ἄλλῃ στρατιᾷ τὸ ὕδωρ.

26. Ἔνθα δὴ ἔργον καλὸν εἴπερ τι ἄλλο τῶν Ἀλεξάνδρου οὐκ ἔδοξέ μοι ἀφανίσαι, ἢ ἐν τῇδε τῇ χώρᾳ πραχθὲν ἢ ἔτι ἔμπροσθεν ἐν Παραπαμισάδαις, ὡς μετεξέτεροι ἀνέγραψαν. ἰέναι μὲν τὴν στρατιὰν διὰ ψάμμου τε καὶ τοῦ καύματος ἤδη ἐπιφλέγοντος, ὅτι πρὸς ὕδωρ ἐχρῆν ἐξανύσαι· τὸ δὲ ἦν πρόσθεν τῆς ὁδοῦ· καὶ αὐτόν τε Ἀλέξανδρον δίψει κατεχόμενον μόλις μὲν καὶ χαλεπῶς, πεζὸν δὲ ὅμως ἡγεῖσθαι· ὣς δὲ καὶ τοὺς ἄλλους στρατιώτας, οἷάπερ φιλεῖ ἐν τῷ τοιῷδε, κουφοτέρως φέρειν τοὺς πόνους ἐν ἰσότητι τῆς ταλαιπωρήσεως. [2] ἐν δὲ τούτῳ τῶν ψιλῶν τινας κατὰ ζήτησιν ὕδατος ἀποτραπέντας ἀπὸ τῆς στρατιᾶς εὑρεῖν ὕδωρ συλλελεγμένον ἔν τινι χαράδρᾳ οὐ βαθείᾳ, ὀλίγην καὶ φαύλην πίδακα· καὶ τοῦτο οὐ χαλεπῶς συλλέξαντας σπουδῇ ἰέναι παρ᾽ Ἀλέξανδρον, ὡς μέγα δή τι ἀγαθὸν φέροντας· ὡς δὲ ἐπέλαζον ἤδη, ἐμβαλόντας ἐς κράνος τὸ ὕδωρ προσενεγκεῖν τῷ βασιλεῖ. [3] τὸν δὲ λαβεῖν μὲν καὶ ἐπαινέσαι τοὺς κομίσαντας, λαβόντα δὲ ἐν ὄψει πάντων ἐκχέαι· καὶ ἐπὶ τῷδε τῷ ἔργῳ ἐς τοσόνδε ἐπιρρωσθῆναι τὴν στρατιὰν ξύμπασαν ὥστε εἰκάσαι ἄν τινα πότον γενέσθαι πᾶσιν ἐκεῖνο τὸ ὕδωρ τὸ πρὸς Ἀλεξάνδρου ἐκχυθέν.

τοῦτο ἐγώ, εἴπερ τι ἄλλο, τὸ ἔργον εἰς καρτερίαν τε καὶ ἅμα στρατηγίαν ἐπαινῶ Ἀλεξάνδρου.

[4] Ξυνηνέχθη δέ τι καὶ τοιόνδε τῇ στρατιᾷ ἐν τῇ γῇ ἐκείνῃ. οἱ γὰρ ἡγεμόνες τῆς ὁδοῦ τελευτῶντες οὐκέτι μεμνῆσθαι ἔφασκον τὴν ὁδόν, ἀλλ᾽ ἀφανισθῆναι τὰ σημεῖα αὐτῆς πρὸς τοῦ ἀνέμου ἐπιπνεύσαντος· καὶ—οὐ γὰρ εἶναι ἐν τῇ ψάμμῳ πολλῇ τε καὶ ὁμοίᾳ πάντῃ νενημένῃ ὅτῳ τεκμηριώσονται τὴν ὁδόν, οὔτ᾽ οὖν δένδρα ξυνήθη παρ᾽ αὐτὴν πεφυκότα, οὔτε τινὰ γήλοφον βέβαιον ἀνεστηκότα· οὐδὲ πρὸς τὰ

encontrarse con abundancia de agua después del calor y la sed sufridos, y no pocos murieron de beber insaciablemente. A resultas de este percance, Alejandro ya no volvió a acampar normalmente su ejército a la orilla de ningún río, sino que se apartaba unos veinte estadios [286], para evitar que sus hombres se precipitaran en busca del agua, pereciendo ellos y sus animales, y evitar al mismo tiempo que los más ávidos de agua subieran a las fuentes y contaminaran el agua para el resto del ejército.

Un verdadero jefe.

26 Llegado a este punto, me parece que no debo dejar en el olvido uno de los más bellos gestos de Alejandro, quier que fuera aquí donde ocurrió, quier que ocurriera antes, como han dicho otros, en la región de Parapamísada [287]. Marchaba el ejército por la arena, mientras un sol abrasador lucía sobre ellos, ya que era preciso llegar hasta un lugar donde hubiera agua, y aún quedaba un largo trayecto. El propio Alejandro sufría una sed terrible, mas con todo, continuaba a pie al frente de sus hombres en medio de grandes penalidades. Como suele ocurrir en tales circunstancias, sus hombres sobrellevaban mejor las calamidades al ver que todos por igual, incluido el rey, las compartían. [2] De pronto acaeció que algunos soldados de infantería ligera, que se habían apartado un poco del resto del ejército a buscar agua, encontraron una hoya no muy profunda, donde se había almacenado una pequeña cantidad de agua apenas potable. Recogieron los soldados, pues, un poco de agua y fueron a llevársela a Alejandro como quien le lleva un gran regalo, y una vez en su presencia le ofrecieron el agua que traían en un casco. [3] Éste lo cogió entre sus manos, dando las gracias a quienes se lo ofrecían, y una vez en sus manos, sin embargo, y a la vista de todos, la derramó por tierra. Ante este gesto de Alejandro todo su ejército recuperó de nuevo los ánimos, hasta tal punto que cualquiera podría pensar que aquel agua vertida por Alejandro se había convertido en bebida para todas sus tropas.

Yo elogio este bello gesto de Alejandro no menos que otros, porque demuestra la resistencia y el espíritu de lo que según Alejandro debía ser un verdadero jefe.

[4] Ocurrieron al ejército aún otras desgracias parecidas estando en este territorio [288]. En efecto, llegó un momento en que los guías de la expedición terminaron por admitir que no podían reconocer el camino, porque el violento viento que soplaba había borrado las señales. Además, no había ningún indicio por el que aventurar el camino en medio de aquella extensa llanura de tierra en la que no había ni árboles, como contrariamente crecen en todas partes, ni cerro alguno que se alzara firme [289] sobre la llanura. Tampoco tenían práctica los guías en orientarse por

ἄστρα ἐν νυκτὶ ἢ μεθ᾽ ἡμέραν πρὸς τὸν ἥλιον μεμελετῆσθαί σφισι τὰς πορείας, καθάπερ τοῖς ναύταις πρὸς τῶν ἄρκτων τὴν μὲν Φοίνιξι, τὴν ὀλίγην, τὴν δὲ τοῖς ἄλλοις ἀνθρώποις, τὴν μείζονα·—[5] ἔνθα δὴ Ἀλέξανδρον ξυνέντα ὅτι ἐν ἀριστερᾷ <δεῖ> ἀποκλίναντα ἄγειν, ἀναλαβόντα ὀλίγους ἅμα οἷ ἱππέας <προχωρῆσαι>· ὡς δὲ καὶ τούτων οἱ ἵπποι ἐξέκαμνον ὑπὸ τοῦ καύματος, ἀπολιπεῖν καὶ τούτων τοὺς πολλούς, αὐτὸν δὲ ξὺν πέντε τοῖς πᾶσιν ἀφιππάσασθαι καὶ εὑρεῖν τὴν θάλασσαν, διαμησάμενόν τε αὐτὸν ἐπὶ τοῦ αἰγιαλοῦ τὸν κάχληκα ἐπιτυχεῖν ὕδατι γλυκεῖ καὶ καθαρῷ καὶ οὕτω μετελθεῖν τὴν στρατιὰν πᾶσαν· καὶ ἐς ἑπτὰ ἡμέρας ἰέναι παρὰ τὴν θάλασσαν ὑδρευομένους ἐκ τῆς ἠϊόνος. ἔνθεν δέ, ἤδη γὰρ γιγνώσκειν τὴν ὁδὸν τοὺς ἡγεμόνας, ἐπὶ τῆς μεσογαίας ποιεῖσθαι τὸν στόλον.

27. Ὡς δὲ ἀφίκετο ἐς τῶν Γαδρωσίων τὰ βασίλεια, ἀναπαύει ἐνταῦθα τὴν στρατιάν. καὶ Ἀπολλοφάνην μὲν παύει τῆς σατραπείας, ὅτι οὐδενὸς ἔγνω ἐπιμεληθέντα τῶν προεπηγγελμένων, Θόαντα δὲ σατραπεύειν τῶν ταύτῃ ἔταξε· τούτου δὲ νόσῳ τελευτήσαντος Σιβύρτιος τὴν σατραπείαν ἐκδέχεται· ὁ αὐτὸς δὲ καὶ Καρμανίας σατράπης ἦν νεωστὶ ἐξ Ἀλεξάνδρου ταχθείς· τότε δὲ τούτῳ μὲν Ἀραχωτῶν τε καὶ τῶν Γαδρωσίων ἄρχειν ἐδόθη, Καρμανίαν δὲ ἔσχε Τληπόλεμος ὁ Πυθοφάνους. [2] ἤδη τε ἐπὶ Καρμανίας προὐχώρει ὁ βασιλεὺς καὶ ἀγγέλλεται αὐτῷ Φίλιππον τὸν σατράπην τῆς Ἰνδῶν γῆς ἐπιβουλευθέντα πρὸς τῶν μισθοφόρων δόλῳ ἀποθανεῖν, τοὺς δὲ ἀποκτείναντας ὅτι οἱ σωματοφύλακες τοῦ Φιλίππου οἱ Μακεδόνες τοὺς μὲν ἐν αὐτῷ τῷ ἔργῳ, τοὺς δὲ καὶ ὕστερον λαβόντες ἀπέκτειναν. ταῦτα δὲ ὡς ἔγνω, ἐκπέμπει γράμματα ἐς Ἰνδοὺς παρὰ Εὔδαμόν τε καὶ Ταξίλην ἐπιμελεῖσθαι τῆς χώρας τῆς πρόσθεν ὑπὸ Φιλίππῳ τεταγμένης ἔστ᾽ ἂν αὐτὸς σατράπην ἐκπέμψῃ ἐπ᾽ αὐτῆς. [3] Ἤδη δ᾽ ἐς Καρμανίαν ἥκοντος Ἀλεξάνδρου Κρατερὸς ἀφικνεῖται, τήν τε ἄλλην στρατιὰν ἅμα οἷ ἄγων καὶ τοὺς ἐλέφαντας καὶ Ὀρδάνην τὸν ἀποστάντα καὶ νεωτερίσαντα συνειληφώς. ἐνταῦθα δὲ Στασάνωρ τε ὁ Ἀρείων καὶ ὁ Ζαραγγῶν σατράπης ἧκεν καὶ ξὺν αὐτοῖς Φαρισμάνης ὁ Φραταφέρνου τοῦ Παρθυαίων καὶ Ὑρκανίων σατράπου παῖς. ἧκον δὲ καὶ οἱ στρατηγοὶ οἱ ὑπολειφθέντες ἅμα Παρμενίωνι ἐπὶ τῆς στρατιᾶς

los astros durante la noche, ni durante el día según el curso del sol, que es lo que suelen hacer los marineros fenicios, que se orientan por la Osa Menor, o los demás hombres, que lo hacen mediante la Osa Mayor [290].

[5] Comprendió entonces Alejandro que debía conducir su ejército desviándose ligeramente hacia la izquierda; se puso al frente de unos pocos jinetes y se adelantó en esa dirección [291]. Mas como algunos de sus jinetes se fatigaran por el sofocante calor, se destacó él solo con cinco hombres a caballo hasta encontrar el mar. Escarbaron allí en la grava de la playa hasta dar con agua pura y dulce, tras lo cual compareció allí todo el ejército. Durante siete días continuaron su marcha por la playa, abasteciéndose del agua de los pozos de la costa. A continuación los guías dieron de nuevo con el camino y el ejército se adentró hacia el interior de la región.

Se reúne en Carmania con Crátero.

27 Al llegar a la capital de Gadrosia, concedió Alejandro un descanso a sus tropas. Destituyó al sátrapa Apolófanes por negligencia en el cumplimiento de sus funciones, y en su lugar nombró a Toante sátrapa de esta región, mas como éste muriera aquejado de grave enfermedad, se encargó de la satrapía Sibirtio, que había sido nombrado hacía poco por Alejandro sátrapa de Carmania. A partir de ahora, pues, gobernaría a los aracosios y gadrosios. De Carmania se encargaría, a su vez, Tlepólemo, el hijo de Pitófanes [292].

[2] En su avance hacia Carmania, recibió noticias de que Filipo, el sátrapa de la India, había muerto en una conspiración preparada a traición por los mercenarios, aunque los macedonios de la guardia personal de Filipo habían dado muerte a los asesinos, a unos cogiéndolos «in fraganti», y a otros tras haberlos detenido algo más tarde. Al tener conocimiento de estos incidentes despachó una carta a la India para Éudamo y Taxiles, encareciéndoles que se hicieran cargo del país antes regido por Filipo, hasta que él enviara al nuevo sátrapa. [3] Una vez en Carmania Alejandro, se reunió con él Crátero al frente del resto del ejército y los elefantes. Traía como prisionero a Ordanes, a quien había capturado por haberse éste insubordinado y haber promovido la sedición. También comparecieron Estasanor, sátrapa de Aria y Zarangia, y con ellos Farismanes, el hijo de Fratafernes, que era sátrapa de Partia e Hircania. Regresaron también los jefes que habían quedado con Parmenión en

τῆς ἐν Μηδίᾳ, Κλέανδρός τε καὶ Σιτάλκης καὶ Ἡράκων, τὴν πολλὴν τῆς στρατιᾶς καὶ οὗτοι ἄγοντες.

[4] τοὺς μὲν δὴ ἀμφὶ Κλέανδρόν τε καὶ Σιτάλκην πολλὰ ἐπικαλούντων αὐτοῖς τῶν τε ἐγχωρίων καὶ τῆς στρατιᾶς αὐτῆς, ὡς ἱερά τε πρὸς αὐτῶν σεσυλημένα καὶ θήκας παλαιὰς κεκινημένας καὶ ἄλλα ἄδικα ἔργα <ἐς> τοὺς ὑπηκόους τετολμημένα καὶ ἀτάσθαλα, ταῦτα ὡς ἐξηγγέλθη,[I] τοὺς μὲν ἀπέκτεινεν, ὡς καὶ τοῖς ἄλλοις δέος εἶναι, ὅσοι σατράπαι ἢ ὕπαρχοι ἢ νομάρχαι ἀπολείποιντο, τὰ ἴσα ἐκείνοις πλημμελοῦντας πείσεσθαι· **[5]** (καὶ τοῦτο, εἴπερ τι ἄλλο, κατέσχεν ἐν κόσμῳ τὰ ἔθνη τὰ ἐξ Ἀλεξάνδρου δοριάλωτα ἢ ἑκόντα προσχωρήσαντα, τοσαῦτα μὲν πλήθει ὄντα, τόσον δὲ ἀλλήλων ἀφεστηκότα, ὅτι οὐκ ἐξῆν ὑπὸ τῇ Ἀλεξάνδρου βασιλείᾳ ἀδικεῖσθαι τοὺς ἀρχομένους ὑπὸ τῶν ἀρχόντων·) Ἡράκων δὲ τότε μὲν ἀφείθη τῆς αἰτίας· ὀλίγον δὲ ὕστερον ἐξελεγχθεὶς πρὸς ἀνδρῶν Σουσίων σεσυληκέναι τὸ ἐν Σούσοις ἱερὸν καὶ οὗτος ἔδωκεν δίκην.

[6] οἱ δὲ σὺν Στασάνορι καὶ Φραταφέρνῃ πλῆθός τε ὑποζυγίων παρ᾽ Ἀλέξανδρον ἄγοντες ἦλθον καὶ καμήλους πολλάς, ὡς ἔμαθον ὅτι τὴν ἐπὶ Γαδρωσίων ἄγει, εἰκάσαντες ὅτι τὰ αὐτὰ ἐκεῖνα πείσεται αὐτῷ ἡ στρατιὰ ἃ δὴ ἔπαθε· καὶ οὖν καὶ ἐν καιρῷ μὲν καὶ οὗτοι ἀφίκοντο, ἐν καιρῷ δὲ αἱ κάμηλοί τε καὶ τὰ ὑποζύγια· διένειμε γὰρ ξύμπαντα Ἀλέξανδρος τοῖς μὲν ἡγεμόσι κατ᾽ ἄνδρα, τοῖς δὲ κατ᾽ ἴλας τε καὶ ἑκατοστύας, τοῖς δὲ κατὰ λόχους, ὅπως τὸ πλῆθος τῶν ὑποζυγίων τε καὶ καμήλων αὐτῷ ξυνέβαινεν.

28. Ἤδη δέ τινες καὶ τοιάδε ἀνέγραψαν, οὐ πιστὰ ἐμοὶ λέγοντες, ὡς συζεύξας δύο ἁρμαμάξας κατακείμενος ξὺν τοῖς ἑταίροις <καὶ>[II] καταυλούμενος τὴν διὰ Καρμανίας ἦγεν, ἡ στρατιὰ δὲ αὐτῷ ἐστεφανωμένη τε καὶ παίζουσα εἵπετο, προὔκειτο δὲ αὐτῇ σῖτά τε καὶ ὅσα ἄλλα ἐς τρυφὴν παρὰ τὰς ὁδοὺς συγκεκομισμένα πρὸς τῶν Καρμανίων, καὶ ταῦτα πρὸς μίμησιν τῆς Διονύσου βακχείας ἀπεικάσθη Ἀλεξάνδρῳ, **[2]** ὅτι καὶ ὑπὲρ ἐκείνου λόγος ἐλέγετο

[I] codd.: ἐξηλέγχθη Sintenis
[II] Añadido por Polak.

Media, a saber, Cleandro, Sitalces y Heracón, acompañados de la mayor parte de sus respectivos hombres.

[4] Los nativos de la región [293], así como un buen número de sus propios soldados, hicieron graves acusaciones contra Cleandro y Sitalces, a los que imputaban haber saqueado santuarios, haber profanado las tumbas de antiguos cementerios, así como haber cometido todo tipo de injustas vejaciones, hechos con arrogancia y desprecio a sus súbditos. Al tener Alejandro pruebas suficientes [294] de estas graves acusaciones, mandó ajusticiar a estos dos jefes, para que sirvieran de escarmiento a sus demás sátrapas, gobernadores y nomarcos, y tuvieran presente siempre que de sobrepasarse en sus atribuciones correrían la misma suerte que sus colegas.

[5] Fue este tipo de medidas, más que ninguna otra, lo que permitió a Alejandro mantener en orden los pueblos a él sometidos por la fuerza o anexionados voluntariamente, siendo tan numerosos como eran y tan distantes entre sí. Efectivamente, nunca consintió Alejandro que en sus dominios los súbditos fueran objeto de malos tratos de parte de sus gobernantes. De momento, Heracón quedó libre de culpa, pero algo más tarde los ciudadanos de Susa probaron que había saqueado el templo de Susa, siendo así declarado culpable.

[6] Los que acompañaban a Estasanor y Fratafernes [295] trajeron a Alejandro un buen número de acémilas y muchos camellos, pues, informados de que Alejandro marchaba por Gadrosia, previeron que su ejército sufriría las penalidades que en efecto (y ahora se comprobaba) sufrieron. Fue ciertamente muy oportuna su incorporación, la de sus camellos y la de las acémilas. Alejandro hizo de ellos el siguiente reparto: entre los oficiales, uno a cada uno, y entre los demás, por escuadrones, centurias y compañías, según lo permitió el número total de acémilas y camellos.

Reencuentro Nearco-Alejandro.

28 Algunos historiadores nos han transmitido el siguiente relato [296], aunque a mi juicio es poco digno de crédito: mandó unir Alejandro dos coches para recostarse en ellos y cruzar así toda Carmania, acompañado por sus Compañeros al son de la flauta, mientras su ejército le seguía coronado de guirnaldas y danzando; los habitantes de Carmania le salían por los caminos a su encuentro ofreciéndole toda suerte de alimentos y refinamientos. Según nos dicen, Alejandro había preparado **[2]** todo esto

καταστρεψάμενον Ἰνδοὺς Διόνυσον οὕτω τὴν πολλὴν τῆς Ἀσίας ἐπελθεῖν, καὶ Θρίαμβόν τε αὐτὸν ἐπικληθῆναι τὸν Διόνυσον καὶ τὰς ἐπὶ ταῖς νίκαις ταῖς ἐκ πολέμου πομπὰς ἐπὶ τῷ αὐτῷ τούτῳ θριάμβους. ταῦτα δὲ οὔτε Πτολεμαῖος ὁ Λάγου οὔτε Ἀριστόβουλος ὁ Ἀριστοβούλου ἀνέγραψαν οὐδέ τις ἄλλος ὅντινα ἱκανὸν ἄν τις ποιήσαιτο τεκμηριῶσαι ὑπὲρ τῶν τοιῶνδε, καί μοι ὡς οὐ πιστὰ ἀναγεγράφθαι ἐξήρκεσαν. [3] ἀλλὰ ἐκεῖνα ἤδη Ἀριστοβούλῳ ἑπόμενος ξυγγράφω, θῦσαι ἐν Καρμανίᾳ Ἀλέξανδρον χαριστήρια τῆς κατ' Ἰνδῶν νίκης καὶ ὑπὲρ τῆς στρατιᾶς, ὅτι ἀπεσώθη ἐκ Γαδρωσίων, καὶ ἀγῶνα διαθεῖναι μουσικόν τε καὶ γυμνικόν· καταλέξαι δὲ καὶ Πευκέσταν ἐς τοὺς σωματοφύλακας, ἤδη μὲν ἐγνωκότα σατράπην καταστῆσαι τῆς Περσίδος, ἐθέλοντα δὲ πρὸ τῆς σατραπείας μηδὲ ταύτης τῆς τιμῆς καὶ πίστεως ἀπείρατον εἶναι ἐπὶ τῷ ἐν Μαλλοῖς ἔργῳ· [4] εἶναι δὲ αὐτῷ ἑπτὰ εἰς τότε σωματοφύλακας, Λεοννάτον † Ἀντέου,[I] Ἡφαιστίωνα τὸν Ἀμύντορος, Λυσίμαχον Ἀγαθοκλέους, Ἀριστόνουν Πεισαίου, τούτους μὲν Πελλαίους, Περδίκκαν δὲ Ὀρόντου ἐκ τῆς Ὀρεστίδος, Πτολεμαῖον δὲ Λάγου καὶ Πείθωνα Κρατεύα Ἐορδαίους· ὄγδοον δὲ προσγενέσθαι αὐτοῖς Πευκέσταν τὸν Ἀλεξάνδρου ὑπερασπίσαντα. [5] Ἐν τούτῳ δὲ καὶ Νέαρχος περιπλεύσας τὴν Ὤρων τε καὶ Γαδρωσῶν γῆν καὶ τὴν τῶν Ἰχθυοφάγων κατῆρεν ἐς τῆς Καρμανίας τὰ πρὸς θάλασσαν ᾠκισμένα· ἔνθεν δὲ ἀνελθὼν σὺν ὀλίγοις Ἀλεξάνδρῳ ἀπήγγειλε τὰ ἀμφὶ τὸν περίπλουν τὸν γενόμενον αὐτῷ κατὰ τὴν ἔξω θάλασσαν.

[6] τοῦτον μὲν δὴ καταπέμπει αὖθις ἐκπεριπλεύσοντα ἔστε ἐπὶ τὴν Σουσιανῶν τε γῆν καὶ τοῦ Τίγρητος ποταμοῦ τὰς ἐκβολάς·

ὅπως δὲ ἐπλεύσθη αὐτῷ τὰ ἀπὸ τοῦ Ἰνδοῦ ποταμοῦ ἐπὶ τὴν θάλασσαν τὴν Περσικὴν καὶ τὸ στόμα τοῦ Τίγρητος, ταῦτα ἰδίᾳ ἀναγράψω αὐτῷ Νεάρχῳ ἑπόμενος, ὡς καὶ τήνδε εἶναι ὑπὲρ Ἀλεξάνδρου Ἑλληνικὴν τὴν συγγραφήν. ταῦτα μὲν δὴ ἐν ὑστέρῳ ἔσται τυχόν, εἰ [ς] ὅ τε θυμός [τέ] με καὶ ὁ δαίμων ταύτῃ ἄγοι. [7] Ἀλέξανδρος δὲ Ἡφαιστίωνα μὲν σύν τε τῇ πλείστῃ μοίρᾳ τῆς στρατιᾶς καὶ τοῖς ὑποζυγίοις καὶ τοὺς ἐλέφαντας ἅμα οἷ ἔχοντα τὴν παρὰ θάλασσαν ἀπὸ

[I] Ver nota al texto en iii 5,5.

imitando a Dioniso, ya que sobre él corría un rumor, según el cual el dios, después de haber sometido a los indios, atravesó con una comitiva semejante la mayor parte de Asia, donde recibió la invocación de Triambo, y que sus procesiones tras sus victorias en guerra se llamaron por este motivo. Triambos. Este relato, empero, no lo transmiten ni Tolomeo, el hijo de Lago, ni Aristobulo, hijo de Aristobulo, ni ningún otro historiador a quien uno pueda dar credibilidad a propósito de relatos como éstos. Por lo que a mí respecta, baste decir que los he contado como cosas nada dignas de crédito. [3] Sigo, sin embargo, el testimonio de Aristobulo, al dejar constancia de que Alejandro ofreció sacrificios en Carmania como agradecimiento por sus victorias sobre los indios, y en nombre de su ejército, por haber cruzado Gadrosia sanos y salvos, e instituyó un certamen musical y gimnástico. Decidió ahora Alejandro nombrar miembro de su guardia personal a Peucestas, a quien había previsto nombrar más adelante sátrapa de Persia, pero quería que conociera la dignidad y confianza de que disfrutaban los miembros de su guardia personal, antes de nombrarle sátrapa, y todo ello como recompensa por su valiente comportamiento entre los malios. [4] Componían por entonces su guardia personal siete hombres: Leónato, el hijo de Anteo; Hefestión, hijo de Amintor; Lisímaco, el hijo de Agatocles; Arístono, el hijo de Piseo, todos ellos de Pela; además, Perdicas, hijo de Orontes, natural de Orestide; Tolomeo, hijo de Lago, y Pitón, el hijo de Crateas, naturales de Eordea. A estos siete se sumaba ahora un octavo, Peucestas, el que había protegido a Alejandro con su escudo.[5] Mientras tanto Nearco, que había circunnavegado el territorio de los oritas, gadrosios y país de los ictiófagos, puso rumbo hacia las zonas costeras habitadas de Carmania. Desde la costa se adentró con unos pocos hombres en busca de Alejandro, a quien contó los pormenores de su periplo por el mar Exterior [297]

. [6] Alejandro le ordenó regresar a puerto y que continuase el periplo hasta llegar al territorio de Susa y la desembocadura del río Tigris.

Tengo yo la intención de escribir la historia de este viaje de Nearco desde el Indo a la desembocadura del Tigris en el Golfo Pérsico, siguiendo su propio testimonio, de suerte que pueda ser ésta la Historia Griega de Alejandro, aunque ello quedará para otra ocasión mejor, cuando a ello me incite mi ánimo y cuente con la ayuda divina [298].

[7] Ordenó Alejandro a Hefestión que con la mayor parte del ejército, las acémilas y los elefantes que con él iban, tomara el camino costero que

Καρμανίας ὡς ἐπὶ τὴν Περσίδα ἄγειν ἐκέλευσεν, ὅτι χειμῶνος ὥρᾳ γιγνομένου αὐτῷ τοῦ στόλου τὰ πρὸς τῇ θαλάσσῃ τῆς Περσίδος ἀλεεινά τε ἦν καὶ τῶν ἐπιτηδείων ἀφθόνως ἔχοντα.

29. Αὐτὸς δὲ ξὺν τοῖς κουφοτάτοις τῶν πεζῶν καὶ ξὺν τῶν ἱππέων τοῖς ἑταίροις καὶ μέρει τινὶ τῶν τοξοτῶν ᾔει τὴν ἐπὶ Πασαργάδας τῆς Περσίδος. Στασάνορα δὲ καταπέμπει ἐπὶ τὴν ἀρχὴν τὴν ἑαυτοῦ.

[2] ὡς δὲ ἐπὶ τοῖς ὅροις ἦν τῆς Περσίδος, Φρασαόρτην μὲν οὐ κατέλαβε σατραπεύοντα ἔτι (νόσῳ γὰρ τετελευτηκὼς ἐτύγχανεν ἐν Ἰνδοῖς ἔτι Ἀλεξάνδρου ὄντος), Ὀρξίνης δὲ ἐπεμέλετο τῆς Περσίδος, οὐ πρὸς Ἀλεξάνδρου κατασταθείς, ἀλλ᾽ ὅτι οὐκ ἀπηξίωσεν αὑτὸν ἐν κόσμῳ Πέρσας διαφυλάξαι Ἀλεξάνδρῳ οὐκ ὄντος ἄλλου ἄρχοντος. [3] ἦλθε δὲ ἐς Πασαργάδας καὶ Ἀτροπάτης ὁ Μηδ [ε]ίας σατράπης, ἄγων Βαρυάξην ἄνδρα Μῆδον συνειλημμένον, ὅτι ὀρθὴν τὴν κίδαριν περιθέμενος βασιλέα προσεῖπεν αὑτὸν Περσῶν καὶ Μήδων, καὶ ξὺν τούτῳ τοὺς μετασχόντας αὐτῷ τοῦ νεωτερισμοῦ τε καὶ τῆς ἀποστάσεως. τούτους μὲν δὴ ἀπέκτεινεν Ἀλέξανδρος.

[4] Ἐλύπησε δὲ αὐτὸν ἡ παρανομία ἡ ἐς τὸν Κύρου τοῦ Καμβύσου τάφον, ὅτι διορωρυγμένον τε καὶ σεσυλημένον κατέλαβε [τοῦ Κύρου τὸν τάφον],[I] ὡς λέγει Ἀριστόβουλος. εἶναι γὰρ ἐν Πασαργάδαις ἐν τῷ παραδείσῳ τῷ βασιλικῷ Κύρου ἐκείνου τάφον καὶ περὶ αὐτὸν ἄλσος πεφυτεῦσθαι δένδρων παντοίων καὶ ὕδατι εἶναι κατάρρυτον καὶ πόαν βαθεῖαν πεφυκέναι ἐν τῷ λειμῶνι, καὶ αὐτὸν δὲ τὸν τάφον τὰ κάτω λίθου τετραπέδου ἐς τετράγωνον σχῆμα πεποιῆσθαι, [5] ἄνωθεν δὲ οἴκημα ἐπεῖναι λίθινον ἐστεγασμένον, θυρίδα ἔχον φέρουσαν ἔσω στενήν, ὡς μόλις ἂν <εἶναι> ἑνὶ ἀνδρὶ οὐ μεγάλῳ πολλὰ κακοπαθοῦντι παρελθεῖν. ἐν δὲ τῷ οἰκήματι πύελον χρυσῆν κεῖσθαι, ἵνα τὸ σῶμα τοῦ Κύρου ἐτέθαπτο, καὶ κλίνην παρὰ τῇ πυέλῳ· πόδας δὲ εἶναι τῇ κλίνῃ χρυσοῦς σφυρηλάτους καὶ τάπητα ἐπίβλημα τῶν Βαβυλωνίων καὶ καυνάκας πορφυροῦς ὑποστρώματα. [6] ἐπεῖναι δὲ καὶ κάνδυς καὶ ἄλλους χιτῶνας τῆς Βαβυλωνίου ἐργασίας. καὶ ἀναξυρίδες Μηδικαὶ καὶ στολαὶ ὑακινθινοβαφεῖς λέγει ὅτι ἔκειντο, αἱ δὲ πορφύρας αἱ δὲ ἄλλης καὶ ἄλλης χρόας, καὶ στρεπτοὶ καὶ ἀκινάκαι καὶ ἐνώτια

[I] Eliminado por Polak.

conduce de Carmania a la Pérside, ya que su marcha tendría lugar durante el invierno [299], época en que la zona costera de Persia está soleada y abundan en ella todo tipo de provisiones.

La tumba de Ciro en Pasargada.

29 Alejandro se puso en camino hacia Pasargada, ciudad persa, con su infantería ligera, la caballería de los Compañeros y una parte de los arqueros, y autorizó a Estasanor a que regresara a su propio país.

[2] Al llegar a la frontera de Persia se encontró con que Frasaortes no era el sátrapa de la región (su muerte le había sobrevenido a causa de una enfermedad estando Alejandro en la India), sino que regía el territorio persa Orxines. Éste no había sido designado por Alejandro, sino porque él mismo, en vista de que no había nadie que gobernara el país, se había considerado con capacidad suficiente para mantener el orden en la región sometida a Alejandro.

[3] Se presentó también en Pasargada Atropates, el sátrapa de Media, trayendo al medo Bariaxes prisionero por haberse proclamado rey de persas y medos, tocándose con el gorro medo [300] hacia arriba; con él traía también a los cómplices de la insurrección y sedición, a todos los cuales Alejandro mandó dar muerte. [4] Mucho dolió a Alejandro la profanación de que había sido objeto la tumba [301] de Ciro, el hijo de Cambises, tumba que, según el relato de Aristobulo, encontró destruida por completo y expoliada. Efectivamente, se hallaba esta tumba en el jardín real de Pasargada y a su alrededor se había plantado un bosquecillo de toda clase de árboles, regado por un regato, mientras en su prado crecía apretado césped. La tumba en sí descansaba sobre una base rectangular de piedras cortadas en cuadrados. [5] Sobre la base se alzaba una cámara también de piedra recubierta de un tejado; una pequeña puerta daba acceso al interior, por la que un hombre que fuera bien pequeño de tamaño a duras penas y con mucho esfuerzo podría introducirse. Dentro de la cámara había un sarcófago de oro, y en su interior el cuerpo de Ciro, y junto al sarcófago un diván de patas también de oro trabajado a martillo; sus colchas eran de alfombras babilonias, y a sus pies había unas gruesas mantas de púrpura. [6] Sobre él había una túnica [302] y otros vestidos de factura babilonia, unos calzones medos, y, según Aristobulo, había también vestidos teñidos de color de jacinto, unos color de púrpura, otros de otros colores, collares, espadas persas, pendientes de piedras preciosas engastadas en oro; hasta una

χρυσοῦ τε καὶ λίθων κολλητά, καὶ τράπεζα ἔκειτο. ἐν μέσῳ δὲ <τῆς τραπέζης καὶ>[I] τῆς κλίνης ἡ πύελος ἔκειτο ἡ τὸ σῶμα τὸ Κύρου ἔχουσα. [7] εἶναι δὲ ἐντὸς τοῦ περιβόλου πρὸς τῇ ἀναβάσει τῇ ἐπὶ τὸν τάφον φερούσῃ οἴκημα σμικρὸν τοῖς Μάγοις πεποιημένον, οἳ δὴ ἐφύλασσον τὸν Κύρου τάφον ἔτι ἀπὸ Καμβύσου τοῦ Κύρου, παῖς παρὰ πατρὸς ἐκδεχόμενος τὴν φυλακήν. καὶ τούτοις πρόβατόν τε ἐς ἡμέραν ἐδίδοτο ἐκ βασιλέως καὶ ἀλεύρων τε καὶ οἴνου τεταγμένα καὶ ἵππος κατὰ μῆνα ἐς θυσίαν τῷ Κύρῳ. [8] ἐπεγέγραπτο δὲ ὁ τάφος Περσικοῖς γράμμασι· καὶ ἐδήλου Περσιστὶ τάδε·

ὦ ἄνθρωπε, ἐγὼ Κῦρός εἰμι
ὁ Καμβύσου
ὁ τὴν ἀρχὴν Πέρσαις καταστησάμενος
καὶ τῆς Ἀσίας βασιλεύσας.
μὴ οὖν φθονήσῃς μοι τοῦ μνήματος.

[9] Ἀλέξανδρος δὲ (ἐπιμελὲς γὰρ ἦν αὐτῷ, ὁπότε ἕλθοι <ἐς> [II] Πέρσας, παριέναι ἐς τοῦ Κύρου τὸν τάφον) τὰ μὲν ἄλλα καταλαμβάνει ἐκπεφορημένα πλὴν τῆς πυέλου καὶ τῆς κλίνης· οἱ δὲ καὶ τὸ σῶμα τοῦ Κύρου ἐλωβήσαντο ἀφελόντες τὸ πῶμα τῆς πυέλου καὶ τὸν νεκρὸν ἐξέβαλον· αὐτὴν δὲ τὴν πύελον ἐπειρῶντο εὔογκόν. σφισι ποιήσασθαι καὶ ταύτῃ εὔφορον τὰ μὲν παρακόπτοντες, τὰ δὲ ξυνθλῶντες αὐτῆς. ὡς δὲ οὐ προ<ὐ>χώρει αὐτοῖς τοῦτο τὸ ἔργον, οὕτω δὴ ἐάσαντες τὴν πύελον ἀπῆλθον. [10] καὶ λέγει Ἀριστόβουλος αὐτὸς ταχθῆναι πρὸς Ἀλεξάνδρου κοσμῆσαι ἐξ ὑπαρχῆς τῷ Κύρῳ τὸν τάφον. καὶ τοῦ μὲν σώματος ὅσαπερ ἔτι σῶα ἦν καταθεῖναι ἐς τὴν πύελον καὶ τὸ πῶμα ἐπιθεῖναι, ὅσα δὲ λελώβητο αὐτῆς κατορθῶσαι· καὶ τὴν κλίνην ἐντεῖναι ταινίαις καὶ τἆλλα ὅσα ἐς κόσμον ἔκειτο κατὰ ἀριθμόν τε καὶ τοῖς πάλαι ὅμοια ἀποθεῖναι καὶ τὴν θυρίδα δὲ ἀφανίσαι τὰ μὲν αὐτῆς λίθῳ ἐνοικοδομήσαντα, τὰ δὲ πηλῷ ἐμπλάσαντα, καὶ ἐπιβαλεῖν τῷ πηλῷ τὸ σημεῖον τὸ βασιλικόν. [11] Ἀλέξανδρος δὲ ξυλλαβὼν τοὺς Μάγους τοὺς φύλακας τοῦ τάφου ἐστρέβλωσεν, ὡς κατειπεῖν τοὺς δράσαντας, οἱ δὲ

mesa había allí, en cuyo centro estaba el sarcófago que contenía el cuerpo de Ciro.

[7] Dentro del mismo recinto y cerca del acceso que conducía a la tumba de Ciro había un pequeño edificio construido para los magos [303], que eran los guardianes de la tumba de Ciro, ministerio en el que se habían ido sucediendo de padres a hijos como custodios de la tumba. A ellos se les entregaba cada día una oveja de parte del rey, y una cantidad fija de harina y vino, y un caballo cada mes para sacrificar a Ciro. [8] Sobre la tumba se leía en letras persas la siguiente inscripción, cuyo significado era:

«AMIGO, YO SOY CIRO,
EL HIJO DE CAMBISES,
EL QUE FUNDÓ EL IMPERIO PERSA
Y REINÓ EN ASIA.
NO ME ENVIDIES POR MI MONUMENTO.»

[9] Alejandro (que había manifestado su interés por visitar la tumba de Ciro tan pronto terminara la conquista de Persia) encontró que de ella se habían llevado todo menos el sarcófago y el diván. Los ladrones habían profanado incluso el cadáver de Ciro, pues habían destapado el sarcófago y sacado fuera el cadáver. Habían intentado incluso hacer manejable y fácilmente transportable el sarcófago, cortándolo por un lado y aplastándolo por otro, pero al no resultarle esto posible lo abandonaron así y se marcharon. [10] Cuenta Aristobulo que él mismo recibió de Alejandro el encargo de restaurar la tumba de Ciro y dejarla como al principio estaba, depositar de nuevo las reliquias de su cuerpo en el sarcófago y volverle a poner su tapa; restaurar aquello que había quedado destrozado, extender el diván con sus bandas y rehacer cuantos otros elementos contribuían a su adorno pieza por pieza, y que fueran iguales a los originarios, cegar la pequeña puerta, cerrando parte de ella con piedras, y taparla con mortero y dejar grabado sobre el mortero el sello real.

[11] Alejandro arrestó luego a los magos encargados de la custodia de la tumba y los sometió a tortura para que delataran a los autores del sacrilegio. Éstos dijeron que no habían sido ellos, ni acusaron de ello a

[I] Sin la adición de tales palabras, propuestas por Polak,La frase parece absurda o incoherente con lo que ya se ha dicho antes.

[II] [1]ἔλθοι ἐς Pflugk y A. Miller: ἔλοι codd.

οὐδὲν οὔτε σφῶν οὔτε ἄλλου κατεῖπον στρεβλούμενοι, οὐδὲ ἄλλῃ πῃ ἐξηλέγχοντο ξυνειδότες τῷ ἔργῳ· καὶ ἐπὶ τῷδε ἀφείθησαν ἐξ Ἀλεξάνδρου.

30. Ἔνθεν δὲ ἐς τὰ βασίλεια ᾔει τὰ Περσῶν, ἃ δὴ πρόσθεν κατέφλεξεν αὐτός, ὥς μοι λέλεκται, ὅτε οὐκ ἐπῄνουν τὸ ἔργον· ἀλλ᾽ οὐδ᾽ αὐτὸς Ἀλέξανδρος ἐπανελθὼν ἐπῄνει. καὶ μὲν δὴ καὶ κατὰ Ὀρξίνου πολλοὶ λόγοι ἐλέχθησαν πρὸς Περσῶν, ὃς ἦρξε Περσῶν ἐπειδὴ Φρασαόρτης ἐτελεύτησε. [2] καὶ ἐξηλέγχθη Ὀρξίνης ἱερά τε ὅτι σεσυλήκει καὶ τάφους βασιλικούς, καὶ Περσῶν πολλοὺς ὅτι οὐ ξὺν δίκῃ ἀπέκτεινε. τοῦτον μὲν δὴ οἷς ἐτάχθη ὑπὸ Ἀλεξάνδρου ἐκρέμασαν, σατράπην δὲ Πέρσαις ἔταξε Πευκέσταν τὸν σωματοφύλακα, πιστόν τέ οἱ ἐς τὰ μάλιστα τιθέμενος τά τε ἄλλα καὶ ἐπὶ τῷ ἐν Μαλλοῖς ἔργῳ, ἵνα προεκινδύνευσέ τε καὶ συνεξέσωσεν Ἀλέξανδρον, καὶ ἄλλως τῷ βαρβαρικῷ τρόπῳ τῆς διαίτης οὐκ ἀξύμφορον· [3] ἐδήλωσε δὲ ἐσθῆτά τε εὐθὺς ὡς κατεστάθη σατραπεύειν Περσῶν μόνος τῶν ἄλλων Μακεδόνων μεταβαλὼν τὴν Μηδικὴν καὶ φωνὴν τὴν Περσικὴν ἐκμαθὼν καὶ τἆλλα ξύμπαντα ἐς τρόπον τὸν Περσικὸν κατασκευασάμενος. ἐφ᾽ οἷς Ἀλέξανδρός γε ἐπῄνει αὐτὸν καὶ οἱ Πέρσαι ὡς τὰ παρὰ σφίσι πρὸ τῶν πατρίων πρεσβεύοντι ἔχαιρον.

nadie, aun sometidos a tortura, ni de ningún modo resultó posible probar que hubieran tenido nada que ver con este hecho. A la vista de lo cual, Alejandro los dejó en libertad.

30 Desde aquí Alejandro se dirigió a la residencia real persa, a la que él mismo había prendido fuego anteriormente [304]. Según dije entonces, no aprobé yo esta acción suya, y también la reprobó ahora el propio Alejandro cuando volvió aquí.

Muchos persas acusaron a Orxines (el que gobernó en Persia a la muerte de Frasaortes) de actos criminales. [2] En efecto, se comprobó que Orxines había saqueado santuarios, tumbas de reyes, y había mandado asesinar a muchos persas injustamente. Orxines murió colgado a manos de unos que cumplían órdenes de Alejandro [305].

Nombró luego sátrapa de Persia a Peucestas, uno de su guardia personal, a quien tenía por hombre de total lealtad a su persona, especialmente evidenciada por su valiente comportamiento entre los malios, donde expuso su vida por salvar a Alejandro; se trataba, además, de una persona muy idónea por sus costumbres y modo de vida, afines a los de los bárbaros. [3] Dio pruebas de ello en seguida, pues fue el único macedonio que tan pronto se hizo cargo de su satrapía adoptó la vestimenta meda, aprendió la lengua de los persas y dispuso todos sus demás enseres y costumbres a la usanza de los persas. Esto le mereció el elogio de Alejandro, y los persas se alegraron de que respetara sus propias tradiciones en vez de imponer las de su patria de origen [306]

LIBRO VII

SINOPSIS

CAPÍTULOS:

1. Alejandro regresa a Mesopotamia.
2. Alejandro y Diógenes.
3. Cálano.
4-5. Alejandro castiga severamente a los que se extralimitan en sus funciones.
6. Los Epígonos de Alejandro.
7. Mesopotamia.
8-10. Alejandro en Opis. Discurso de Alejandro. La revuelta del ejército.
11. Discurso de Calines.
12. Regreso de los veteranos.
13. Las amazonas.
14. Muerte de Hefestión.
15. Visitas de diversas embajadas.
16. Los oráculos caldeos.
17. Alejandro sospecha de la honestidad de los caldeos.
18. Profecías de Pitágoras y Cálano.
19. Nuevas embajadas griegas.
20. Las costas del golfo Pérsico.
21. Excursiones por las riberas del Eufrates y el Palacopas.
22-23. De regreso a Babilonia.
24. Nuevos presagios de la muerte de Alejandro.
25. Las *Efemérides Reales*.
26. Muerte de Alejandro.
27. Conjeturas sobre su muerte.
28. Retrato de Alejandro

1. Ὡς δὲ ἐς Πασαργάδας τε καὶ ἐς Περσέπολιν ἀφίκετο Ἀλέξανδρος, πόθος λαμβάνει αὐτὸν καταπλεῦσαι κατὰ τὸν Εὐφράτην τε καὶ κατὰ τὸν Τίγρητα ἐπὶ τὴν θάλασσαν τὴν Περσικὴν καὶ τῶν τε ποταμῶν ἰδεῖν τὰς ἐκβολὰς τὰς ἐς τὸν πόντον, καθάπερ τοῦ Ἰνδοῦ, καὶ τὴν ταύτῃ θάλασσαν. [2] οἱ δὲ καὶ τάδε ἀνέγραψαν, ὅτι ἐπενόει Ἀλέξανδρος περιπλεῦσαι τήν τε Ἀραβίαν τὴν πολλὴν καὶ τὴν Αἰθιόπων γῆν καὶ τὴν Λιβύην τε καὶ τοὺς Νομάδας ὑπὲρ τὸν Ἄτλαντα τὸ ὄρος ὡς ἐπὶ Γάδειρα ἔσω ἐς τὴν ἡμετέραν θάλασσαν καὶ τὴν Λιβύην τε καταστρεψάμενος καὶ Καρχηδόνα οὕτω δὴ τῆς Ἀσίας πάσης δικαίως ἂν βασιλεὺς καλεῖσθαι· [3] τοὺς γάρ τοι Περσῶν καὶ Μήδων βασιλέας οὐδὲ τοῦ πολλοστοῦ μέρους τῆς Ἀσίας ἐπάρχοντας οὐ σὺν δίκῃ καλεῖν σφᾶς μεγάλους βασιλέας. ἔνθεν δὲ οἱ μέν, ὅτι ἐς τὸν πόντον τὸν Εὔξεινον ἐσπλεῖν ἐπενόει ἐς Σκύθας τε καὶ τὴν λίμνην τὴν Μαιῶτιν, οἱ δέ, ὅτι ἐς Σικελίαν τε καὶ ἄκραν Ἰαπυγίαν· ἤδη γὰρ καὶ ὑποκινεῖν αὐτὸν τὸ Ῥωμαίων ὄνομα προχωροῦν ἐπὶ μέγα. [4] Ἐγὼ δὲ ὁποῖα μὲν ἦν Ἀλεξάνδρου τὰ ἐνθυμήματα οὔτε ἔχω ἀτρεκῶς ξυμβαλεῖν οὔτε μέλει ἔμοιγε εἰκάζειν, ἐκεῖνο δὲ καὶ αὐτὸς ἄν μοι δοκῶ ἰσχυρίσασθαι, οὔτε μικρόν τι καὶ φαῦλον ἐπινοεῖν Ἀλέξανδρον οὔτε μεῖναι ἂν ἀτρεμοῦντα ἐπ᾽ οὐδενὶ τῶν ἤδη κεκτημένων, οὐδὲ εἰ τὴν Εὐρώπην τῇ Ἀσίᾳ προσέθηκεν, οὐδ᾽ εἰ τὰς Βρεττανῶν νήσους τῇ Εὐρώπῃ, ἀλλὰ ἔτι ἂν ἐπέκεινα ζητεῖν τι τῶν ἠγνοημένων, εἰ καὶ μὴ ἄλλῳ τῳ, ἀλλὰ αὐτόν γε αὑτῷ ἐρίζοντα. [5] καὶ ἐπὶ τῷδε ἐπαινῶ τοὺς σοφιστὰς τῶν Ἰνδῶν, ὧν λέγουσιν ἔστιν οὓς καταληφθέντας ὑπ᾽ Ἀλεξάνδρου ὑπαιθρίους ἐν λειμῶνι, ἵναπερ αὐτοῖς διατριβαὶ ἦσαν, ἄλλο μὲν οὐδὲν ποιῆσαι πρὸς τὴν ὄψιν αὐτοῦ τε καὶ τῆς στρατιᾶς, κρούειν δὲ τοῖς ποσὶ τὴν γῆν ἐφ᾽ ἧς βεβηκότες ἦσαν. ὡς δὲ ἤρετο Ἀλέξανδρος δι᾽ ἑρμηνέων ὅ τι νοοῖ αὐτοῖς τὸ ἔργον, τοὺς δὲ ὑποκρίνασθαι ὧδε· [6] βασιλεῦ Ἀλέξανδρε, ἄνθρωπος μὲν ἕκαστος τοσόνδε τῆς γῆς κατέχει ὅσονπερ τοῦτό ἐστιν ἐφ᾽ ὅτῳ βεβήκαμεν· σὺ δὲ ἄνθρωπος ὢν παραπλήσιος τοῖς ἄλλοις, πλήν γε δὴ ὅτι πολυπράγμων καὶ ἀτάσθαλος, ἀπὸ τῆς οἰκείας τοσαύτην γῆν ἐπεξέρχῃ πράγματα ἔχων τε καὶ παρέχων ἄλλοις. καὶ οὖν καὶ ὀλίγον ὕστερον ἀποθανὼν τοσοῦτον καθέξεις τῆς γῆς ὅσον ἐξαρκεῖ ἐντεθάφθαι τῷ σώματι.

Alejandro regresa a Mesopotamia.

1 Una vez en Pasargada y Persépolis, sintió Alejandro vivos deseos [307] de bajar navegando por el curso del Tigris y el Eufrates hacia el mar Pérsico, y ver las desembocaduras de estos dos ríos en el mar, al igual que había visto la del Indo, así como conocer el mar Pérsico por aquella zona. [2] Algunos historiadores nos cuentan que el plan de Alejandro era circunvalar con su flota la mayor parte de la península arábiga, el territorio de Etiopía, la Libia y los pueblos nómadas del otro lado del monte Atlas, hasta llegar a Cádiz y al mar Mediterráneo que allí tiene su fin. Efectivamente, sólo después de haber sometido Libia y Cartago podría llamarse con propiedad rey de todo el Asia [308].

[3] Los reyes medos y persas no habían podido denominarse a sí mismo con justicia Grandes Reyes por no haber extendido sus dominios más que sobre una muy pequeña parte de todo el Asia.

Otros autores dicen que Alejandro tenía intención de dirigirse desde aquí al mar Euxino [309] y navegar por él hacia la tierra escita y el lago Meótide, aunque, según otros historiadores, su verdadera intención era poner rumbo a Sicilia y al promontorio Yapigio, pues veía que el renombre del pueblo romano iba progresivamente a más, extendiéndose su fama enormemente.

[4] Por mi parte, yo no puedo conjeturar cuáles eran exactamente los planes de Alejandro [310], ni tampoco me preocupa mucho el hacer suposiciones, aunque creo poder asegurar que los planes de Alejandro no eran faltos de ambición, ni de poca monta, pues no iba a quedarse satisfecho con nada de lo que ya tenía (y eso, ni aunque hubiera anexionado todo el Asia y las Islas Británicas a Europa), sino que su espíritu le impulsaría a ir en busca de lo desconocido, rivalizando, si no con alguien ya, él consigo mismo [311].

[5] A propósito merecen todo mi elogio aquellos sabios indios a los que, según dicen, encontró Alejandro un día en un prado al aire libre, que era donde aquéllos se entretenían discutiendo, y que ni siquiera se inmutaron al contemplar ante sí al mismo Alejandro con su ejército; tan sólo comenzaron a golpear con sus pies el suelo sobre el que estaban. Alejandro les inquirió por medio de un intérprete qué significaba aquello, a lo que ellos respondieron: [6] «Rey Alejandro, cada hombre es dueño tan sólo del suelo que pisa. Tú eres un hombre como los demás, sólo que sientes un gran afán por todo tipo de novedades, y eres tan presuntuoso que has venido desde tu patria contra esta tierra procurando no pocos problemas y causándolos a los demás. El caso es que cuando, al cabo de muy poco tiempo, mueras, ocuparás sólo la tierra que basta para que tu cuerpo reciba sepultura.»

2. Κἀνταῦθα ἐπῄνεσε μὲν Ἀλέξανδρος τούς τε λόγους αὐτοὺς καὶ τοὺς εἰπόντας, ἔπρασσε δὲ ὅμως ἄλλα καὶ τἀναντία οἷς ἐπῄνεσεν. ἐπεὶ καὶ Διογένην τὸν ἐκ Σινώπης θαυμάσαι λέγεται, ἐν Ἰσθμῷ ἐντυχὼν τῷ Διογένει κατακειμένῳ ἐν ἡλίῳ, ἐπιστὰς σὺν τοῖς ὑπασπισταῖς καὶ τοῖς πεζεταίροις καὶ ἐρόμενος εἴ του δέοιτο· ὁ δὲ Διογένης ἄλλου μὲν ἔφη δεῖσθαι οὐδενός, ἀπὸ τοῦ ἡλίου δὲ ἀπελθεῖν ἐκέλευσεν αὐτόν τε καὶ τοὺς σὺν αὐτῷ. οὕτω τοι οὐ πάντῃ ἔξω τοῦ ἐπινοεῖν τὰ κρείττω ἦν Ἀλέξανδρος, ἀλλ' ἐκ δόξης γὰρ δεινῶς ἐκρατεῖτο. [2] ἐπεὶ καὶ ἐς Τάξιλα αὐτῷ ἀφικομένῳ καὶ ἰδόντι τῶν σοφιστῶν <τῶν> Ἰνδῶν τοὺς γυμνοὺς πόθος ἐγένετο ξυνεῖναί τινά οἱ τῶν ἀνδρῶν τούτων, ὅτι τὴν καρτερίαν αὐτῶν ἐθαύμασε· καὶ ὁ μὲν πρεσβύτατος τῶν σοφιστῶν, ὅτου ὁμιληταὶ οἱ ἄλλοι ἦσαν, Δάνδαμις ὄνομα, οὔτε αὐτὸς ἔφη παρ' Ἀλέξανδρον ἥξειν οὔτε τοὺς ἄλλους εἴα, [3] ἀλλὰ ὑποκρίνασθαι γὰρ λέγεται ὡς Διὸς υἱὸς καὶ αὐτὸς εἴη, εἴπερ οὖν καὶ Ἀλέξανδρος, καὶ ὅτι οὔτε δέοιτό του τῶν παρ' Ἀλεξάνδρου, ἔχει <ν> γάρ οἱ εὖ τὰ παρόντα, καὶ ἅμα ὁρᾶν τοὺς ξὺν αὐτῷ πλανωμένους τοσαύτην γῆν καὶ θάλασσαν ἐπ' ἀγαθῷ οὐδενί, μηδὲ πέρας τι αὐτοῖς γινόμενον τῶν πολλῶν πλανῶν. οὔτ' οὖν ποθεῖν τι αὐτὸς ὅτου κύριος ἦν Ἀλέξανδρος δοῦναι, οὔτε αὖ δεδιέναι, ὅτου κρατοίη ἐκεῖνος, ἔστιν οὗ εἴργεσθαι· [4] ζῶντι μὲν γάρ οἱ τὴν Ἰνδῶν γῆν ἐξαρκεῖν φέρουσαν τὰ ὡραῖα, ἀποθανόντα δὲ ἀπαλλαγήσεσθαι οὐκ ἐπιεικοῦς ξυνοίκου τοῦ σώματος. οὔκουν οὐδὲ Ἀλέξανδρον ἐπιχειρῆσαι βιάσασθαι γνόντα ἐλεύθερον ὄντα τὸν ἄνδρα, ἀλλὰ Κάλανον γὰρ ἀναπεισθῆναι τῶν ταύτῃ σοφιστῶν, ὅντινα μάλιστα δὴ αὐτοῦ ἀκράτορα Μεγασθένης ἀνέγραψεν αὐτοὺς τοὺς σοφιστὰς λέγειν κακίζοντας τὸν Κάλανον, ὅτι ἀπολιπὼν τὴν παρὰ σφίσιν εὐδαιμονίαν ὁ δὲ δεσπότην ἄλλον ἢ τὸν θεὸν ἐθεράπευε.

3. Ταῦτα ἐγὼ ἀνέγραψα, ὅτι καὶ ὑπὲρ Καλάνου ἐχρῆν εἰπεῖν ἐν τῇ περὶ Ἀλεξάνδρου συγγραφῇ· μαλακισθῆναι γάρ τι τῷ σώματι τὸν Κάλανον ἐν τῇ Περσίδι γῇ, οὔπω πρόσθεν νοσήσαντα· οὔκουν οὐδὲ δίαιταν διαιτᾶσθαι θέλειν ἀρρώστου ἀνδρός, ἀλλὰ εἰπεῖν γὰρ πρὸς Ἀλέξανδρον, καλῶς αὐτῷ ἔχειν ἐν τῷ τοιῷδε καταστρέψαι, πρίν τινος ἐς πεῖραν ἐλθεῖν παθήματος ὅ τι περ ἐξαναγκάσει αὐτὸν μεταβάλλειν τὴν πρόσθεν δίαιταν. [2] καὶ Ἀλέξανδρον ἀντειπεῖν μὲν αὐτῷ ἐπὶ πολύ· ὡς δ' οὐχ ἡττησόμενον ἑώρα, ἀλλὰ ἄλλως ἂν ἀπαλλαγέντα,

***Alejandro y Diógenes*.**

2 Agradaron a Alejandro estas palabras, por las que alabó a sus autores, aunque hizo justo todo lo contrario de aquello que tan bien le había parecido. Así, se dice que se quedó extrañado ante Diógenes de Sínope [312], a quien encontró en cierta ocasión en el Istmo echado al sol; se había detenido ante él acompañado de sus hipaspistas y *peceteros* y le había preguntado si necesitaba algo; a ello le había contestado Diógenes, encarecidamente, que lo único que necesitaba era que él y sus hombres se apartaran para que le siguiera dando el sol.

Hasta tal punto era Alejandro sensible a los más nobles pensamientos, aunque su ansia de gloria le dominaba terriblemente. [2] En efecto, encontrándose en cierta ocasión en Taxila, vio a algunos de estos sabios indios desnudos, y se empeñó en que alguno de ellos, a quienes tanto admiraba por su resistencia, le acompañara. Entonces, el más viejo de ellos, de nombre Dandamis [313], de quien los demás se decían sus discípulos, dijo que ni él se iría con Alejandro ni consentiría que lo hicieran los demás. [3] Y no quedó ahí la cosa, se dice que aún le añadió que también él era hijo de Zeus, no menos que Alejandro, y que nada necesitaba de Alejandro, pues estaba muy contento con lo que tenía. Veía, además, que los que habían acompañado a Alejandro deambulando por esas tierra y mares no habían conseguido bien alguno, ni habían encontrado el fin de sus largas andanzas. Decía no envidiar nada de lo que Alejandro pudiera darle, ni temía tampoco carecer de algo que aquél tuviese. [4] Mientras viviera, tenía bastante con la tierra india que le proporcionaba los frutos de cada estación; y, una vez muerto, se vería libre de su cuerpo, que no era sino un incómodo compañero.

Al oír esto desistió Alejandro de obligarle, comprendiendo que en verdad estaba ante un hombre libre. Sin embargo, Cálano, uno de los sabios del lugar, resultó seducido por la invitación de Alejandro. A este Cálano, según dice Megástenes, le consideraban los demás sabios un hombre que no se sabía dominar a sí mismo, afeándole luego que hubiera abandonado la felicidad en que vivían y se hiciera servidor de alguien en vez de servidor de la felicidad.

Cálano.

3 He relatado yo esta anécdota porque creo que había que mencionar a Cálano en una historia de Alejandro. A pesar de que anteriormente nunca había enfermado, su cuerpo se debilitó al llegar a Persia; no quiso, sin embargo, seguir el régimen que conviene a un hombre enfermo, sino que le decía a Alejandro que estaba dispuesto a poner fin a su situación actual antes de llegar a tal estado de enfermedad que le obligara a cambiar del que había sido su régimen de vida hasta el presente. [2] Alejandro lo trató de convencer durante largo rato, mas al ver que no podía disuadirlo, y que

εἰ μή τις ταύτῃ ὑπεικάθοι, οὕτω δὴ ὅπῃ ἐπήγγελλεν αὐτός, κελεῦσαι νησθῆναι αὐτῷ πυράν, καὶ ταύτης ἐπιμεληθῆναι Πτολεμαῖον τὸν Λάγου τὸν σωματοφύλακα. οἱ δὲ καὶ πομπήν τινα προπομπεῦσαι αὐτοῦ λέγουσιν ἵππους τε καὶ ἄνδρας, τοὺς μὲν ὡπλισμένους, τοὺς δὲ θυμιάματα παντοῖα τῇ πυρᾷ ἐπιφέροντας· οἱ δὲ καὶ ἐκπώματα χρυσᾶ καὶ ἀργυρᾶ καὶ ἐσθῆτα βασιλικὴν λέγουσιν ὅτι ἔφερον. [3] αὐτῷ δὲ παρασκευασθῆναι μὲν ἵππον, ὅτι βαδίσαι ἀδυνάτως εἶχεν ὑπὸ τῆς νόσου· οὐ μὴν δυνηθῆναί γε οὐδὲ τοῦ ἵππου ἐπιβῆναι, ἀλλὰ ἐπὶ κλίνης γὰρ κομισθῆναι φερόμενον, ἐστεφανωμένον τε τῷ Ἰνδῶν νόμῳ καὶ ᾄδοντα τῇ Ἰνδῶν γλώσσῃ. οἱ δὲ Ἰνδοὶ λέγουσιν ὅτι ὕμνοι θεῶν ἦσαν καὶ αὐτῶν ἔπαινοι. [4] καὶ τὸν μὲν ἵππον τοῦτον ὅτου ἐπιβήσεσθαι ἔμελλε, βασιλικὸν ὄντα τῶν Νησαίων, πρὶν ἀναβῆναι ἐπὶ τὴν πυρὰν Λυσιμάχῳ χαρίσασθαι, τῶν τινι θεραπευόντων αὐτὸν ἐπὶ σοφίᾳ· τῶν δὲ δὴ ἐκπωμάτων ἢ στρωμάτων ὅσα ἐμβληθῆναι εἰς τὴν πυρὰν κόσμον αὐτῷ τετάχει Ἀλέξανδρος, ἄλλα ἄλλοις δοῦναι τῶν ἀμφ᾽ αὐτόν.

[5] οὕτω δὴ ἐπιβάντα τῇ πυρᾷ κατακλιθῆναι μὲν ἐν κόσμῳ, ὁρᾶσθαι δὲ πρὸς τῆς στρατιᾶς ξυμπάσης. Ἀλεξάνδρῳ δὲ οὐκ ἐπιεικὲς φανῆναι τὸ θέαμα ἐπὶ φίλῳ ἀνδρὶ γιγνόμενον· ἀλλὰ τοῖς γὰρ ἄλλοις θαῦμα παρασχέσθαι οὐδέν τι παρακινήσαντα ἐν τῷ πυρὶ τοῦ σώματος. [6] ὡς δὲ τὸ πῦρ ἐς τὴν πυρὰν ἐνέβαλον οἷς προστεταγμένον ἦν, τάς τε σάλπιγγας φθέγξασθαι λέγει Νέαρχος, οὕτως ἐξ Ἀλεξάνδρου προστεταγμένον, καὶ τὴν στρατιὰν ἐπαλαλάξαι πᾶσαν ὁποῖόν τι καὶ ἐς τὰς μάχας ἰοῦσα ἐπηλάλαζε, καὶ τοὺς ἐλέφαντας συνεπηχῆσαι τὸ ὀξὺ καὶ πολεμικόν, τιμῶντας Κάλανον. ταῦτα καὶ τοιαῦτα ὑπὲρ Καλάνου τοῦ Ινδοῦ ἱκανοὶ ἀναγεγράφασιν, οὐκ ἀχρεῖα πάντα ἐς ἀνθρώπους, ὅτῳ γνῶναι ἐπιμελές, [ὅτι] ὡς καρτερόν τέ ἐστι καὶ ἀνίκητον γνώμη ἀνθρωπίνη ὅ τι περ ἐθέλοι ἐξεργάσασθαι.

4. Ἐν τούτῳ δὲ Ἀλέξανδρος Ἀτροπάτην μὲν ἐπὶ τὴν αὐτοῦ σατραπείαν ἐκπέμπει παρελθὼν ἐς Σοῦσα, Ἀβουλίτην δὲ καὶ τὸν τούτου παῖδα Ὀξάθρην, ὅτι κακῶς ἐπεμελοῦντο[I] τῶν Σουσίων, συλλαβὼν ἀπέκτεινε. [2] πολλὰ μὲν δὴ ἐπεπλημμέλητο ἐκ τῶν κατεχόντων τὰς χώρας ὅσαι δορίκτητοι πρὸς Ἀλεξάνδρου ἐγένοντο ἔς τε τὰ ἱερὰ καὶ τάφους καὶ

[I] Polak: ἐπεμελεῖτο codd.

si no se cedía a su propósito buscaría otra manera de quitarse de en medio, ordenó que, siguiendo el expreso deseo de Cálano, se preparara una gran pira funeraria y que se encargara de este asunto Tolomeo, el hijo de Lago, uno de su guardia personal. Algunos historiadores cuentan que Cálano fue escoltado a la pira por una gran procesión de hombres a caballo, de los que unos venían con su armadura completa, otros traían todo tipo de perfumes para la pira, algunos incluso venían cargados de copas de oro y plata y vestidos reales. [3] A Cálano le habían preparado un caballo, ya que a causa de su enfermedad no podía ni andar; no pudo, sin embargo, siquiera montar al caballo, por lo que hubo de subírsele y transportarlo en una litera, coronado al modo indio y cantando en su lengua india. Los indios decían que eran himnos de dioses y alabanzas a ellos [314]. [4] El caballo sobre el que iba a ser cortejado era un caballo de la cuadra real, de origen niseo [315], que luego regaló, momentos antes de subir a la pira, a Lisímaco, uno de sus discípulos de filosofía. Repartió igualmente entre sus seguidores, unos a unos otros a otros, todas las capas y tapetes con que Alejandro había dispuesto se adornara la pira. [5] Subió a ésta a la vista de todo el ejército, y se sentó en ella con gran solemnidad. A Alejandro le resultaba molesto este espectáculo, por tratarse de un hombre con quien había llegado a trabar amistad; los demás quedaron atónitos viendo cómo Cálano no retrocedía ante el fuego [316]. [6] Una vez que los encargados prendieron el fuego, dice Nearco que las trompetas comenzaron a resonar, de acuerdo con lo que Alejandro había ordenado, y todo el ejército lanzó su grito de guerra como si entrasen en combate, y hasta los elefantes lanzaron su agudo y belicoso grito en honor de Cálano.

Éstas y parecidas versiones han contado algunos historiadores acerca del indio Cálano, relatos no del todo inútiles para el género humano, ya que es idóneo para cualquiera que quiera conocer cuán valeroso e indomable es el espíritu humano cuando quiere llevar algo a su cumplimiento.

Alejandro castiga severamente a los que se extralimitan en sus funciones.

4 Por este tiempo, Alejandro mandó a Atropates a su satrapía, y una vez llegado a Susa arrestó y condenó a muerte a Abulites y su hijo Oxatres, por su abusiva gestión sobre los habitantes de Susa. [2] Fueron, en efecto, muy frecuentes las extralimitaciones de funciones en que incurrieron la mayoría de los gobernantes de las ciudades dominadas por Alejandro, y ello no sólo a propósito de profanaciones de santuarios y tumbas, sino

αὐτοὺς τοὺς ὑπηκόους, ὅτι χρόνιος ὁ εἰς Ἰνδοὺς στόλος ἐγεγένητο τῷ βασιλεῖ καὶ οὐ πιστὸν ἐφαίνετο ἀπονοστήσειν αὐτὸν ἐκ τοσῶνδε ἐθνῶν καὶ τοσῶνδε ἐλεφάντων, ὑπὲρ τὸν Ἰνδόν τε καὶ Ὑδάσπην καὶ τὸν Ἀκεσίνην καὶ Ὕφασιν φθειρόμενον. [3] καὶ αἱ ἐν Γαδρωσίοις δὲ αὐτῷ ξυμφοραὶ ξυνενεχθεῖσαι ἔτι μᾶλλον ἐπῆραν τοὺς [ἐν] ταύτῃ σατραπεύοντας καταφρονῆσαι αὐτοῦ τῆς οἴκοι ἀπονοστήσεως. οὐ μὴν ἀλλὰ καὶ αὐτὸς Ἀλέξανδρος ὀξύτερος λέγεται γενέσθαι ἐν τῷ τότε ἐς τὸ πιστεῦσαί τε τοῖς ἐπικαλουμένοις ὡς πιθανοῖς δὴ ἐν παντὶ οὖσι, καὶ ἐπὶ τὸ τιμωρήσασθαι μεγάλως τοὺς καὶ ἐπὶ μικροῖς ἐξελεγχθέντας, ὅτι καὶ τὰ μεγάλα ἂν ἐδόκουν αὐτῷ τῇ αὐτῇ γνώμῃ ἐξεργάσασθαι. [4] Ὁ δὲ καὶ γάμους ἐποίησεν ἐν Σούσοις αὑτοῦ τε καὶ τῶν ἑταίρων· αὐτὸς μὲν τῶν Δαρείου θυγατέρων τὴν πρεσβυτάτην Βαρσίνην ἠγάγετο, ὡς δὲ λέγει Ἀριστόβουλος, καὶ ἄλλην πρὸς ταύτῃ, τῶν Ὤχου θυγατέρων τὴν νεωτάτην Παρύσατιν. ἤδη δὲ ἦν αὐτῷ ἠγμένη καὶ ἡ Ὀξυάρτου τοῦ Βακτρίου παῖς Ῥωξάνη. [5] Δρύπετιν δὲ Ἡφαιστίωνι δίδωσι, Δαρείου παῖδα καὶ ταύτην, ἀδελφὴν τῆς αὑτοῦ γυναικός· ἐθέλειν γάρ οἱ ἀνεψιοὺς τῶν παίδων γενέσθαι τοὺς Ἡφαιστίωνος παῖδας· Κρατερῷ δὲ Ἀμαστρίνην τὴν Ὀξυάτρου τοῦ Δαρείου ἀδελφοῦ παῖδα· Περδίκκᾳ δὲ τὴν Ἀτροπάτου τοῦ Μηδίας σατράπου παῖδα ἔδωκεν· [6] Πτολεμαίῳ δὲ τῷ σωματοφύλακι καὶ Εὐμενεῖ τῷ γραμματεῖ τῷ βασιλικῷ τάς Ἀρταβάζου παῖδας τῷ μὲν Ἀρτακάμαν, τῷ δὲ Ἄρτωνιν· Νεάρχῳ δὲ τὴν Βαρσίνης τε καὶ Μέντορος παῖδα· Σελεύκῳ δὲ τὴν Σπιταμένους τοῦ Βακτρίου παῖδα· ὡσαύτως δὲ καὶ τοῖς ἄλλοις ἑταίροις τὰς δοκιμωτάτας Περσῶν τε καὶ Μήδων παῖδας ἐς ὀγδοήκοντα. οἱ γάμοι δὲ ἐποιήθησαν νόμῳ τῷ Περσικῷ· [7] θρόνοι ἐτέθησαν τοῖς νυμφίοις ἐφεξῆς καὶ μετὰ τὸν πότον ἧκον αἱ γαμούμεναι καὶ παρεκαθέζοντο ἑκάστη τῷ ἑαυτῆς· οἱ δὲ ἐδεξιώσαντό τε αὐτὰς καὶ ἐφίλησαν· πρῶτος δὲ ὁ βασιλεὺς ἦρξεν· ἐν τῷ αὐτῷ γὰρ πάντων ἐγίγνοντο οἱ γάμοι. καὶ τοῦτο, εἴπερ τι ἄλλο, ἔδοξε δημοτικόν τε καὶ φιλέταιρον πρᾶξαι Ἀλέξανδρον. [8] οἱ δὲ παραλαβόντες ἀπῆγον τὴν αὑτοῦ ἕκαστος· προῖκας δὲ ξυμπάσαις ἐπέδωκεν Ἀλέξανδρος. καὶ ὅσοι δὲ ἄλλοι ἠγμένοι ἦσαν Μακεδόνες τῶν Ἀσιανῶν τινας γυναικῶν, ἀπογραφῆναι ἐκέλευσε καὶ τούτων τὰ ὀνόματα, καὶ ἐγένοντο ὑπὲρ τοὺς μυρίους, καὶ τούτοις δωρεαὶ Ἀλεξάνδρου ἐδόθησαν ἐπὶ τοῖς γάμοις.

incluso para con sus propios súbditos, debido a que la expedición del rey Alejandro a la India duraba mucho y no era seguro que regresara vivo de luchar con tantos pueblos y elefantes de más allá del Indo, Hidaspes, Acesines e Hífasis.

[3] Especialmente habían sido los desastres sufridos por Alejandro en Gadrosia los que habían alimentado las esperanzas de los sátrapas de que aquél no regresaría a su patria. Por su parte, Alejandro se hizo, según se dice, cada vez más propicio a dar crédito a las acusaciones, llegándole a parecer todas ellas verídicas, así como a castigar severamente a los que aparecían culpables en asuntos de poca monta, por estimar que habrían sido capaces de cometer crímenes mayores con la misma disposición de ánimo [317].

[4] Celebró ahora en Susa su propia boda y la de sus Compañeros. Tomó por mujer a la hija mayor de Darío, Barsine [318], y según nos dice Aristobulo también a la hija más joven de Oco, llamada Parisátide [319], aunque estaba ya casado con Roxana, hija del bactrio Oxiartes.

[5] A Hefestión le asignó Dripetis, hija también de Darío, y hermana, por tanto, de su mujer, a fin de que los hijos de Hefestión entraran en su familia como sobrinos suyos; a Crátero correspondió Amastrines, hija de Oxiartes, el hermano de Darío; a Perdicas, una hija de Atropates, sátrapa de Media; a Tolomeo, su guardia [6] personal, y a Éumenes, secretario real, les correspondieron, respectivamente, Artacama y Artonis, hijas de Artabazo; a Nearco, la hija de Barsine y Mentor; a Seleuco, la hija de Espitámenes el bactrio; y de este modo, a los restantes Compañeros les fueron correspondiendo las más nobles hijas de medos y persas, hasta un total de ochenta [320]. Las bodas se celebraron según el ritual persa [321]; [7] se instalaron unos sillones para las novias, puestos en fila, donde tomaron asiento las novias después del brindis, cada una en su sillón, una al lado de otra. Los novios las tomaron de la mano y las besaron, comenzando el primero el rey, ya que la celebración de las bodas se hizo simultáneamente.
En esta ocasión, más que en ninguna otra, Alejandro actuó en plan de igualdad y con gran sentido de lo que es la camaradería.

[8] Cada novio tomó a su prometida y con ella marchó cada cual a su casa, recibiendo de Alejandro cada una de ellas su correspondiente dote. Además dispuso Alejandro que se inscribieran los nombre de todos los macedonios que se habían casado con mujeres en Asia (resultaron ser más de diez mil), a todos ellos Alejandro hizo su correspondiente regalo de bodas.

5. Καὶ τὰ χρέα ἐπιλύσασθαι τῆς στρατιᾶς ὅσοις χρέα ἦν ἐν καιρῷ οἱ ἔδοξε, καὶ κελεύει ἀπογράφεσθαι ὁπόσον ὀφείλει ἕκαστος, ὡς ληψομένους. καὶ τὰ μὲν πρῶτα ὀλίγοι ἀπέγραψαν σφῶν τὰ ὀνόματα δεδιότες ἐξ Ἀλεξάνδρου μὴ πεῖρα αὕτη εἴη καθειμένη, ὅτῳ οὐκ ἀποχρῶσα ἡ μισθοφορὰ τῶν στρατιωτῶν ἐστι καὶ ὅτῳ πολυτελὴς ἡ δίαιτα. [2] ὡς δὲ ἐξήγγελτο ὅτι οὐκ ἀπογράφουσι σφᾶς οἱ πολλοί, ἀλλ' ἐπικρύπτουσιν ὅτῳ τι εἴη συμβόλαιον, τὴν μὲν ἀπιστίαν τῶν στρατιωτῶν ἐκάκισεν· οὐ γὰρ χρῆναι οὔτ' οὖν τὸν βασιλέα ἄλλο τι ἢ ἀληθεύειν πρὸς τοὺς ὑπηκόους, οὔτε τῶν ἀρχομένων τινὰ ἄλλο τι ἢ ἀληθεύειν δοκεῖν τὸν βασιλέα. [3] καταθεὶς δὲ τραπέζας ἐν τῷ στρατοπέδῳ καὶ ἐπὶ τούτων χρυσίον καὶ τοὺς ἐπιμελησομένους τῆς δόσεως ἑκάστοις, ὅστις συμβόλαιον ἐπεδείκνυτο, ἐπιλύεσθαι τὰ χρέα ἐκέλευεν οὐκ ἀπογραφομένους ἔτι τὰ ὀνόματα. καὶ οὕτω δὴ ἐπίστευσάν τε ἀληθεύειν Ἀλέξανδρον καὶ σὺν χάριτι μείζονι ἐγίγνετο αὐτοῖς τὸ μὴ γνωσθῆναι μᾶλλόν τι ἢ τὸ παύσασθαι ὀφείλοντας. λέγεται δὲ γενέσθαι ἡ δόσις αὕτη τῇ στρατιᾷ ἐς τάλαντα δισμύρια.

[4] Ἔδωκεν δὲ καὶ δῶρα ἄλλοις ἄλλα, ὅπως τις κατ' ἀξίωσιν ἐτιμᾶτο ἢ κατ' ἀρετὴν εἴ τις ἐπιφανὴς ἐγεγόνει ἐν τοῖς κινδύνοις. καὶ ἐστεφάνωσε χρυσοῖς στεφάνοις τοὺς ἀνδραγαθίᾳ διαπρέποντας, πρῶτον μὲν Πευκέσταν τὸν ὑπερασπίσαντα, ἔπειτα Λεοννάτον, [5] καὶ τοῦτον ὑπερασπίσαντα, καὶ διὰ τοὺς ἐν Ἰδοῖς κινδύνους καὶ τὴν ἐν Ὥροις νίκην γενομένην, ὅτι παραταξάμενος σὺν τῇ ὑπολειφθείσῃ δυνάμει πρὸς τοὺς νεωτερίζοντας τῶν τε Ὠρειτῶν καὶ τῶν πλησίον τούτων ᾠκισμένων τῇ τε μάχῃ ἐκράτησε καὶ τὰ ἄλλα καλῶς ἔδοξε τὰ ἐν Ὥροις κοσμῆσαι. [6] ἐπὶ τούτοις δὲ Νέαρχον ἐπὶ τῷ περίπλῳ τῷ ἐκ τῆς Ἰνδῶν γῆς κατὰ τὴν μεγάλην θάλασσαν ἐστεφάνωσε· καὶ γὰρ καὶ οὗτος ἤδη ἀφιγμένος ἐς Σοῦσα ἦν· ἐπὶ τούτοις δὲ Ὀνησίκριτον τὸν κυβερνήτην τῆς νεὼς τῆς βασιλικῆς· ἔτι δὲ Ἡφαιστίωνα καὶ τοὺς ἄλλους τοὺς σωματοφύλακας.

6. Ἧκον δὲ αὐτῷ καὶ οἱ σατράπαι οἱ ἐκ τῶν πόλεών τε τῶν νεοκτίστων καὶ τῆς ἄλλης γῆς τῆς δοριαλώτου παῖδας ἡβάσκοντας ἤδη ἐς τρισμυρίους ἄγοντες τὴν αὐτὴν ἡλικίαν γεγονότας, οὓς Ἐπιγόνους ἐκάλει Ἀλέξανδρος, κεκοσμημένους Μακεδονικοῖς ὅπλοις καὶ τὰ πολέμια ἐς τὸν τρόπον τὸν Μακεδονικὸν ἠσκημένους.

5 Le pareció a Alejandro que era éste un momento muy oportuno para liquidar las deudas que algunos de sus hombres tuvieran, para lo cual encargó se hiciera una lista de lo que cada cual debía para proceder a la liquidación. Al principio sólo unos pocos se atrevieron a dar sus nombres, por temor a que se tratara de una estrategia de Alejandro a fin de conocer quiénes de sus soldados no tenían bastante con su paga y quiénes vivían incluso con derroche. [2] Al enterarse Alejandro de que los hombres que facilitaban sus nombres eran tan sólo unos pocos, mientras que otros muchos procedían incluso a eliminar sus pagarés, afeó a sus soldados esta desconfianza que hacia él manifestaban con este comportamiento. Les dijo que siempre debía tenerse como cosa segura que el rey no dice a sus súbditos más que la verdad, y el parecer de los súbditos respecto de su rey es que éste no dice sino la verdad.

[3] Dispuso, pues, Alejandro unas mesas de cambistas por el campamento con suficiente dinero para que los encargados de los pagos abonaran las deudas a medida que presentaban los pagarés, aun sin tener que tomar nota de sus nombres. Comprobaron así que Alejandro les había dicho la verdad; lo que les resultó motivo de mayor agradecimiento fue, sin embargo, no tener que dar sus nombres. Según se dice, estos regalos hechos al ejército supusieron un total de veinte mil talentos [322].

[4] Repartió, además, muchos otros regalos, a cada cual según su valía o brillante comportamiento, demostrado de manera notable en ocasión de peligro. Coronó, incluso, con coronas de oro a los que más habían sobresalido por su valor: en primer lugar a Peucestas, que le había protegido con su escudo; luego a Leónato, [5] que también hizo lo mismo, a más de por los riesgos que corrió en la India y en la victoriosa batalla contra los oritas, y porque al frente de las fuerzas que con él habían quedado había hecho frente al levantamiento de los oritas y sus vecinos, consiguiendo derrotarlos, así como, en resumen, por todos los servicios que había llevado a cabo entre los oritas [323].

[6] Además de a éstos coronó a Nearco (que ya había llegado a Susa) por su periplo desde la India por el Gran Mar. También a Onesícrito, el timonel de la nave real, e igualmente a Hefestión y a los demás de su guardia personal.

Los Epígonos de Alejandro

6 Se presentaron ahora ante Alejandro los sátrapas de las ciudades recién fundadas, y del restante territorio tomado por la fuerza de las armas. Traían treinta mil jóvenes de aproximadamente la misma edad, a los que Alejandro llamó sus Epígonos [324], equipados con las armas macedonias y entrenados para la guerra a la manera de los macedonios.

[2] καὶ οὗτοι ἀφικόμενοι λέγονται ἀνιᾶσαι Μακεδόνας, ὡς πάντα δὴ μηχανωμένου Ἀλεξάνδρου ὑπὲρ τοῦ μηκέτι ὡσαύτως δεῖσθαι Μακεδόνων· εἶναι γὰρ οὖν καὶ Μηδικὴν τὴν Ἀλεξάνδρου στολὴν ἄλγος οὐ σμικρὸν Μακεδόσιν ὁρωμένην καὶ τοὺς γάμους ἐν τῷ νόμῳ τῷ Περσικῷ ποιηθέντας οὐ πρὸς θυμοῦ γενέσθαι τοῖς πολλοῖς αὐτῶν, οὐδὲ τῶν γημάντων ἔστιν οἷς, καίτοι τῇ ἰσότητι τῇ ἐς τὸν βασιλέα μεγάλως τετιμημένοις. [3] Πευκέστας τε ὁ Περσῶν σατράπης τῇ τε σκευῇ καὶ τῇ φωνῇ περσίζων ἐλύπει αὐτούς, ὅτι τῷ βαρβαρισμῷ αὐτοῦ ἔχαιρεν Ἀλέξανδρος, καὶ οἱ Βακτρίων δὲ καὶ οἱ Σογδιανῶν καὶ Ἀραχωτῶν ἱππεῖς καὶ Ζαραγγῶν δὲ καὶ Ἀρείων καὶ Παρθυαίων καὶ ἐκ Περσῶν οἱ Εὐάκαι καλούμενοι ἱππεῖς καταλοχισθέντες εἰς τὴν ἵππον τὴν ἑταιρικὴν ὅσοι αὐτῶν κατ᾽ ἀξίωσιν καὶ κάλλει τοῦ σώματος ἢ τῇ ἄλλῃ ἀρετῇ ὑπερφέροντες ἐφαίνοντο, καὶ πέμπτη ἐπὶ τούτοις ἱππαρχία προσγενομένη, οὐ βαρβαρικὴ ἡ πᾶσα, [4] ἀλλὰ ἐπαυξηθέντος γὰρ τοῦ παντὸς ἱππικοῦ κατελέγησαν ἐς αὐτὸ τῶν βαρβάρων, τῷ τε ἀγήματι προσκαταλεγέντες Κωφής τε ὁ Ἀρταβάζου καὶ Ὑδάρνης καὶ Ἀρτιβόλης οἱ Μαζαίου, καὶ Σισίνης καὶ Φραδασμένης [καὶ] οἱ Φραταφέρνου τοῦ Παρθυαίων καὶ Ὑρκανίας σατράπου παῖδες, [5] καὶ Ἰτάνης Ὀξυάρτου μὲν παῖς, Ῥωξάνης δὲ τῆς γυναικὸς Ἀλεξάνδρου ἀδελφός, καὶ Αἰγοβάρης καὶ ὁ τούτου ἀδελφὸς Μιθροβαῖος, καὶ ἡγεμὼν ἐπὶ τούτοις ἐπισταθεὶς Ὑστάσπης ὁ Βάκτριος, καὶ τούτοις δόρατα Μακεδονικὰ ἀντὶ τῶν βαρβαρικῶν μεσαγκύλων δοθέντα, — ταῦτα πάντα ἐλύπει τοὺς Μακεδόνας, ὡς πάντῃ δὴ βαρβαρίζοντος τῇ γνώμῃ Ἀλεξάνδρου, τὰ δὲ Μακεδονικὰ νόμιμά τε καὶ αὐτοὺς Μακεδόνας ἐν ἀτίμῳ χώρᾳ ἄγοντος.

7. Ἀλέξανδρος δὲ τῆς μὲν πεζῆς στρατιᾶς τὴν πολλὴν Ἡφαιστίωνα ἄγειν κελεύει ἔστε ἐπὶ τὴν θάλασσαν τὴν Περσικήν, αὐτὸς δὲ ἀναπλεύσαντος αὐτῷ τοῦ ναυτικοῦ ἐς τὴν Σουσίαν γῆν ἐπιβὰς τῶν νεῶν ξὺν τοῖς ὑπασπισταῖς τε καὶ τῷ ἀγήματι καὶ τῶν ἱππέων τῶν ἑταίρων ἀναβιβασάμενος οὐ πολλοὺς κατέπλει κατὰ τὸν Εὐλαῖον ποταμὸν ὡς ἐπὶ θάλασσαν. [2] ἤδη δὲ πλησίον ὢν τῆς ἐκβολῆς τῆς ἐς τὸν πόντον τὰς μὲν πλειόνάς τε καὶ πεπονηκυίας τῶν νεῶν καταλείπει αὐτοῦ, αὐτὸς δὲ ταῖς μάλιστα ταχυναυτούσαις παρέπλει ἀπὸ τοῦ Εὐλαίου ποταμοῦ κατὰ τὴν θάλασσαν ὡς ἐπὶ τὰς ἐκβολὰς τοῦ

[2] Según dicen, la llegada de estos jóvenes contrarió a los macedonios, pues pensaban que Alejandro estaba maquinando prescindir progresivamente de ellos. En efecto, no poco dolor causaba entre los macedonios ver a Alejandro vestido con ropa persa; del mismo modo, la celebración de las bodas según el ceremonial persa había desagradado a muchos de ellos, incluidos algunos de los novios, y eso a pesar de sentirse muy honrados de haber participado en la ceremonia en plano de igualdad con su rey.
[3] Les llenaba de pesar que Peucestas, el sátrapa de Persia, adoptara las modas y la lengua persa, hábitos de los bárbaros, que, además, parecían agradar a Alejandro. Especialmente les dolía que los jinetes bactrianos, los de Sogdiana, Aracosia, los zarangios, arios, partos y los persas denominados Evacos habían pasado a formar parte de las compañías de caballería de los Compañeros, que eran los hombres más destacados por su valía, por su prestancia corporal y otras virtudes. Se había creado, además, una quinta hiparquía [325], que aunque no compuesta en su totalidad de fuerzas bárbaras, [4] sí habían sido elegidos para ella un buen contingente de bárbaros, al haber aumentado el número total de la caballería. Aún más, habían entrado a formar parte del *ágēma,* Cofén, el hijo de Artabazo; Hidarnes y Artíboles, hijos de Maceo; Sisines y Fradásmenes, hijos de Fratafernes, el sátrapa de Partia e Hircania, [5] e Histanes, hijo de Oxiartes y hermano de Roxana, mujer de Alejandro. Finalmente también se añadieron Autobares y su hermano Mitrobeo; como jefe de todos ellos fue designado el bactrio Histaspes, y se les equipó con espadas macedonias en vez de las jabalinas bárbaras.
Todo esto dolía grandemente a los macedonios, pues constataba cómo, a su juicio, el espíritu de Alejandro se habían dejado influir por todo lo oriental, a costa de dejar en mal lugar las tradiciones macedonias y aun a sus propios hombres.

Mesopotamia

7 Ordenó Alejandro a Hefestión que, al mando de la mayor parte de las fuerzas de la infantería, marchara con ella hasta el mar Pérsico; y una vez que su flota arribó a territorio de Susa, él mismo se embarcó en ella acompañado de los hipaspistas, el *ágēma* y unos pocos de la caballería de los Compañeros, y se dirigió hacia el mar bajando por el curso del río Euleo [326].
[2] Cuando estuvo ya cerca de su desembocadura en el mar, dejó allí la mayor parte de sus naves (entre ellas las que en peor estado se hallaban), mientras él continuaba desde la desembocadura del Euleo con las naves más marineras, ya por mar, hacia las diversas bocas por donde desagua

Τίγρητος· αἱ δὲ ἄλλαι αὐτῷ νῆες ἀνακομισθεῖσαι κατὰ τὸν Εὐλαῖον ἔστε ἐπὶ τὴν διώρυχα, ᾗ τέτμηται ἐκ τοῦ Τίγρητος ἐς τὸν Εὐλαῖον, ταύτῃ διεκομίσθησαν ἐς τὸν Τίγρητα. [3] Τῶν γὰρ δὴ ποταμῶν τοῦ τε Εὐφράτου καὶ τοῦ Τίγρητος, οἳ τὴν μέσην σφῶν Ἀσσυρίαν ἀπείργουσιν, ὅθεν καὶ τὸ ὄνομα Μεσοποταμία πρὸς τῶν ἐπιχωρίων κληΐζεται, ὁ μὲν Τίγρης πολύ τι ταπεινότερος ῥέων τοῦ Εὐφράτου διώρυχάς τε πολλὰς ἐκ τοῦ Εὐφράτου ἐς αὐτὸν δέχεται καὶ πολλοὺς ἄλλους ποταμοὺς παραλαβὼν καὶ ἐξ αὐτῶν αὐξηθεὶς ἐσβάλλει ἐς τὸν πόντον τὸν Περσικόν, μέγας τε καὶ οὐδαμοῦ διαβατὸς ἔστε ἐπὶ τὴν ἐκβολήν, καθότι οὐ καταναλίσκεται αὐτοῦ οὐδὲν ἐς τὴν χώραν. [4] ἔστι γὰρ μετεωροτέρα ἡ ταύτῃ γῆ τοῦ ὕδατος οὐδὲ ἐκδίδωσιν οὗτος κατὰ τὰς διώρυχας οὐδὲ ἐς ἄλλον ποταμόν, ἀλλὰ δέχεται γὰρ ἐκείνους μᾶλλον, ἄρδεσθαί τε ἀπὸ οὗ τὴν χώραν οὐδαμῇ παρέχει. [5] ὁ δὲ Εὐφράτης μετέωρός τε ῥεῖ καὶ ἰσοχείλης πανταχῇ τῇ γῇ, καὶ διώρυχες δὲ πολλαὶ ἀπ᾽ αὐτοῦ πεποίηνται, αἱ μὲν ἀέναοι, ἀφ᾽ ὧν ὑδρεύονται οἱ παρ᾽ ἑκάτερα ᾠκισμένοι, τὰς δὲ καὶ πρὸς καιρὸν ποιοῦνται, ὁπότε σφίσιν ὕδατος ἐνδεῶς ἔχοι, ἐς τὸ ἐπάρδειν τὴν χώραν· οὐ γὰρ ὕεται τὸ πολὺ ἡ γῆ αὕτη ἐξ οὐρανοῦ· καὶ οὕτως ἐς οὐ πολὺ ὕδωρ ὁ Εὐφράτης τελευτῶν καὶ τεναγῶδες [ἐς] τοῦτο οὕτως ἀποπαύεται. [6] Ἀλέξανδρος δὲ περιπλεύσας κατὰ τὴν θάλασσαν ὅσον μεταξὺ τοῦ τε Εὐλαίου ποταμοῦ καὶ τοῦ Τίγρητος ἐπεῖχεν ὁ αἰγιαλὸς τοῦ κόλπου τοῦ Περσικοῦ ἀνέπλει κατὰ τὸν Τίγρητα ἔστε ἐπὶ τὸ στρατόπεδον, ἵνα Ἡφαιστίων αὐτῷ τὴν δύναμιν πᾶσαν ἔχων ἐστρατοπεδεύκει. ἐκεῖθεν δὲ αὖθις ἔπλει ἐς Ὦπιν, πόλιν ἐπὶ τοῦ Τίγρητος ᾠκισμένην. [7] ἐν δὲ τῷ ἀνάπλῳ τοὺς καταρράκτας τοὺς κατὰ τὸν ποταμὸν ἀφανίζων ὁμαλὸν πάντῃ ἐποίει τὸν ῥοῦν, οἳ δὴ ἐκ Περσῶν πεποιημένοι ἦσαν τοῦ μή τινα ἀπὸ θαλάσσης ἀναπλεῦσαι εἰς τὴν χώραν αὐτῶν νηΐτῃ στόλῳ κρατήσαντα. ταῦτα δὲ μεμηχάνητο ἅτε δὴ οὐ ναυτικοῖς τοῖς Πέρσαις· οὕτω δὴ συνεχεῖς οἱ καταρράκται πεποιημένοι ἄπορον τὸν ἀνάπλουν ἐποίουν τὸν κατὰ τὸν Τίγρητα. Ἀλέξανδρος δὲ οὐκ ἔφη τῶν κρατούντων τοῖς ὅπλοις εἶναι τὰ τοιαῦτα σοφίσματα· οὔκουν πρὸς αὑτοῦ ἐποιεῖτο ταύτην τὴν ἀσφάλειαν, ἥντινα ἔργῳ οὐδὲ λόγου ἀξίαν ἀπέφηνε οὐ χαλεπῶς διακόψας τῶν Περσῶν τὰ σπουδάσματα.

el Tigris. El resto de sus naves, mientras tanto, se dirigieron por el Euleo hasta el canal que une el Euleo con el Tigris, pasando por él hacia el Tigris.

[3] De estos dos ríos, Tigris y Eufrates, que sirven de límite a la parte de Siria que entre ellos queda y de donde le viene a la región el nombre de Mesopotamia, con que sus habitantes la conocen, el Tigris discurre por un terreno más bajo, por lo que recibe muchos pequeños canales del Eufrates, así como también muchos otros afluentes, y así, crecido su caudal por todos estos afluentes, discurre en busca del mar Pérsico. Es, pues, un río grande y no es posible vadearlo hasta llegar a su desembocadura, ya que en ningún punto de su curso se emplea su agua para regar la tierra. [4] Se debe ello a que ambas orillas alcanzan muy considerable altura sobre el agua, y no desagua por canales en ningún otro río, antes bien, es él quien recibe agua de otros, de suerte que no es posible regar su cuenca. [5] El Eufrates, por el contrario, discurre por un terreno más elevado, y su curso de agua serpentea a ras de ambas orillas a lo largo de todo su recorrido, y de él nacen infinidad de canales, algunos de ellos de aguas perennes que es de donde extraen el agua de riego los habitantes de ambas márgenes. Por contra, otros canales tienen que abrirlos en las temporadas [327] en que necesitan agua para regar sus tierras, ya que en la mayor parte de esta región apenas llueve. En consecuencia, el Eufrates termina en su desembocadura con muy poco caudal, que se consume y muere en zona de marismas.

[6] Navegó, pues Alejandro a lo largo de la costa del golfo Pérsico comprendida entre el río Euleo y el Tigris, y remontó el Tigris hasta llegar al campamento donde había quedado acampado Hefestión con todo el ejército. Desde aquí continuó por el río hasta Opis, ciudad construida a la orilla del río. [7] En su ascenso por el Tigris, destruyó las presas construidas en el río, haciendo que su curso fuera sin saltos ni desniveles. Estas presas habían sido construidas por los persas a fin de que nadie, aunque fuera dueño de una potente flota, pudiera remontar el río desde el mar hacia el interior del país.

Se habían valido de esta estratagema los persas por ser un pueblo poco marinero, de suerte que las presas construidas una a continuación de otra hacían poco menos que imposible remontar el Tigris. Alejandro, sin embargo, sentenció que estos tales artificios no eran sino cosa de gente que no se sabe imponer por las armas. Afirmó que estas salvaguardas carecían de utilidad para sí, y de hecho las consideró indignas de conservación, de suerte que con gran facilidad procedió a destruir lo que tanto trabajo había costado a los persas.

8. Ὡς δὲ ἐς τὴν Ὦπιν ἀφίκετο, συναγαγὼν τοὺς Μακεδόνας προεῖπεν ὅτι τοὺς ὑπὸ γήρως ἢ πηρώσεως τοῦ σώματος ἀχρείους ἐς τὰ πολέμια ὄντας παραλύει μὲν τῆς στρατιᾶς, ἀποπέμπει δὲ ἐς τὰ σφέτερα ἤθη, ἐπιδώσει δὲ <τοῖς> μένουσιν[I] ὅσα αὐτούς τε ζηλωτοτέρους ποιήσει τοῖς οἴκοι καὶ τοὺς ἄλλους Μακεδόνας ἐξορμήσει ἐς τὸ ἐθέλειν τῶν αὐτῶν κινδύνων τε καὶ πόνων μετέχειν. [2] Ἀλέξανδρος μὲν ὡς χαριούμενος δῆθεν τοῖς Μακεδόσιν ταῦτα ἔλεγεν· οἱ δὲ ὡς ὑπερορώμενοί τε ἤδη πρὸς Ἀλεξάνδρου καὶ ἀχρεῖοι πάντη ἐς τὰ πολέμια νομιζόμενοι οὐκ ἀλόγως αὖ τῷ λόγῳ ἠχθέσθησαν τῷ πρὸς Ἀλεξάνδρου λεχθέντι, κατὰ τὴν στρατιὰν ταύτην πᾶσαν πολλοῖς καὶ ἄλλοις ἀχθεσθέντες, ὅτι πολλάκις ἤδη ἐλύπει αὐτοὺς ἥ τε ἐσθὴς ἡ Περσικὴ ἐς ταὐτὸ[II] φέρουσα καὶ τῶν Ἐπιγόνων τῶν βαρβάρων <ἡ ἐς> τὰ Μακεδονικὰ ἤθη κόσμησις καὶ ἀνάμιξις τῶν ἀλλοφύλων ἱππέων ἐς τὰς τῶν ἑταίρων τάξεις. [3] οὔκουν σιγῇ ἔχοντες ἐκαρτέρησαν, ἀλλὰ πάντας γὰρ ἀπαλλάττειν στρατιᾶς ἐκέλευον, αὐτὸν δὲ μετὰ τοῦ πατρὸς στρατεύεσθαι, τὸν Ἄμμωνα δὴ τῷ λόγῳ ἐπικερτομοῦντες. ταῦτα ἀκούσας Ἀλέξανδρος (ἦν γὰρ δὴ ὀξύτερός τε ἐν τῷ τότε καὶ ἀπὸ τῆς βαρβαρικῆς θεραπείας οὐκέτι ὡς πάλαι ἐπιεικὴς ἐς τοὺς Μακεδόνας) καταπηδήσας σὺν τοῖς ἀμφ᾽ αὐτὸν ἡγεμόσιν ἀπὸ τοῦ βήματος ξυλλαβεῖν τοὺς ἐπιφανεστάτους τῶν ταραξάντων τὸ πλῆθος κελεύει, αὐτὸς τῇ χειρὶ ἐπιδεικνύων τοῖς ὑπασπισταῖς οὕστινας χρὴ συλλαμβάνειν· καὶ ἐγένοντο οὗτοι ἐς τρισκαίδεκα. τούτους μὲν δὴ ἀπάγειν κελεύει τὴν ἐπὶ θανάτῳ. ὡς δὲ κατεσιώπησαν οἱ ἄλλοι ἐκπλαγέντες, ἀναβὰς αὖθις ἐπὶ τὸ βῆμα ἔλεξεν ὧδε.

9. Οὐχ ὑπὲρ τοῦ καταπαῦσαι ὑμῶν, ὦ Μακεδόνες, τὴν οἴκαδε ὁρμὴν λεχθήσεταί μοι ὅδε ὁ λόγος, ἔξεστι γὰρ ὑμῖν ἀπιέναι ὅποι βούλεσθε ἐμοῦ γε ἕνεκα, ἀλλὰ ὡς γνῶναι ὑμᾶς πρὸς ὁποίους τινὰς ἡμᾶς ὄντας ὁποῖοί τινες αὐτοὶ γενόμενοι ἀπαλλάσσεσθε. [2] καὶ πρῶτά γε ἀπὸ Φιλίππου τοῦ πατρός, ἧπερ καὶ εἰκός, τοῦ λόγου ἄρξομαι. Φίλιππος γὰρ παραλαβὼν ὑμᾶς πλανήτας καὶ ἀπόρους, ἐν διφθέραις τοὺς

[I] <τοῖς> Hammond. Roos elimina μένουσιν.
[II] Polak: τοῦτο codd., Roos.

Alejandro en Opis

8 Una vez en Opis, Alejandro reunió a los macedonios para adelantarles que quedaba libre del servicio en el ejército todo aquel que por edad o mutilación corporal resultara inútil para el servicio de armas, y que su intención era mandarles a cada cual a su pueblo. A los que se marcharan [328] los iba a dotar de tal suerte, que al llegar a su casa fueran la envidia de los vecinos, y despertarían en los demás macedonios el interés por participar con Alejandro en el futuro en nuevos peligros y esfuerzos.

[2] Alejandro decía esto para congraciarse con los macedonios, pero éstos, que veían que Alejandro los trataba ahora con menosprecio y los consideraba unos inútiles para la guerra, se consideraron, y con razón, dolidos por las palabras de Alejandro, al igual que antes lo habían estado durante la expedición en repetidas ocasiones; así, les molestaba su vestimenta persa (pues ello representaba también el desprecio por todo lo macedonio) y el equipamiento de los Epígonos [329] (al fin y al cabo unos bárbaros) a la usanza y con la panoplia macedonia; finalmente, también les molestó la inclusión de jinetes de tribus bárbaras en los batallones de los Compañeros [330].

[3] Ante todo esto, no pudieron permanecer ya en silencio, sino que le rogaron les diera de baja a todos de su ejército, y que organizara nuevas expediciones con su padre (irónicamente aludían así a Amón). Al oír esto Alejandro (que por entonces estaba más cortante con los macedonios y no tan bien dispuesto para con ellos como antes, a causa de la veneración a que le habían acostumbrado los bárbaros), saltó del estrado en que estaba con sus oficiales y dio órdenes de que detuvieran a los cabecillas que habían soliviantado al resto del ejército, señalando él mismo con el dedo a sus hipaspistas a quienes tenían que detener, en total trece hombres. Acto seguido dio órdenes de que éstos fueran ajusticiados [331]. Todos los demás, atemorizados, guardaron profundo silencio, ante lo cual Alejandro subió de nuevo a la tribuna y les dijo lo siguiente [332]:

Discurso de Alejandro en Opis

9 «No es para sofocar en vosotros el deseo que sentís por volver a casa, macedonios, por lo que voy a hablar ahora, pues, por lo que a mí respecta, podéis iros cada cual donde quiera; sino que lo hago para que quede claro cuál es vuestro comportamiento al marcharos respecto de nosotros que tan distinto comportamiento hemos observado.

[2] »Ante todo, comenzaré mis palabras refiriéndome, como es natural, a Filipo, mi padre. En efecto, Filipo os encontró siendo unos vagabundos indigentes: muchos de vosotros, mal cubiertos con unas burdas pieles,

πολλοὺς νέμοντας ἀνὰ τὰ ὄρη πρόβατα ὀλίγα καὶ ὑπὲρ τούτων κακῶς μαχομένους Ἰλλυριοῖς καὶ Τριβαλλοῖς καὶ τοῖς ὁμόροις Θρᾳξίν, χλαμύδας μὲν ὑμῖν ἀντὶ τῶν διφθερῶν φορεῖν ἔδωκεν, κατήγαγε δὲ ἐκ τῶν ὀρῶν ἐς τὰ πεδία, ἀξιομάχους καταστήσας τοῖς προσχώροις τῶν βαρβάρων, ὡς μὴ χωρίων ἔτι ὀχυρότητι πιστεύοντας μᾶλλον ἢ τῇ οἰκείᾳ ἀρετῇ σώζεσθαι, πόλεών τε οἰκήτορας ἀπέφηνε καὶ νόμοις καὶ ἔθεσι χρηστοῖς ἐκόσμησεν. [3] αὐτῶν δὲ ἐκείνων τῶν βαρβάρων, ὑφ᾽ ὧν πρόσθεν ἤγεσθε καί ἐφέρεσθε αὐτοί τε καὶ τὰ ὑμέτερα, ἡγεμόνας κατέστησεν ἐκ δούλων καὶ ὑπηκόων, καὶ τῆς Θρᾴκης τὰ πολλὰ τῇ Μακεδονίᾳ προσέθηκεν, καὶ τῶν ἐπὶ θαλάττῃ χωρίων τὰ ἐπικαιρότατα καταλαβόμενος τὴν ἐμπορίαν τῇ χώρᾳ ἀνεπέτασε, καὶ τῶν μετάλλων τὴν ἐργασίαν ἀδεῆ παρέσχε, Θεσσαλῶν δὲ ἄρχοντας, [4] οὓς πάλαι ἐτεθνήκειτε τῷ δέει, ἀπέφηνε, καὶ τὸ Φωκέων ἔθνος ταπεινώσας τὴν ἐς τὴν Ἑλλάδα πάροδον πλατεῖαν καὶ εὔπορον ἀντὶ στενῆς τε καὶ ἀπόρου ὑμῖν ἐποίησεν, Ἀθηναίους τε καὶ Θηβαίους ἐφεδρεύοντας ἀεὶ τῇ Μακεδονίᾳ ἐς τοσόνδε ἐταπείνωσεν, ἤδη ταῦτά γε καὶ ἡμῶν αὐτῷ ξυμπονούντων, ὡς ἀντὶ τοῦ φόρους τελεῖν Ἀθηναίοις καὶ ὑπακούειν Θηβαίων, παρ᾽ ἡμῶν ἐν τῷ μέρει ἐκείνους τὴν ἀσφάλειάν σφισι πορίζεσθαι. [5] ἐς Πελοπόννησον δὲ παρελθὼν τὰ ἐκεῖ αὖ ἐκόσμησε καὶ ἡγεμὼν αὐτοκράτωρ συμπάσης τῆς ἄλλης Ἑλλάδος ἀποδειχθεὶς τῆς ἐπὶ τὸν Πέρσην στρατιᾶς οὐχ ἑαυτῷ μᾶλλόν τι τὴν δόξαν τήνδε ἢ τῷ κοινῷ τῶν Μακεδόνων προσέθηκεν. [6] Ταῦτα μὲν τὰ ἐκ τοῦ πατρὸς τοῦ ἐμοῦ ἐς ὑμᾶς ὑπηργμένα, ὡς μὲν αὐτὰ ἐφ᾽ ἑαυτῶν σκέψασθαι μεγάλα, μικρὰ δὲ ὥς γε δὴ πρὸς τὰ ἡμέτερα ξυμβαλεῖν. ὃς παραλαβὼν παρὰ τοῦ πατρὸς χρυσᾶ μὲν καὶ ἀργυρᾶ ἐκπώματα ὀλίγα, τάλαντα δὲ οὐδὲ ἑξήκοντα ἐν τοῖς θησαυροῖς, χρεῶν δὲ ὀφειλόμενα ὑπὸ Φιλίππου ἐς πεντακόσια τάλαντα, δανεισάμενος ἐπὶ τούτοις αὐτὸς ἄλλα ὀκτακόσια ὁρμηθεὶς ἐκ τῆς χώρας τῆς γε οὐδὲ ὑμᾶς αὐτοὺς βοσκούσης καλῶς εὐθὺς μὲν τοῦ Ἑλλησπόντου ὑμῖν τὸν πόρον θαλασσοκρατούντων ἐν τῷ τότε Περσῶν ἀνεπέτασα· [7] κρατήσας δὲ τῇ ἵππῳ τοὺς σατράπας τοὺς Δαρείου τήν τε Ἰωνίαν πᾶσαν τῇ ὑμετέρᾳ ἀρχῇ προσέθηκα καὶ τὴν Αἰολίδα πᾶσαν καὶ Φρύγας ἀμφοτέρους καὶ Λυδούς, καὶ Μίλητον εἷλον πολιορκίᾳ· τὰ δὲ ἄλλα πάντα ἑκόντα προσχωρήσαντα λαβὼν ὑμῖν καρποῦσθαι ἔδωκα· [8] καὶ τὰ ἐξ Αἰγύπτου καὶ Κυρήνης ἀγαθά,

erais pastores de unas pocas ovejas allá en los montes, ovejas que teníais que guardar (y no siempre con éxito) de los ilirios, tribalos y vuestros vecinos tracios. Fue Filipo [333] quien os facilitó clámides en vez de vuestras toscas pieles, os bajó del monte a la llanura, os hizo contrincantes capaces de pelear con vuestros vecinos bárbaros, de suerte que pudierais vivir confiados, no tanto en la seguridad de vuestras fortalezas del monte, como en la capacidad de salvaros por vuestros propios méritos. Os hizo habitar las ciudades y os proporcionó leyes y costumbres en extremo útiles. [3] Os dio el mando de aquellos pueblos bárbaros (por quienes antes estabais dominados y a quienes vivíais sometidos vosotros y vuestros bienes), haciéndoos sus dueños en vez de sus esclavos y servidores; anexionó la mayor parte de Tracia a Macedonia y, apoderándose de los asentamientos más idóneos de la zona costera, atrajo el comercio a la región, posibilitándoos trabajar con seguridad las minas de metales. Os hizo los dueños de Tesalia, [4] ante cuyos habitantes desde tiempo inmemorial estabais muertos de miedo; humilló a los focenses y, en nuestro propio beneficio, hizo ancho y cómodo el camino que conduce a Grecia, en lugar de estrecho e intransitable como era [334]. Debeló a atenienses y tebanos (quienes antaño continuamente acechaban el mejor momento de acabar con Macedonia) hasta tal punto que, en vez de pagar tributos a Atenas [335] y vivir sumisos a los tebanos, son ellos los que han de solicitar de nosotros a su vez seguir viviendo en seguridad (política de mi padre, de la cual nosotros ahora somos sus herederos) [336].

[5] »Pasó luego al Peloponeso, donde también impuso el orden, y cuando fue designado Comandante de toda Grecia con plenos poderes para organizar la expedición contra los persas, consiguió esta nueva reputación no sólo para sí mismo [337], sino especialmente para la comunidad macedonia.

[6] »Todas estas hazañas de mi padre hechas en pro vuestro eran grandiosas en sí mismas consideradas, aunque pequeñas, desde luego, si las comparamos con las nuestras. Yo heredé de mi padre tan sólo unas pocas copas de oro y plata, y no llegaban a sesenta talentos su tesoro; por contra, sus deudas eran quinientos talentos [338]; pues bien, sobre ellos tomé en préstamo yo otros ochocientos talentos, y salí de este país que a duras penas podía incluso alimentaros a vosotros, y en seguida os dejé expedito el paso al Helesponto a pesar de que por aquel entonces eran los persas los dueños del mar. [7] Derroté con mi caballería a los sátrapas de Darío, y añadí a vuestro imperio la Jonia, toda la Eolia, ambas Frigias y Lidia; y tomé Mileto tras un penoso asedio. Me apoderé de otros muchos pueblos que voluntariamente se ponían de mi parte y os los puse a vuestra disposición para que recogierais el fruto de ellos. [8] Todos los bienes de Egipto y Cirene,

ὅσα ἀμαχεὶ ἐκτησάμην, ὑμῖν ἔρχεται, ἥ τε κοίλη Συρία καὶ ἡ Παλαιστίνη καὶ ἡ μέση τῶν ποταμῶν ὑμέτερον κτῆμά εἰσι, καὶ Βαβυλὼν καὶ Βάκτρα καὶ Σοῦσα ὑμέτερα, καὶ ὁ Λυδῶν πλοῦτος καὶ οἱ Περσῶν θησαυροὶ καὶ τὰ Ἰνδῶν ἀγαθὰ καὶ ἡ ἔξω θάλασσα ὑμέτερα· ὑμεῖς σατράπαι, ὑμεῖς στρατηγοί, ὑμεῖς ταξιάρχαι. [9] ὡς ἔμοιγε αὐτῷ τί περίεστιν ἀπὸ τούτων τῶν πόνων ὅτι μὴ αὕτη ἡ πορφύρα καὶ τὸ διάδημα τοῦτο; κέκτημαι δὲ ἰδίᾳ οὐδέν, οὐδὲ ἔχει τις ἀποδεῖξαι θησαυροὺς ἐμοὺς ὅτι μὴ ταῦτα, ὑμέτερα κτήματα ἢ ὅσα ἕνεκα ὑμῶν φυλάττεται. ἐπεὶ οὐδὲ ἔστιν ἰδίᾳ μοι ἐς ὅ τι φυλάξω αὐτούς, σιτουμένῳ τε τὰ αὐτὰ ὑμῖν σιτία καὶ ὕπνον τὸν αὐτὸν αἱρουμένῳ· καίτοι οὐδὲ σιτία ἐμοὶ δοκῶ τὰ αὐτὰ τοῖς τρυφῶσιν ὑμῶν σιτεῖσθαι· προαγρυπνῶν δὲ ὑμῶν οἶδα, ὡς καθεύδειν ἔχοιτε ὑμεῖς.

10. Ἀλλὰ ταῦτα γὰρ ὑμῶν πονούντων καὶ ταλαιπωρουμένων ἐκτησάμην αὐτὸς ἀπόνως καὶ ἀταλαιπώρως ἐξηγούμενος. καὶ τίς ὑμῶν ἢ πονήσας οἶδεν ἐμοῦ μᾶλλον . . . . . ἢ ἐγὼ ὑπὲρ ἐκείνου; ἄγε δὴ καὶ ὅτῳ τραύματα ὑμῶν ἐστι γυμνώσας αὐτὰ ἐπιδειξάτω καὶ ἐγὼ τὰ ἐμὰ ἐπιδείξω ἐν μέρει· [2] ὡς ἔμοιγε οὐκ ἔστιν ὅ τι τοῦ σώματος τῶν γε δὴ ἔμπροσθεν μερῶν ἄτρωτον ὑπολέλειπται, οὐδὲ ὅπλον τι ἔστιν ἢ ἐκ χειρὸς ἢ τῶν ἀφιεμένων οὗ γε οὐκ ἴχνη ἐν ἐμαυτῷ φέρω· ἀλλὰ καὶ ξίφει ἐκ χειρὸς τέτρωμαι καὶ τετόξευμαι ἤδη καὶ ἀπὸ μηχανῆς βέβλημαι, καὶ λίθοις πολλαχῇ καὶ ξύλοις παιόμενος ὑπὲρ ὑμῶν καὶ τῆς ὑμετέρας δόξης καὶ τοῦ ὑμετέρου πλούτου νικῶντας ὑμᾶς ἄγω διὰ πάσης γῆς καὶ θαλάσσης καὶ πάντων ποταμῶν καὶ ὀρῶν καὶ πεδίων πάντων, [3] γάμους τε ὑμῖν τοὺς αὐτοὺς γεγάμηκα καὶ πολλῶν ὑμῶν οἱ παῖδες συγγενεῖς ἔσονται τοῖς παισὶ τοῖς ἐμοῖς. ἔτι δὲ ᾧ χρέα ἦν, οὐ πολυπραγμονήσας ἐφ᾽ ὅτῳ ἐγένετο, τοσαῦτα μὲν μισθοφορούντων, τοσαῦτα δὲ ἁρπαζόντων, ὁπότε ἐκ πολιορκίας ἁρπαγὴ γίγνοιτο, διαλέλυμαι ταῦτα. στέφανοί τε χρυσοῖ τοῖς πλείστοις ὑμῶν εἰσι μνημεῖα τῆς τε ἀρετῆς τῆς ὑμετέρας καὶ τῆς ἐξ ἐμοῦ τιμῆς ἀθάνατα.
[4] ὅστις δὲ δὴ καὶ ἀπέθανεν, εὐκλεὴς μὲν αὐτῷ ἡ τελευτὴ ἐγένετο, περιφανὴς δὲ ὁ τάφος, χαλκαῖ δὲ αἱ εἰκόνες τῶν πλείστων οἴκοι ἑστᾶσιν, οἱ γονεῖς δ᾽ ἔντιμοί εἰσι λειτουργίας τε ξυμπάσης καὶ εἰσφορᾶς ἀπηλλαγμένοι· οὐ γάρ τίς γε φεύγων ὑμῶν ἐτελεύτα ἐμοῦ ἄγοντος.

conquistados sin librar una sola batalla han pasado a vuestras manos. Siria Interior, Palestina y Mesopotamia son posesiones vuestras, igual que Babilonia, Bactria y Susa, la riqueza de Lidia, los tesoros de Persia, las riquezas de la India, así como el mar Exterior. Vosotros sois los sátrapas, los generales, los taxiarcos.
[9] »En cuanto a mí se refiere, ¿qué es lo que para mí ha quedado de tantos sufrimientos, sino la púrpura y esta corona? Nada poseo como particular, nadie puede mostrar que yo tenga tesoros fuera de esas posesiones vuestras que para vosotros se guardan. Ninguna razón hay para que yo me reserve algo en privado, si como lo mismo que vosotros y duermo igual que vosotros; incluso diría más: no creo comer las mismas exquisiteces que algunos de vosotros [339]. Sé también que velo por vosotros, para que vosotros podáis continuar durmiendo.

10 »¿Pero es que acaso, mientras vosotros sufríais penalidades y fatigas, adquiría yo todo esto sin conocer lo que son las penalidades? ¿Os he dirigido sin yo mismo conocer las fatigas? Pero, ¿quién de vosotros está seguro de haber sufrido más por mí que yo por él? ¡Y si no, ea, que cualquiera de vosotros, desnudándose, muestre su heridas, que yo a mi vez enseñaré las mías!
[2] Porque me parece que no hay punto de mi cuerpo (al menos por delante) que no tenga vestigios de alguna herida. Tampoco hay arma (ni corta ni larga) de la que no lleve mi cuerpo una señal, pues he sido herido por la espada en combate mano a mano, he sido alcanzado por proyectiles lanzados desde lejos, y han dado en el blanco de mi cuerpo los disparos de las catapultas, alcanzado muchas veces por piedras y palos, y todo ello por vosotros, por vuestra gloria y por vuestra riqueza. Os he traído como vencedores por toda la tierra, por el mar, por los ríos todos y montes, por todos los llanos. [3] Me he casado cuando vosotros y los hijos de muchos de vosotros serán parientes de mis hijos. Más aún, quien tenía deudas ha visto cómo se las he pagado, y eso sin yo inmiscuirme en saber cómo las contrajo, siendo como eran bien altos los sueldos que os pagaba y siendo tantas las veces que os permití quedaros con el botín, cuando era posible, tras un asedio. Muchos de vosotros habéis sido coronados con coronas de oro como recuerdo imperecedero de vuestro valor y de la estima que os tengo. [4] Cualquiera que ha encontrado ya la muerte ha obtenido un final famoso, y muy espléndido ha sido su funeral. En su casa se han erigido en honor de la mayoría de ellos estatuas de bronce, sus padres gozan de la mayor honra y han quedado exentos de todo tipo de contribución y tributos [340]. Mientras yo os he conducido, nadie ha muerto huyendo,

[5] Καὶ νῦν τοὺς ἀπολέμους ὑμῶν ζηλωτοὺς τοῖς οἴκοι ἀποπέμψειν ἤμελλον· ἀλλ᾽ ἐπειδὴ πάντες ἀπιέναι βούλεσθε, ἄπιτε πάντες, καὶ ἀπελθόντες οἴκοι ἀπαγγείλατε ὅτι τὸν βασιλέα ὑμῶν Ἀλέξανδρον, νικῶντα μὲν Πέρσας καὶ Μήδους καὶ Βακτρίους καὶ Σάκας, [6] καταστρεψάμενον δὲ Οὐξίους τε καὶ Ἀραχωτοὺς καὶ Δράγγας, κεκτημένον δὲ καὶ Παρθυαίους καὶ Χορασμίους καὶ Ὑρκανίους ἔστε ἐπὶ τὴν θάλασσαν τὴν Κασπίαν, ὑπερβάντα δὲ τὸν Καύκασον ὑπὲρ τὰς Κασπίας πύλας, καὶ περάσαντα Ὦξον τε ποταμὸν καὶ Τάναϊν, ἔτι δὲ τὸν Ἰνδὸν ποταμόν, οὐδενὶ ἄλλῳ ὅτι μὴ Διονύσῳ περαθέντα, καὶ τὸν Ὑδάσπην καὶ τὸν Ἀκεσίνην καὶ τὸν Ὑδραώτην, [7] καὶ τὸν Ὕφασιν διαπεράσαντα ἄν, εἰ μὴ ὑμεῖς ἀπωκνήσατε, καὶ ἐς τὴν μεγάλην θάλασσαν κατ᾽ ἀμφότερα τοῦ Ἰνδοῦ τὰ στόματα ἐμβαλόντα, καὶ διὰ τῆς Γαδρωσίας τῆς ἐρήμου ἐλθόντα, ᾗ οὐδείς πω πρόσθεν σὺν στρατιᾷ ἦλθε, καὶ Καρμανίαν ἐν παρόδῳ προσκτησάμενον καὶ τὴν Ὠρειτῶν γῆν, περιπεπλευκότος δὲ ἤδη αὐτῷ τοῦ ναυτικοῦ τὴν ἀπ᾽ Ἰνδῶν γῆς εἰς Πέρσας θάλασσαν, ὡς εἰς Σοῦσα ἐπανηγάγετε, ἀπολιπόντες οἴχεσθε, παραδόντες φυλάσσειν τοῖς νενικημένοις βαρβάροις. ταῦτα ὑμῖν καὶ πρὸς ἀνθρώπων ἴσως εὐκλεᾶ καὶ πρὸς θεῶν ὅσια δήπου ἔσται ἀπαγγελθέντα. ἄπιτε.

11. Ταῦτα εἰπὼν κατεπήδησέ τε ἀπὸ τοῦ βήματος ὀξέως καὶ ἐς τὰ βασίλεια παρελθὼν οὔτε ἐθεράπευσε τὸ σῶμα οὔτε τῳ ὤφθη τῶν ἑταίρων· ἀλλ᾽ οὐδὲ ἐς τὴν ὑστεραίαν ὤφθη. τῇ τρίτῃ δὲ καλέσας εἴσω τῶν Περσῶν τοὺς ἐπιλέκτους τάς τε ἡγεμονίας αὐτοῖς τῶν τάξεων διένειμε καὶ ὅσους συγγενεῖς ἀπέφηνε, τούτοις δὲ νόμιμον ἐποίησε φιλεῖν αὐτὸν μόνοις. [2] οἱ δὲ Μακεδόνες ἔν τε τῷ παραυτίκα ἀκούσαντες τῶν λόγων ἐκπεπληγμένοι σιγῇ ἔμενον αὐτοῦ πρὸς τῷ βήματι οὐδέ τις ἠκολούθησε τῷ βασιλεῖ ἀπαλλαττομένῳ ὅτι μὴ οἱ ἀμφ᾽ αὐτὸν ἑταῖροί τε καὶ οἱ σωματοφύλακες, οἱ δὲ πολλοὶ οὔτε μένοντες ὅ τι πράττωσιν ἢ λέγωσιν εἶχον, οὔτε ἀπαλλάσσεσθαι ἤθελον. [3] ὡς δὲ τὰ Περσῶν τε καὶ Μήδων αὐτοῖς ἐξηγγέλλετο, αἵ τε ἡγεμονίαι Πέρσαις διδόμεναι καὶ ἡ στρατιὰ ἡ βαρβαρικὴ ἐς λόχους τε καταλεγομένη καὶ τὰ Μακεδονικὰ ὀνόματα ἄγημά τι Περσικὸν καλούμενον καὶ

[5] y ahora pienso enviaros de regreso a casa, donde seréis la envidia de los vecinos, a los que ya estáis inútiles para la guerra; pero ya que todos queréis regresar, ¡hala!, volved todos, y de regreso en casa anunciad que habéis vuelto tras dejar abandonado a vuestro rey Alejandro, el vencedor de los persas, medos, bactrianos, saceos, [6] el que domeñó a uxios, aracosios y drangeos, amo de los partos, de Corasmia e Hircania hasta el mar Caspio; el que traspasó el Cáucaso más allá de las Puertas Caspias, cruzó el río Oxo y el Tanais, a más del Indo, que sólo había sido cruzado antes por Dioniso, también el Acesines, el Hidraotes, y que hubiera cruzado [7] también el Hífasis si vosotros no os hubierais retraído; que llegó hasta el Gran Mar bajando por ambas bocas del Indo; que atravesó el desierto de Gadrosia, por donde nadie anteriormente había cruzado con un ejército; que capturó, además, Carmania según marchaba y la tierra de los oritas, y al que cuando su flota había terminado su periplo por el mar Pérsico desde la India lo condujisteis de nuevo hacia Susa, y lo abandonasteis dejándolo allí como centinela de los pueblos bárbaros que ya antes habíais vencido.

»El anuncio de todo esto os dará, a buen seguro, fama entre los hombres, y entre los dioses, sin duda, se considerará algo piadoso. ¡Hala, marchad! [341].»

Discurso de Calines

11. Esto fue lo que les dijo Alejandro; acto seguido, descendió de la tribuna de un salto y pasó a su residencia, donde abandonó su cuidado corporal y no se dejó ver ni siquiera de los Compañeros. Tampoco al día siguiente quiso que éstos le vieran. Al tercer día convocó en su residencia a los más nobles persas, y repartió entre ellos el mando de los batallones, permitiendo que le besaran [342], según costumbre, sólo los que eran sus parientes.

[2] Los macedonios, al acabar de oír el discurso de su rey quedaron atónitos y llenos de estupor, permaneciendo en silencio junto a la tribuna; nadie acompañó al rey al abandonar la tribuna, excepto los Compañeros que con él estaban y su guardia personal. El resto de sus hombres, sin embargo, no sabían qué hacer ni decir quedándose allí, ni querían tampoco marcharse.

[3] Al llegarles ahora, al cabo de los tres días, noticias acerca de los medos y los persas, de cómo el mando se ponía en manos de los persas, así como que el ejército bárbaro pasaba a formar parte de las compañías del ejército, y que a un *ágēma* persa se le daba nombre macedonio, y que

πεζέταιροι Πέρσαι καὶ ἀσθέτεροι ἄλλοι [I] καὶ ἀργυρασπίδων τάξις Περσικὴ καὶ ἡ τῶν ἑταίρων ἵππος καὶ ταύτης ἄλλο ἄγημα βασιλικόν, οὐκέτι καρτεροὶ σφῶν ἦσαν, [4] ἀλλὰ ξυνδραμόντες ὡς πρὸς τὰ βασίλεια τὰ μὲν ὅπλα αὐτοῦ πρὸ τῶν θυρῶν ἐρρίπτουν, ἱκετηρίας ταύτας τῷ βασιλεῖ, αὐτοὶ δ᾽ ἐβόων πρὸ τῶν θυρῶν ἑστηκότες δεόμενοι παρελθεῖν εἴσω· τούς τε αἰτίους τῆς ἐν τῷ τότε ταραχῆς καὶ τοὺς ἄρξαντας τῆς βοῆς ἐκδιδόναι ἐθέλειν· οὔκουν ἀπαλλαγήσεσθαι τῶν θυρῶν οὔτε ἡμέρας οὔτε νυκτός, εἰ μή τινα οἶκτον σφῶν ἕξει Ἀλέξανδρος. [5] Ταῦτα ὡς ἀπηγγέλλετο αὐτῷ, ὁ δὲ σπουδῇ ἐξέρχεται καὶ ἰδών τε ταπεινῶς διακειμένους καὶ ἀκούσας σὺν οἰμωγῇ τῶν πολλῶν βοώντων καὶ αὐτῷ προχεῖται δάκρυα. καὶ ὁ μὲν ἀνήγετο ὥς τι ἐρῶν, οἱ δὲ ἔμενον λιπαροῦντες. [6] καί τις αὐτῶν καθ᾽ ἡλικίαν τε καὶ ἱππαρχίαν τῆς ἵππου τῆς ἑταιρικῆς οὐκ ἀφανής, Καλλίνης ὄνομα, τοιαῦτα εἶπεν· ὦ βασιλεῦ, τὰ λυποῦντά ἐστι Μακεδόνας ὅτι σὺ Περσῶν μέν τινας ἤδη πεποίησαι σαυτῷ συγγενεῖς καὶ καλοῦνται Πέρσαι συγγενεῖς Ἀλεξάνδρου καὶ φιλοῦσί σε, Μακεδόνων δὲ οὔπω τις γέγευται ταύτης τῆς τιμῆς. [7] ἔνθα δὴ ὑπολαβὼν Ἀλέξανδρος, ἀλλ᾽ ὑμᾶς τε, ἔφη, ξύμπαντας ἐμαυτῷ τίθεμαι συγγενεῖς καὶ τό γε ἀπὸ τούτου οὕτως καλέσω. ταῦτα εἰπόντα προσελθὼν ὁ Καλλίνης τε ἐφίλησε καὶ ὅστις ἄλλος φιλῆσαι ἠθέλησε. καὶ οὕτω δὴ ἀναλαβόντες τὰ ὅπλα βοῶντές τε καὶ παιωνίζοντες ἐς τὸ στρατόπεδον ἀπῄεσαν.

[8] Ἀλέξανδρος δὲ ἐπὶ τούτοις θυσίαν τε θύει τοῖς θεοῖς οἷς αὐτῷ νόμος καὶ θοίνην δημοτελῆ ἐποίησε, καθήμενός τε αὐτὸς καὶ πάντων καθημένων, ἀμφ᾽ αὐτὸν μὲν Μακεδόνων, ἐν δὲ τῷ ἐφεξῆς τούτων Περσῶν, ἐπὶ δὲ τούτοις τῶν ἄλλων ἐθνῶν ὅσοι κατ᾽ ἀξίωσιν ἤ τινα ἄλλην ἀρετὴν πρεσβευόμενοι, καὶ ἀπὸ τοῦ αὐτοῦ κρατῆρος αὐτός τε καὶ οἱ ἀμφ᾽ αὐτὸν ἀρυόμενοι ἔσπενδον τὰς αὐτὰς σπονδὰς καταρχομένων τῶν τε Ἑλλήνων μάντεων καὶ τῶν Μάγων. [9] εὔχετο δὲ τά τε ἄλλα [καὶ τὰ] ἀγαθὰ καὶ ὁμόνοιάν τε καὶ κοινωνίαν τῆς ἀρχῆς Μακεδόσι καὶ Πέρσαις. εἶναι δὲ κατέχει λόγος τοὺς μετασχόντας τῆς θοίνης ἐννακισχιλίους, καὶ τούτους πάντας μίαν τε σπονδὴν σπεῖσαι καὶ ἐπ᾽ αὐτῇ παιωνίσαι.

[I] Ver nota I al libro II, 5.2

Alejandro llamaba *peceteros* a unos persas, y llamaba «escudos de plata» a un batallón persa, y los denominaba también «caballería de los Compañeros», y que había nombrado un nuevo *ágēma* real compuesto de persas; al oír todo esto los macedonios ya no pudieron contenerse por más tiempo.

[4] Echaron todos a correr hacia la residencia de su rey, ante cuyas puertas tiraron sus armas en señal de súplica a su rey y, puestos en pie delante de la puerta, pedían a gritos que se les permitiera pasar adentro. Los instigadores de la pasada revuelta y los que habían empezado a gritar contra el rey estaban dispuestos a entregarse. Los demás no se marcharían de delante de las puertas ni de noche ni de día hasta alcanzar el perdón de Alejandro.

[5] Al anunciársele todo esto a Alejandro, salió fuera a toda prisa y, al ver con qué humildad estaban allí aquellos hombres, oyéndoles llorar entre grandes lamentos, también a él se le saltaron las lágrimas. Alejandro se adelantó para hablar, mientras los demás seguían implorándole insistentemente. [6] Entonces, uno de ellos, jefe de la caballería de los Compañeros y distinguido por su edad, de nombre Calines, dijo lo siguiente: «Señor, lo que molesta a los macedonios es que tú hayas hecho parientes tuyos a algunos persas y que éstos así se hagan llamar y les esté permitido darte el beso, mientras que ningún macedonio de la clase no dirigente disfruta aún de ese honor.»

[7] En este punto, le interrumpió Alejandro para decirles: «A todos vosotros yo os considero parientes míos, y a partir de este momento como a tales os llamaré.»

Al decir esto Alejandro, se le acercó Calines y le besó, así como todo aquel que quiso hacerlo. Tomaron todos ya sus armas y entre gritos y cantos de peán regresaron al campamento.

[8] Alejandro ofreció un sacrificio a los dioses de su devoción por este feliz resultado y celebró una comida popular, sentado él mismo en medio de todos los macedonios; a continuación se sentaron los persas y, tras éstos, los demás pueblos que gozaban del respeto general, bien por su significación, bien por cualquier otra cualidad especial. Alejandro y los que con él estaban bebieron del vino sacado de la misma cratera y realizaron idénticas libaciones, mientras adivinos griegos y los magos comenzaban [sus ceremonias. 9] Se hicieron ruegos por toda suerte de bienes y, en especial, por la concordia e imperio común de macedonios y persas. Según el relato conservado hasta nosotros, fueron unos nueve mil los que participaron en el festín. Celebraron todos la misma libación y entonaron todos a una el canto del peán [343].

12. Ἔνθα δὴ ἐθελονταὶ ἤδη αὐτῷ ἀπήεσαν τῶν Μακεδόνων ὅσοι διὰ γῆρας ἤ τινα ἄλλην ξυμφορὰν ἀπόλεμοι ἦσαν· καὶ οὗτοι αὐτῷ ἐγένοντο ἐς τοὺς μυρίους. τούτοις δὲ τήν τε μισθοφορὰν οὐ τοῦ ἐξήκοντος ἤδη χρόνου ἔδωκεν Ἀλέξανδρος μόνον, ἀλλὰ καὶ τοῦ ἐς τὴν ἀπονόστησιν τὴν οἴκαδε ξυμβαίνοντος. [2] ἐπέδωκεν δὲ καὶ τάλαντον ἑκάστῳ ὑπὲρ τὴν μισθοφοράν· παῖδες δὲ εἴ τῳ ἦσαν ἐκ τῶν Ἀσιανῶν γυναικῶν, παρὰ οἷ καταλιπεῖν ἐκέλευσε μηδὲ στάσιν κατάγειν ἐς Μακεδονίαν ἀλλοφύλους τε καὶ ἐκ τῶν βαρβάρων γυναικῶν παῖδας τοῖς οἴκοι ὑπολελειμμένοις παισί τε καὶ μητράσιν αὐτῶν· αὐτὸς δὲ ἐπιμελήσεσθαι ὡς ἐκτρέφοιντο Μακεδονικῶς τά τε ἄλλα καὶ ἐς τὰ πολέμια κοσμούμενοι, γενομένους δὲ ἄνδρας ἄξειν αὐτὸς ἐς Μακεδονίαν καὶ παραδώσειν τοῖς πατράσιν. [3] ταῦτά τε ἀπαλλαττομένοις ἀστάθμητα καὶ ἀτέκμαρτα ἐπηγγέλλετο, καὶ ὅπως ἔχει φιλίας τε καὶ πόθου ἐς αὐτοὺς τὸ ἀτρεκέσατον τεκμήριον ἐκεῖνο ποιεῖσθαι ἠξίου, ὅτι τὸν πιστότατόν τε αὐτῷ καὶ ὅντινα ἴσον τῇ ἑαυτοῦ κεφαλῇ ἄγει, Κρατερόν, ξυμπέμπει αὐτοῖς φύλακά τε καὶ ἡγεμόνα τοῦ στόλου. οὕτω δὴ ἀσπασάμενος ξύμπαντας αὐτός τε δακρύων καὶ δακρύοντας ἐκείνους ἀπὸ οὗ ἀπήλλαξε. [4] Κρατερῷ δὲ τούτους τε ἄγειν ἐκέλευσε καὶ ἀπαγαγόντι Μακεδονίας τε καὶ Θρᾴκης καὶ Θετταλῶν ἐξηγεῖσθαι καὶ τῶν Ἑλλήνων τῆς ἐλευθερίας· Ἀντίπατρον δὲ διαδόχους τοῖς ἀποπεμπομένοις ἄγειν Μακεδόνας τῶν ἀκμαζόντων ἐκέλευσεν. ἔστειλε δὲ καὶ Πολυπέρχοντα ὁμοῦ τῷ Κρατερῷ, δεύτερον δὲ ἀπὸ Κρατεροῦ ἡγεμόνα, ὡς εἴ τι κατὰ πορείαν Κρατερῷ συμπίπτοι, ὅτι καὶ μαλακῶς τὸ σῶμα ἔχοντα ἀπέπεμπεν αὐτόν, μὴ ποθῆσαι στρατηγὸν τοὺς ἰόντας. [5] Λόγος δέ τις οὗτος ἐφοίτα ἀφανὴς παρὰ τοῖς τὰ βασιλικὰ πράγατα, ὅσῳ ἐπικρύπτεται, τοσῷδε φιλοτιμότερον ἐξηγουμένοις, καὶ τὸ πιστὸν ἐς τὸ χεῖρον μᾶλλον, ᾗ τὸ εἰκός τε καὶ ἡ αὐτῶν μοχθηρία ἄγει, ἢ πρὸς τὸ ἀληθὲς ἐκτρέπουσιν, ἐξηττώμενον Ἀλέξανδρον ἤδη τῆς μητρὸς τῶν διαβολῶν τῶν ἐς Ἀντίπατρον ἀπαλλάξαι ἐθέλειν ἐκ Μακεδονίας Ἀντίπατρον. [6] καὶ τυχὸν οὐκ ἐς ἀτιμίαν τὴν Ἀντιπάτρου ἡ μετάπεμψις αὐτοῦ ἔφερεν, ἀλλ' ὡς μή τι ἐκ τῆς διαφορᾶς αὐτοῖς γένοιτο ἄχαρι ἐς ἀλλήλους καὶ οὐδὲ αὐτῷ ἰάσιμον. ἐπεὶ οὐδὲ ἐπαύοντο Ἀλεξάνδρῳ γράφοντες ὁ μὲν τὴν αὐθάδειάν τε τῆς Ὀλυμπιάδος καὶ ὀξύτητα καὶ πολυπραγμοσύνην,

Regreso de los veteranos.

12 Desde allí se organizó la expedición de los macedonios que voluntariamente querían regresar por haber quedado inútiles para la guerra, por su edad o por alguna otra circunstancia. Este contingente resultó ser de unos diez mil hombres. Alejandro les pagó el salario devengado hasta ese mismo día, y a ello añadió la cantidad que les correspondía hasta el día que llegaran a casa de regreso. [2] Aún añadió, aparte de esta soldada, un talento para cada uno de sus hombres. Les aconsejó que dejaran allí con él a los hijos que hubieran tenido con mujeres asiáticas, a fin de evitar que a su regreso surgiera alguna querella entre estos hijos nacidos de otras tribus y bárbaras con los que habían dejado en Macedonia y sus madres; Alejandro se comprometió a ocuparse de ellos y educarlos como macedonios en todos los aspectos, y a hacerlos disciplinados en los asuntos de la milicia; una vez que se hicieran hombres, él mismo los llevaría a Macedonia y los entregaría a sus padres. [3] Prometió a los que partían todo esto, a pesar de ser cosas inseguras y de futuro difícilmente conjeturable; por otra parte, pensó que la mejor prueba con que podía demostrarles su amistad y la añoranza que de ellos sentiría era su decisión de enviar con ellos a Crátero, que era el hombre de su mayor confianza, y a quien estimaba como a su propia persona, en calidad de protector y jefe de la expedición. Alejandro los abrazó a todos, llorando él y llorando ellos en este acto de despedida. [4] Encargó a Crátero que los devolviera a su patria, y una vez los hubiera conducido a ella, que se hiciera cargo de Macedonia, Tracia y Tesalia, como defensor [344] de la libertad de los griegos. Ordenó a Antípatro que trajera de Macedonia hombres jóvenes que reemplazaran como sucesores a los que ahora se iban. Acompañaría a Crátero como segundo jefe de esta expedición Poliperconte, a fin de que no quedaran sin guía los que volvían a su tierra, en caso de que a Crátero le sucediera algo en el camino, ya que cuando Alejandro lo despidió iba algo delicado de salud. [5] Circulaba el oscuro rumor, difundido por esos que se dedican a comentar los asuntos de los reyes (con tanto más interés si son secretos) y que suelen dar mayor crédito a lo peor (por donde les conduce la mera probabilidad y su propia malicia) que a la verdad, según el cual Alejandro, vencido ya por las calumnias de su madre Olimpíade contra Antípatro, quería alejar a Antípatro de Macedonia [345].

[6] Yo entiendo, sin embargo, que el traslado de Antípatro no buscaba privarle de ninguno de sus honores, sino que lo que Alejandro trataba de evitar era que entre Olimpíade y Antípatro surgiera alguna pendencia desafortunada que ni él mismo pudiera luego subsanar. En efecto, Antípatro y Olimpíade no dejaban de escribir a Alejandro; aquél aludía al recio carácter, acritud e intromisión de Olimpíade [346],

ἥκιστα δὴ τῇ Ἀλεξάνδρου μητρὶ εὐσχήμονα, ὥστε καὶ λόγος τις τοιόσδε ἐφέρετο Ἀλεξάνδρου ἐφ᾽ οἷς ὑπὲρ τῆς μητρὸς αὐτῷ ἐξηγγέλλετο, βαρὺ δὴ τὸ ἐνοίκιον τῶν δέκα μηνῶν εἰσπράττεσθαι αὑτοῦ τὴν μητέρα· [7] ἡ δέ, ὑπέρογκον εἶναι τῇ τε ἀξιώσει καὶ τῇ ἄλλῃ θεραπείᾳ Ἀντίπατρον οὐδὲ μεμνῆσθαι τοῦ καταστήσαντος ἔτι, ἀλλ᾽ αὐτὸν γὰρ ἀξιοῦν τὰ πρῶτα φέρεσθαι ἐν τοῖς ἄλλοις Μακεδόσι τε καὶ Ἕλλησι. καὶ ταῦτα μᾶλλόν τι ἰσχύειν παρ᾽ Ἀλεξάνδρῳ ἐφαίνετο ὅσα ἐς τοῦ Ἀντιπάτρου τὴν διαβολὴν φέροντα ἦν, οἷα δὴ καὶ φοβερώτερα ἐν βασιλείᾳ ὄντα. οὐ μέντοι καταφανές γέ τι ἢ ἔργον ἢ λόγος ἐξηγγέλλετο Ἀλεξάνδρου ἐφ᾽ ὅτῳ ἄν τις συνέθηκεν οὐχ ὡσαύτως εἶναι αὐτῷ πρὸς θυμοῦ Ἀντίπατρον . . . . Ἡφαιστίων [I].

13. Τούτῳ τῷ λόγῳ ὑποπτήξαντα Ἡφαιστίωνα συναλλαγῆναι Εὐμενεῖ, οὐχ ἑκόντα ἑκόντι. ἐν ταύτῃ τῇ ὁδῷ καὶ τὸ πεδίον λέγεται ἰδεῖν Ἀλέξανδρον τὸ ἀνειμένον ταῖς ἵπποις ταῖς βασιλικαῖς, αὐτό τε πεδίον Νησαῖον καλούμενον καὶ αἱ ἵπποι ὅτι Νησαῖαι κληΐζονται λέγει Ἡρόδοτος· εἶναι δὲ πάλαι μὲν ἐς πεντεκαίδεκα μυριάδας τῶν ἵππων, τότε δὲ Ἀλέξανδρον οὐ πολὺ πλείονας τῶν πέντε καταλαβεῖν· πρὸς ληστῶν γὰρ διαρπαγῆναι τὰς πολλὰς αὐτῶν. [2] Ἐνταῦθα λέγουσιν ὅτι Ἀτροπάτης ὁ τῆς Μηδίας σατράπης γυναῖκας ἑκατὸν αὐτῷ ἔδωκεν, ταύτας φάσκων εἶναι τῶν Ἀμαζόνων, καὶ ταύτας σκευῇ ἀνδρῶν ἱππέων ἐσταλμένας, πλήν γε δὴ ὅτι πελέκεις ἀντὶ δοράτων ἐφόρουν καὶ ἀντὶ ἀσπίδων πέλτας· οἱ δὲ καὶ τὸν μαστὸν λέγουσιν ὅτι μείονα εἶχον τὸν δεξιόν, ὃν δὴ καὶ ἔξω εἶχον ἐν ταῖς μάχαις. [3] ταύτας μὲν δὴ ἀπαλλάξαι τῆς στρατιᾶς Ἀλέξανδρον, μή τι νεωτερισθείη κατ᾽ αὐτὰς ἐς ὕβριν πρὸς τῶν Μακεδόνων ἢ βαρβάρων· κελεῦσαι δὲ ἀπαγγεῖλαι πρὸς τὴν βασίλισσαν σφῶν ὅτι αὐτὸς ἥξει πρὸς αὐτὴν παιδοποιησόμενος. ταῦτα δὲ οὔτε Ἀριστόβουλος οὔτε Πτολεμαῖος οὔτε τις ἄλλος ἀνέγραψεν ὅστις ἱκανὸς ὑπὲρ τῶν τηλικούτων τεκμηριῶσαι. [4] οὐδὲ δοκεῖ μοι ἐν τῷ τότε σώζεσθαι τὸ γένος τῶν Ἀμαζόνων, οὐδ᾽ ἔτι πρὸ Ἀλεξάνδρου, ἢ Ξενοφῶν ἂν ἐμνήσθη αὐτῶν, Φασιανῶν τε μνησθεὶς καὶ Κόλχων καὶ ὅσα ἄλλα ἀπὸ Τραπεζοῦντος ὁρμώμενοι ἢ πρὶν ἐς Τραπεζοῦντα κατελθεῖν οἱ Ἕλληνες ἐπῆλθον ἔθνη βαρβαρικά, ἵναπερ

[I] Laguna: ver App. XXIII 8 f.

defectos poco adecuados para quien era la madre de Alejandro, de suerte que se había divulgado un casual comentario acerca de las cosas que de su madre le comunicaban, según el cual decía Alejandro de su madre que le estaba cobrando muy alto precio por haberle tenido en su vientre nueve meses. Por su parte, Olimpíade decía [7] que Antípatro era un insolente que se apoyaba en la estima y adulación con que se le trataba, y que no se acordaba ya de quién le había posibilitado acceder a tan alto puesto, sino que ya sólo buscaba ser estimado como hombre principal sobre los demás macedonios y griegos. Parecía ganar cada vez mayor fuerza en Alejandro todo lo que tendía a desacreditar incluso calumniosamente a Antípatro, en la idea de que Antípatro representaba un peligro para la monarquía. Sin embargo, nunca hubo de parte de Alejandro gesto alguno ni evidente comentario que hiciera suponer a nadie que Antípatro había dejado de merecer su más alta estima *** [347] Hefestión.

Las amazonas.

13. Influyó este rumor en la reconciliación de Hefestión con Eumenes, aunque éste la aceptó de mejor grado que aquél.
Fue en este camino donde [348], según dicen, Alejandro vio la llanura en que pastaban las yeguas reales; la llanura se llamaba Nisea, y de ahí que las yeguas reciban el nombre de niseas, según Heródoto [349]. Hubo en ella antiguamente casi ciento cincuenta mil yeguas, aunque ahora Alejandro no había encontrado más de cincuenta mil, pues los ladrones habían robado la mayor parte de ellas. [2] Cuentan también que Atrópates, el sátrapa de Media, entregó a Alejandro cien mujeres de la estirpe, decían, de las amazonas, pertrechadas con el equipo de un soldado de caballería, sólo que llevaban hachas en vez de lanzas y peltas en vez de escudos. Dicen algunos que tienen su pecho derecho menos desarrollado, y que lo dejan al descubierto en el combate. [3] Alejandro las apartó del ejército, a fin de evitar alborotos e insolencias contra ellas por parte de los macedonios o bárbaros. Encargó, sin embargo, que le anunciaran a su reina su visita, pues tenía interés en tener algún hijo de ella. Debo decir, empero, que ni Aristobulo ni Tolomeo, ni ningún otro historiador digno de crédito ha dejado nada escrito de este tema [350].
[4] Por mi parte, yo creo que esta estirpe de mujeres amazonas ya no existía en tiempos de Alejandro; el propio Jenofonte, que vivió mucho antes que Alejandro, no hizo mención de ellas, mientras que sí mencionó, por ejemplo, a los fasianos, colcos y otros muchos pueblos bárbaros con quienes los griegos se toparon al salir de Trebisonda y antes de regresar

καὶ ταῖς Ἀμαζόσιν ἐντετυχήκεσαν <ἄν>, εἴπερ οὖν ἔτι ἦσαν Ἀμαζόνες. [5] μὴ γενέσθαι μὲν γὰρ παντελῶς τὸ γένος τούτων τῶν γυναικῶν οὐ πιστὸν δοκεῖ ἔμοιγε, πρὸς τοσούτων καὶ τοιούτων ὑμνηθέν. ὡς Ἡρακλέα τε ἐπ᾽ αὐτὰς λόγος κατέχει ὅτι ἐστάλη καὶ ζωστῆρά τινα Ἱππολύτης τῆς βασιλίσσης αὐτῶν ὅτι ἐς τὴν Ἑλλάδα ἐκόμισε, καὶ οἱ ξὺν Θησεῖ Ἀθηναῖοι ὅτι ἐπιούσας τὰς γυναῖκας ταύτας τὴν Εὐρώπην πρῶτοι μάχῃ νικήσαντες ἀνέστειλαν· καὶ γέγραπται ἡ Ἀθηναίων καὶ Ἀμαζόνων μάχη πρὸς Μίκωνος οὐ μεῖον ἤπερ ἡ Ἀθηναίων καὶ Περσῶν. [6] καὶ Ἡροδότῳ πολλάκις περὶ τῶν γυναικῶν τούτων πεποίηται, καὶ ὅσοι Ἀθηναίων τοὺς ἐν πολέμῳ τελευτήσαντας λόγῳ ἐκόσμησαν, καὶ τοῦ πρὸς Ἀμαζόνας ἔργου Ἀθηναίων ἐν τοῖς μάλιστα μνήμην ἐποιήσαντο. εἰ δὲ ἱππικὰς δή τινας γυναῖκας Ἀτροπάτης ἔδειξεν Ἀλεξάνδρῳ, βαρβάρους τινὰς ἄλλας γυναῖκας ἱππεύειν ἠσκημένας δοκῶ ὅτι ἔδειξεν ἐς τὸν λεγόμενον δὴ τῶν Ἀμαζόνων κόσμον ἐσταλμένας.

14. Ἐν Ἐκβατάνοις δὲ θυσίαν τε ἔθυσεν Ἀλέξανδρος, ὥσπερ αὐτῷ ἐπὶ ξυμφοραῖς ἀγαθαῖς νόμος, καὶ ἀγῶνα ἐπετέλει γυμνικόν τε καὶ μουσικόν, καὶ πότοι αὐτῷ ἐγίνοντο παρὰ τοῖς ἑταίροις. καὶ ἐν τούτῳ Ἡφαιστίων ἔκαμε τὸ σῶμα· ἑβδόμη τε ἡμέρα ἤδη ἦν αὐτῷ τῆς νόσου καὶ λέγουσι τὸ μὲν στάδιον πλῆρες εἶναι· παίδων γὰρ ἀγὼν ἦν ἐκείνῃ τῇ ἡμέρᾳ γυμνικός· ἐπεὶ δὲ ἐξηγγέλλετο Ἀλεξάνδρῳ ὅτι κακῶς ἔχοι Ἡφαιστίων, ὁ δὲ παρ᾽ αὐτὸν ἐλθὼν σπουδῇ οὐκέτι ζῶντα κατέλαβεν.

[2] Ἔνθα δὴ καὶ ἄλλοι ἄλλα ἀνέγραψαν ὑπὲρ τοῦ πένθους τοῦ Ἀλεξάνδρου· μέγα μὲν γενέσθαι αὐτῷ τὸ πένθος, πάντες τοῦτο ἀνέγραψαν, τὰ δὲ πραχθέντα ἐπ᾽ αὐτῷ ἄλλοι ἄλλα, ὡς ἕκαστος ἢ εὐνοίας πρὸς Ἡφαιστίωνα ἢ φθόνου εἶχεν ἢ καὶ πρὸς αὐτὸν Ἀλέξανδρον.

[3] ὧν οἱ τὰ ἀτάσθαλα ἀναγράψαντες οἱ μὲν ἐς κόσμον φέρει <ν> μοι δοκοῦσιν οἰηθῆναι Ἀλεξάνδρῳ ὅσα ὑπεραλγήσας ἔδρασεν ἢ εἶπεν ἐπὶ τῷ πάντων δὴ ἀνθρώπων φιλτάτῳ, οἱ δὲ ἐς αἰσχύνην μᾶλλόν τι ὡς οὐ πρέποντα οὔτ᾽ οὖν βασιλεῖ οὔτε Ἀλεξάνδρῳ, οἱ μέν, τὸ πολὺ μέρος τῆς ἡμέρας ἐκείνης ἐρριμμένον ἐπὶ τοῦ σώματος τοῦ ἑταίρου ὀδύρεσθαι οὐδ᾽ ἐθέλειν ἀπαλλαγῆναι, πρίν γε δὴ πρὸς βίαν ἀπηνέχθη πρὸς τῶν ἑταίρων· [4] οἱ δέ, τήν τε ἡμέραν ὅλην καὶ τὴν νύκτα ὅλην

a ella, región en la que se hubiera tenido que topar con las amazonas de haber existido aún. [5] Pues que nunca existió esta raza de mujeres, a mí por lo menos, no me parece creíble, habiendo sido mencionadas por tantos y tan importantes autores [351]. Así, por ejemplo, hay una tradición según la cual Heracles tuvo que llegarse hasta el país de las amazonas, y llevó a Grecia el ceñidor de Hipólita, su reina; otra tradición dice que los atenienses a las órdenes de Teseo fueron los primeros en derrotarlas en una batalla y rechazar el ataque que estas mujeres habían lanzado sobre Europa. El pintor Cimón [352] pintó en un cuadro el combate de los atenienses y las amazonas, al igual que hiciera con las luchas entre atenienses y persas. [6] También Heródoto menciona en diversos pasajes de su obra a estas mujeres, así como todos los atenienses que recibieron el encargo de pronunciar un discurso fúnebre [353] en honor de los muertos en combate, pues todos ellos hicieron mención de sus combates con las amazonas.

Mi idea, por tanto, es que si Atropates ofreció a Alejandro un contingente de mujeres a caballo, se trataría de mujeres de algún pueblo bárbaro, ejercitadas en la equitación y ataviadas según la antedicha usanza de las amazonas.

Muerte de Hefestión.

14 Celebró Alejandro en Ecbatana un sacrificio, según tenía por costumbre tras algún buen evento, y organizó un certamen gimnástico y musical, mientras él asistía con sus Compañeros a un festín.

Entretanto enfermó Hefestión, y ya se cumplía el séptimo día de su enfermedad. Estaba abarrotado entonces el estadio por celebrarse una carrera de muchachos, y Alejandro, que presenciaba los juegos, recibió la noticia de que Hefestión estaba grave. Acudió a visitarle al instante, aunque no pudo encontrarlo con vida.

[2] Llegados a este punto, los diversos historiadores nos relatan cada cual a su manera la manifestación del dolor que Alejandro sintió. Todos coinciden en afirmar que su dolor fue enorme; en cambio, las diferencias surgen a propósito de lo que Alejandro hizo, según que cada uno se deje llevar por la simpatía o por la envidia hacia la figura de Hefestión, o incluso hacia el propio Alejandro. [3] De estos historiadores, que han escrito grandes sandeces, hay algunos que a mi parecer lo hicieron porque así creían elogiar a Alejandro, a quien pintaban dando muestras de extremo dolor por la pérdida de quien había sido su amigo más querido de todos [354]; otros, en cambio, lo hicieron porque así creían censurarle su comportamiento, nada digno de un rey, y mucho menos de Alejandro. Por ejemplo, según unos, Alejandro permaneció la mayor parte de aquel día echado sobre el cuerpo de su amigo, llorando y sin querer apartarse de él, hasta que sus Compañeros consiguieron llevárselo de allí; [4] otros dicen, sin embargo, que estuvo todo el día y toda la noche

ἐρρῖφθαι ἐπὶ τῷ σώματι· οἱ δὲ καί, τὸν ἰατρὸν Γλαυκίαν ὅτι ἐκρέμασε, καὶ τοῦτο[ν] ὡς ἐπὶ φαρμάκῳ κακῶς δοθέντι, οἱ δέ, ὅτι οἴνου περιεῖδεν ἐμπλησθέντα θεωρῶν αὐτός· καὶ κείρασθαι Ἀλέξανδρον ἐπὶ τῷ νεκρῷ τὴν κόμην τά τε ἄλλα οὐκ ἀπεικότα τίθεμαι καὶ κατὰ ζῆλον τὸν Ἀχιλλέως, πρὸς ὅντινα ἐκ παιδὸς φιλοτιμία αὐτῷ ἦν· οἱ δὲ καί, τὸ ἅρμα ἐφ᾽ ὅτῳ τὸ σῶμα ἐφέρετο αὐτὸς ἔστιν ὅτε <ὅτι> ἡνιόχει, [5] τοῦτο οὐδαμῇ πιστὸν ἔμοιγε λέγοντες· ἄλλοι δέ, ὅτι καὶ τοῦ Ἀσκληπιοῦ τὸ ἕδος ἐν Ἐκβατάνοις κατασκάψαι ἐκέλευσε, βαρβαρικὸν τοῦτό γε καὶ οὐδαμῇ Ἀλεξάνδρῳ πρόσφορον, ἀλλὰ τῇ Ξέρξου μᾶλλόν τι ἀτασθαλίᾳ τῇ ἐς τὸ θεῖον καὶ ταῖς πέδαις ἃς λέγουσιν ἐς τὸν Ἑλλήσποντον καθεῖναι Ξέρξην, τιμωρούμενον δῆθεν τὸν Ἑλλήσποντον. [6] ἀλλὰ καὶ ἐκεῖνο οὐ πάντῃ ἔξω τοῦ εἰκότος ἀναγεγράφθαι μοι δοκεῖ, ὡς ἐπὶ Βαβυλῶνος ἤλαυνεν Ἀλέξανδρος, ἐντυχεῖν αὐτῷ κατὰ τὴν ὁδὸν πολλὰς πρεσβείας ἀπὸ τῆς Ἑλλάδος, εἶναι δὲ δὴ ἐν τούτοις Ἐπιδαυρίων πρέσβεις· καὶ τούτους ὧν τε ἐδέοντο ἐξ Ἀλεξάνδρου τυχεῖν καὶ ἀνάθημα δοῦναι αὐτοῖς Ἀλέξανδρον κομίζειν τῷ Ἀσκληπιῷ, ἐπειπόντα ὅτι· *καίπερ οὐκ ἐπιεικῶς κέχρηταί μοι ὁ Ἀσκληπιός, οὐ σώσας μοι τὸν ἑταῖρον ὅντινα ἴσον τῇ ἐμαυτοῦ κεφαλῇ ἦγον.* ἐναγίζειν τε ὅτι ἀεὶ ἥρωϊ ἐκέλευεν Ἡφαιστίωνι, τοῦτο μὲν πρὸς τῶν πλείστων ἀναγέγραπται· [7] οἱ δὲ λέγουσιν ὅτι καὶ εἰς Ἄμμωνος ἔπεμψεν ἐρησομένους τὸν θεὸν εἰ καὶ ὡς θεῷ θύειν συγχωρεῖ Ἡφαιστίωνι, τὸν δὲ οὐ ξυγχωρῆσαι. [8] Ἐκεῖνα δὲ πρὸς πάντων ξυμφωνούμενα, ἐς τρίτην ἀπὸ τοῦ θανάτου τοῦ Ἡφαιστίωνος ἡμέραν μήτε σίτου γεύσασθαι Ἀλέξανδρον μήτε τινὰ θεραπείαν ἄλλην θεραπεῦσαι τὸ σῶμα, ἀλλὰ κεῖσθαι γὰρ ἢ ὀδυρόμενον ἢ πενθικῶς σιγῶντα· καὶ πυρὰν κελεῦσαι αὐτῷ ἑτοιμάζεσθαι ἐν Βαβυλῶνι ἀπὸ ταλάντων μυρίων, οἱ δὲ καὶ πλειόνων ἀνέγραψαν· [9] καὶ ὅτι πένθος ποιεῖσθαι περιηγγέλη κατὰ πᾶσαν τὴν χώραν τὴν βάρβαρον· καὶ ὅτι πολλοὶ τῶν ἑταίρων τῶν Ἀλεξάνδρου ἐς θεραπείαν τὴν ἐκείνου σφᾶς τε αὐτοὺς καὶ τὰ ὅπλα Ἡφαιστίωνι ἀνέθεσαν ἀποθανόντι· πρῶτον δὲ Εὐμενῆ ἄρξαι τοῦ σοφίσματος, ὅντινα ὀλίγῳ πρόσθεν ἔφαμεν ὅτι διηνέχθη πρὸς Ἡφαιστίωνα· καὶ τοῦτο δὲ δρᾶσαι, τῷ Ἀλεξάνδρῳ ὡς μὴ ἐφήδεσθαι δοκοίη τελευτήσαντι Ἡφαιστίωνι. [10] οὔκουν οὐδὲ ἄλλον τινὰ ἔταξεν ἀντὶ Ἡφαιστίωνος χιλίαρχον ἐπὶ τῇ ἵππῳ τῇ ἑταιρικῇ Ἀλέξανδρος,

echado sobre el cuerpo de Hefestión. Afirman otros que colgó al médico Glaucias por haberse equivocado en la administración de un fármaco; según otros, porque había dejado a Hefestión que siguiera bebiendo, aun viéndole que ya estaba totalmente borracho.

El caso es que Alejandro se cortó el cabello sobre el cadáver de su amigo, cosa que por lo demás y a mi parecer no es reprobable, y que entiendo que hizo por emular a Aquiles, por quien ya desde su niñez sentía gran admiración. [5] Aún hay quienes, aunque a mi parecer carecen de todo crédito, dicen que Alejandro condujo una parte del trayecto el carro en que se transportó el cadáver de Hefestión. Otros afirman que Alejandro mandó demoler hasta los cimientos el templo de Asclepio en Ecbatana, acto propio de un bárbaro, y en absoluto en consonancia con Alejandro, sino, más bien, con la insolencia de Jerjes para con la divinidad y con las cadenas que tendió, según dicen, al Helesponto tratando de castigarlo así [355].

[6] Mucho más verosímil me parece el relato según el cual Alejandro se encontró, cuando iba camino de Babilonia, con varias legaciones de griegos, entre los cuales venían algunos embajadores de Epidauro [356]. Alejandro les dio todo lo que ellos le pidieron, además del encargo de que llevaran a Asclepio una ofrenda y el siguiente mensaje:

«AUNQUE EL COMPORTAMIENTO DE ASCLEPIO NO ME HA SIDO NADA BENÉVOLO, AL NO SALVAR A MI AMIGO, A QUIEN MÁS QUE A MÍ MISMO APRECIABA.»

Ordenó Alejandro hacer sacrificios en honor de Hefestión, como si se tratara de un héroe; esto es lo que dicen al menos la mayoría de sus historiadores, [7] aunque algunos otros afirman que Alejandro envió una legación a que preguntara al dios Amón si era procedente ofrecer sacrificios a Hefestión como si de un dios se tratara; la respuesta del oráculo fue que no procedía [357]. [8] En lo que todos concuerdan es en que Alejandro estuvo tres días tras la muerte de Hefestión sin probar alimento alguno, ni preocuparse del cuidado de su cuerpo, sino que permaneció acostado, ya en silencio lastimero, ya en medio de grandes gemidos. Ordenó que se le levantara en Babilonia una pira en su honor por un importe de diez mil talentos, o aún más cara según creen algunos [358].

[9] Hizo pregonar Alejandro luego por toda la geografía bárbara que se declarase luto oficial. Muchos de los Compañeros de Alejandro se ofrecieron a sí mismos y sus propias armas como señal de veneración al recién muerto Hefestión. Fue Eumenes el primero en cumplir con esta idea, a pesar de que hacía muy poco que había tenido algún enfrentamiento con Hefestión. Fue tal su sinceridad de ahora que Alejandro quedó convencido de que no se alegraba por la muerte de Hefestión. [10] Con todo, Alejandro nunca nombró a ningún otro quiliarco en sustitución de Hefestión al mando de la caballería de los Compañeros,

ὡς μὴ ἀπόλοιτο τὸ ὄνομα τοῦ Ἡφαιστίωνος ἐκ τῆς τάξεως, ἀλλὰ Ἡφαιστίωνός τε ἡ χιλιαρχία ἐκαλεῖτο καὶ τὸ σημεῖον αὐτῆς ἡγεῖτο <τὸ> ἐξ Ἡφαιστίωνος πεποιημένον. ἀγῶνά τε ἐπενόει ποιῆσαι γυμνικόν τε καὶ μουσικὸν πλήθει τε τῶν ἀγωνιζομένων καὶ τῇ εἰς αὐτὸν χορηγίᾳ πολύ τι τῶν ἄλλων τῶν πρόσθεν ἀριδηλότερον· τρισχιλίους γὰρ ἀγωνιστὰς τοὺς σύμπαντας παρεσκεύασε. καὶ οὗτοι ὀλίγον ὕστερον ἐπ᾽ Ἀλεξάνδρου τῷ τάφῳ λέγουσιν ὅτι ἠγωνίσαντο.

15. Χρόνος τε ἦν συχνὸς τῷ πένθει καὶ αὐτός τε αὑτὸν ἤδη μετεκάλει ἀπ᾽ αὐτοῦ καὶ οἱ ἑταῖροι μᾶλλόν τι ἐν τῷ τοιῷδε ἤνυτον. ἔνθα δὴ ἐξέλασιν ποιεῖται ἐπὶ Κοσσαίους, ἔθνος πολεμικὸν ὅμορον τῷ Οὐξίων. [2] εἰσὶ δὲ ὄρειοι οἱ Κοσσαῖοι καὶ χωρία ὀχυρὰ κατὰ κώμας νέμονται, ὁπότε προσάγοι δύναμις ἐς τὰ ἄκρα τῶν ὀρῶν ἀποχωροῦντες ἀθρόοι ἢ ὅπως ἂν προχωρῇ ἑκάστοις οὕτω διαφεύγουσιν, ἐς ἀπορίαν βάλλοντες τοὺς ξὺν δυνάμει σφίσιν ἐπιχειροῦντας· ἀπελθόντων δὲ αὖθις εἰς τὸ λῃστεύειν τρεπόμενοι ἀπὸ τούτου τὸν βίον ποιοῦνται.

[3] Ἀλέξανδρος δὲ ἐξεῖλεν αὐτῶν τὸ ἔθνος καίπερ χειμῶνος στρατεύσας. ἀλλ᾽ οὔτε <ὁ> χειμὼν ἐμποδὼν ἐγένετο αὐτῷ οὔτε αἱ δυσχωρίαι, οὔτε αὐτῷ οὔτε Πτολεμαίῳ τῷ Λάγου, ὃς μέρος τῆς στρατιᾶς ἐπ᾽ αὐτοὺς ἦγεν. οὕτως οὐδὲν ἄπορον Ἀλεξάνδρῳ τῶν πολεμικῶν ἦν ἐς ὅ τι ὁρμήσειε. [4] Κατιόντι δὲ αὐτῷ ἐς Βαβυλῶνα Λιβύων τε πρεσβεῖαι ἐνετύγχανον ἐπαινούντων τε καὶ στεφανούντων ἐπὶ τῇ βασιλείᾳ τῆς Ἀσίας, καὶ ἐξ Ἰταλίας Βρέττιοί τε καὶ Λευκανοὶ καὶ Τυρρηνοὶ ἐπὶ τοῖς αὐτοῖς ἐπρέσβευον. καὶ Καρχηδονίους τότε πρεσβεῦσαι λέγεται καὶ ἀπὸ Αἰθιόπων πρέσβεις ἐλθεῖν καὶ Σκυθῶν τῶν ἐκ τῆς Εὐρώπης, καὶ Κελτοὺς καὶ Ἴβηρας, ὑπὲρ φιλίας δεησομένους· ὧν τά τε ὀνόματα καὶ τὰς σκευὰς τότε πρῶτον ὀφθῆναι πρὸς Ἑλλήνων τε καὶ Μακεδόνων.

[5] τοὺς δὲ καὶ ὑπὲρ τῶν ἐς ἀλλήλους διαφορῶν λέγουσιν ὅτι Ἀλεξάνδρῳ διακρῖναι ἐπέτρεπον· καὶ τότε μάλιστα αὐτόν τε αὑτῷ Ἀλέξανδρον καὶ τοῖς ἀμφ᾽ αὐτὸν φανῆναι γῆς τε ἁπάσης καὶ θαλάσσης κύριον. Ἄριστος δὲ καὶ Ἀσκληπιάδης τῶν τὰ Ἀλεξάνδρου ἀναγραψάντων καὶ Ῥωμαίους λέγουσιν ὅτι ἐπρέσβευσαν· καὶ ἐντυχόντα ταῖς πρεσβείαις Ἀλέξανδρον ὑπὲρ Ῥωμαίων τι τῆς ἐς τὸ ἔπειτα ἐσομένης δυνάμεως μαντεύσασθαι, τόν τε κόσμον τῶν ἀνδρῶν ἰδόντα καὶ τὸ φιλόπονόν τε καὶ ἐλευθέριον καὶ περὶ τοῦ πολιτεύματος ἅμα διαπυνθανόμενον.

a fin de que el nombre de Hefestión se conservara siempre en su batallón; la quiliarquía se llamó «de Hefestión» y el estandarte que la precedía en la marcha era el diseñado por Hefestión.
Pensaba Alejandro celebrar un certamen gimnástico y musical, que por el número de participantes y los gastos en él realizados sería mucho más brillante que todos los hasta entonces celebrados. En efecto, fueron tres mil el total de competidores, los mismos precisamente que poco después participarían, según dicen, en el propio funeral de Alejandro.

Visitas de diversas embajadas.

15 Al cabo de cierto tiempo remitió el dolor de Alejandro, recuperándose progresivamente de él hasta permitir que sus Compañeros le visitaran. Organizó entonces una expedición contra los coseos, que es un pueblo muy belicoso, vecino de los uxios. [2] Son estos coseos un pueblo de la montaña que habitan aldeas asentadas en lugares que son verdaderas fortalezas. Cuando alguna fuerza enemiga se acerca a la cima de sus montes, todos juntos o por grupos según convenga, abandonan sus emplazamientos y se dan a la fuga, evitando a toda costa que las fuerzas invasoras entre en combate directo con ellos, y una vez que los invasores se han retirado, se dedican de nuevo al bandidaje, que es su régimen de vida.

[3] Alejandro aniquiló a este pueblo, a pesar de que su expedición tuvo lugar en pleno invierno [359]. Como es sabido, ni el invierno ni los lugares escabrosos habían sido nunca para él obstáculo, como tampoco lo habían sido para Tolomeo, el hijo de Lago, que en aquella ocasión marchó al frente de parte del ejército contra los coseos. En efecto, Alejandro jamás dejó empresa guerrera inconclusa de cuantas emprendió. [4] A su regreso a Babilonia, le salieron al encuentro unos embajadores de los libios, que le dieron la enhorabuena y le ofrecieron coronas como a rey de toda el Asia; igualmente se habían desplazado legaciones de los pueblos de Italia; a saber: brucios, lucanos y tirrenos, con este mismo motivo. Se dice incluso que acudieron algunos embajadores cartagineses, etíopes y de los escitas europeos, a más de celtas e iberos, solicitando su amistad, siendo ésta la primera vez en que los griegos y macedonios tuvieron conocimiento de la existencia y armamento de estos pueblos [360]. [5] Se dice incluso que estos pueblos acudieron al arbitraje de Alejandro para dirimir sus recíprocas querellas, de suerte que Alejandro aparecía en su estima propia y en la de sus seguidores como señor de toda la tierra y el mar. Según el testimonio de dos historiadores de Alejandro, Aristón y Asclepíades, hasta los romanos enviaron una legación ante Alejandro [361]. Al entrevistarse con él los romanos, aventuró Alejandro que su poderío sería inmenso en el futuro, vista la disciplina de sus hombres, su laboriosidad y libertad, así como el sistema político por el que, según le habían informado, se regían.

[6] καὶ τοῦτο οὔτε ὡς ἀτρεκὲς οὔτε ὡς ἄπιστον πάντῃ ἀνέγραψα· πλήν γε δὴ οὔτε τις Ῥωμαίων ὑπὲρ τῆς πρεσβείας ταύτης ὡς παρὰ Ἀλέξανδρον σταλείσης μνήμην τινὰ ἐποιήσατο, οὔτε τῶν τὰ Ἀλεξάνδρου γραψάντων, οἷστισι μᾶλλον ἐγὼ ξυμφέρομαι, Πτολεμαῖος ὁ Λάγου καὶ Ἀριστόβουλος· οὐδὲ τῷ Ῥωμαίων πολιτεύματι ἐπεοικὸς ἦν ἐλευθέρῳ δὴ τότε ἐς τὰ μάλιστα ὄντι, παρὰ βασιλέα ἀλλόφυλον ἄλλως τε καὶ ἐς τοσόνδε ἀπὸ τῆς οἰκείας πρεσβεῦσαι, οὔτε φόβου ἐξαναγκάζοντος οὔτε κατ᾽ ἐλπίδα ὠφελείας, μίσει τε, εἴπερ τινὰς ἄλλους, τοῦ τυραννικοῦ γένους τε καὶ ὀνόματος κατεχομένους.

16. Ἐκ τούτου δὴ Ἡρακλείδην τὸν Ἀργαίου ἐκπέμπει ἐς Ὑρκανίαν ναυπηγοὺς ἅμα οἷ ἄγοντα, κελεύσας ὕλην τεμόντα ἐκ τῶν ὀρῶν τῶν Ὑρκανίων ναυπηγεῖσθαι ναῦς μακρὰς ἀφράκτους τε καὶ πεφραγμένας ἐς τὸν κόσμον τὸν Ἑλληνικόν. [2] πόθος γὰρ εἶχεν αὐτὸν καὶ ταύτην ἐκμαθεῖν τὴν θάλασσαν τὴν Κασπίαν τε καὶ Ὑρκανίαν καλουμένην ποίᾳ τινὶ ξυμβάλλει θαλάσσῃ, πότερα τῇ τοῦ πόντου τοῦ Εὐξείνου ἢ ἀπὸ τῆς ἑῴας τῆς κατ᾽ Ἰνδοὺς ἐκπεριερχομένη ἡ μεγάλη θάλασσα ἀνακεῖται εἰς κόλπον τὸν Ὑρκάνιον, καθάπερ οὖν καὶ τὸν Περσικὸν ἐξεῦρε, τὴν Ἐρυθρὰν δὴ καλουμένην θάλασσαν, κόλπον οὖσαν τῆς μεγάλης θαλάσσης. [3] οὐ γάρ πω ἐξεύρηντο αἱ ἀρχαὶ τῆς Κασπίας θαλάσσης, καίτοι ἐθνῶν τε αὐτὴν <περι>οικούντων οὐκ ὀλίγων καὶ ποταμῶν πλοΐμων ἐμβαλλόντων ἐς αὐτήν· ἐκ Βάκτρων μὲν Ὦξος, μέγιστος τῶν Ἀσιανῶν ποταμῶν, πλήν γε δὴ τῶν Ἰνδῶν, ἐξίησιν ἐς ταύτην τὴν θάλασσαν, διὰ Σκυθῶν δὲ Ἰαξάρτης[I]· καὶ τὸν Ἀράξην δὲ τὸν ἐξ Ἀρμενίων ῥέοντα ἐς ταύτην ἐσβάλλειν ὁ πλείων λόγος κατέχει. [4] μέγιστοι μὲν οὗτοι· πολλοὶ δὲ δὴ καὶ ἄλλοι ἔς τε τούτους ἐμβάλλοντες καὶ αὐτοὶ ἐπὶ σφῶν ἐς τὴν θάλασσαν ταύτην ἐξιᾶσιν, οἱ μὲν καὶ γινωσκόμενοι πρὸς τῶν ἀμφ᾽ Ἀλέξανδρον ἐπελθόντων τὰ ἔθνη ταῦτα, οἱ δὲ κατὰ τὰ ἐπέκεινα τοῦ κόλπου, ὡς εἰκός, κατὰ τοὺς Σκύθας τοὺς Νομάδας, ὃ δὴ ἄγνωστον πάντῃ ἐστίν. [5] Ἀλέξανδρος δὲ ὡς τὸν Τίγρητα ποταμὸν ξὺν τῇ στρατιᾷ διέβη ἐλαύνων ἐπὶ Βαβυλῶνος, ἐνταῦθα ἐντυγχάνουσιν αὐτῷ Χαλδαίων οἱ λόγιοι, καὶ ἀπαγαγόντες

[I] Blancard: Ὀξυαρτής A. Cf. App. XII.

[6] He recogido esto en mi historia, sin considerarlo totalmente cierto ni por completo increíble. Lo que sí es cierto es que ningún historiador romano hizo mención alguna de que esta embajada hubiera sido enviada a Alejandro; tampoco lo hicieron los historiadores de Alejandro cuyo testimonio sigo yo, por lo general, Tolomeo, el hijo de Lago, y Aristobulo. Tampoco cuadraba mucho al régimen de Roma [362] (que era por entonces absolutamente libre) enviar una legación ante un rey extranjero, de un país además tan lejano del suyo, sin verse obligados a ello por miedo ni con esperanzas de conseguir de ello alguna utilidad, y tratándose, más que ningún otro, de un pueblo de pocas simpatías al régimen monárquico, e incluso al nombre de rey.

Los oráculos caldeos.

16 Envió Alejandro ahora a Heraclides, el hijo de Argeo, hacia Hircania, acompañado de algunos constructores de barcos, con el encargo de cortar madera en los montes de Hircania y construir largas naves de guerra, descubiertas y cubiertas, al estilo griego.

[2] En efecto, sentía Alejandro vivo interés [363] por conocer esta parte del mar Caspio (llamado también Hircanio) y ver con qué otro mar se comunicaba (si con el Euxino [364], o si es tan sólo un golfo del Gran Mar de la India oriental), al igual que ya anteriormente había podido comprobar que el golfo Pérsico, al que algunos llaman mar Rojo, es sólo un golfo del Gran Mar [365].

[3] Hasta ahora nadie sabía dónde estaban las fuentes del mar Caspio, y eso, a pesar de que son muchos los pueblos que viven a su alrededor y muchos los ríos navegables que en él desembocan. Por ejemplo, de Bactria procede el río Oxo (que es el mayor río de Asia, si exceptuamos los de la India), que viene a desembocar a este mar Caspio, así como el Jaxartes, que atraviesa el país escita. Según la versión más difundida, el Araxes también desemboca en él, tras haber cruzado Armenia [366].

[4] Esto en cuanto a los ríos más importantes, aunque también hay muchos otros que son afluentes de aquéllos, y terminan, finalmente, por llevar sus aguas al Caspio. De ellos, unos fueron descubiertos [367] por los hombres que acompañaron a Alejandro contra los pueblos de aquella región; otros, en cambio, están muy al norte del golfo (según es conjeturable) donde viven los escitas nómadas, territorio por completo ignoto.

[5] Alejandro cruzó el río Tigris con su ejército en dirección a Babilonia, donde se topó con unos profetas caldeos [368] que le apartaron de sus

ἀπὸ τῶν ἑταίρων ἐδέοντο ἐπισχεῖν τὴν ἐπὶ Βαβυλῶνος ἔλασιν. λόγιον γὰρ γεγονέναι σφίσιν ἐκ τοῦ θεοῦ τοῦ Βήλου μὴ πρὸς ἀγαθοῦ οἱ εἶναι τὴν πάροδον τὴν ἐς Βαβυλῶνα ἐν τῷ τότε. τὸν δὲ ἀποκρίνασθαι αὐτοῖς λόγος τοῦ Εὐριπίδου τοῦ ποιητοῦ ἔπος· [6] ἔχει δὲ τὸ ἔπος Εὐριπίδῃ ὧδε· *Μάντις δ᾽ ἄριστος ὅστις εἰκάζει καλῶς* [I] .

σὺ δέ, ὦ βασιλεῦ, ἔφασαν οἱ Χαλδαῖοι, μὴ πρὸς δυσμὰς ἀφορῶν αὐτὸς μηδὲ τὴν στρατιὰν ταύτῃ ἐπέχουσαν ἄγων παρελθεῖν, ἀλλὰ ἐκπεριελθὼν πρὸς ἕω μᾶλλον. [7] τῷ δὲ οὐδὲ τοῦτο εὐμαρὲς διὰ δυσχωρίαν ξυνέβη· ἀλλὰ ἦγε γὰρ αὐτὸν ταύτῃ τὸ δαιμόνιον ᾗ παρελθόντα ἐχρῆν ἤδη τελευτῆσαι. καί που τυχὸν καὶ ἄμεινον αὐτῷ ἦν ἐν ἀκμῇ τῆς τε ἄλλης δόξης καὶ τοῦ πόθου τοῦ παρ᾽ ἀνθρώπων ἀπηλλάχθαι, πρίν τινα ξυμβῆναι αὐτῷ ξυμφορὰν ἀνθρωπίνην, ἧς ἕνεκα καὶ Σόλωνα Κροίσῳ παραινέσαι εἰκὸς τέλος ὁρᾶν μακροῦ βίου μηδὲ πρόσθεν τινὰ ἀνθρώπων ἀποφαίνειν εὐδαίμονα. [8] ἐπεὶ καὶ αὐτῷ Ἀλεξάνδρῳ ἡ Ἡφαιστίωνος τελευτὴ οὐ σμικρὰ ξυμφορὰ γεγένητο, ἧς καὶ αὐτὸς Ἀλέξανδρος προαπελθεῖν ἂν δοκεῖ μοι ἐθελῆσαι μᾶλλον ἢ ζῶν πειραθῆναι, οὐ μεῖον ἢ καὶ Ἀχιλλέα δοκῶ ἂν ἑλέσθαι προαποθανεῖν Πατρόκλου μᾶλλον ἢ τοῦ θανάτου αὐτῷ τιμωρὸν γενέσθαι.

17. Ἦν δέ τι καὶ ὕποπτον αὐτῷ ἐς τοὺς Χαλδαίους, ὡς οὐ κατὰ μαντείαν τι μᾶλλον ἢ ἐς ὠφέλειαν τὴν αὑτῶν φέροι αὐτοῖς ἡ κώλυσις τῆς Ἀλεξάνδρου ἐς Βαβυλῶνα ἐν τῷ τότε ἐλάσεως. ὁ γὰρ τοῦ Βήλου νεὼς ἐν μέσῃ τῇ πόλει ἦν τῶν Βαβυλωνίων, μεγέθει τε μέγιστος καὶ ἐκ πλίνθου ὀπτῆς ἐν ἀσφάλτῳ ἡρμοσμένης. [2] τοῦτον τὸν νεών, ὥσπερ καὶ τὰ ἄλλα ἱερὰ τὰ Βαβυλωνίων, Ξέρξης κατέσκαψεν, ὅτε ἐκ τῆς Ἑλλάδος ὀπίσω ἀπενόστησεν· Ἀλέξανδρος δὲ ἐν νῷ εἶχεν ἀνοικοδομεῖν οἱ μὲν λέγουσιν ὅτι ἐπὶ τοῖς θεμελίοις τοῖς πρόσθεν, καὶ τούτου ἕνεκα τὸν χοῦν ἐκφέρειν ἐκέλευε τοὺς Βαβυλωνίους, οἱ δέ, ὅτι καὶ μείζονα ἔτι τοῦ πάλαι ὄντος. [3] ἐπεὶ δὲ ἀποστάντος αὐτοῦ μαλθακῶς ἀνθήψαντο τοῦ ἔργου οἷς ταῦτα ἐπετέτραπτο, ὁ δὲ τῇ στρατιᾷ πάσῃ ἐπενόει τὸ ἔργον ἐργάσασθαι. εἶναι δὲ τῷ θεῷ τῷ Βήλῳ πολλὴν μὲν τὴν χώραν ἀνειμένην ἐκ τῶν Ἀσσυρίων βασιλέων, πολὺν δὲ χρυσόν. [4] καὶ ἀπὸ

[I] Eurip. fr. 963 N

Compañeros y le pidieron que detuviera su marcha hacia Babilonia, pues conocían un oráculo del dios Belo según el cual su llegada a Babilonia no le auguraba nada bueno en aquella ocasión. Alejandro les contestó con un verso de Eurípides [369] que decía:

[6] *El mejor adivino es el que predice lo mejor.*

«Tú, Señor —le dijeron los caldeos—, no mires al Occidente, ni conduzcas tu ejército en esa dirección, sino date la vuelta hacia el Este.»

[7] Mas no le resultó posible a Alejandro hacer lo que los caldeos le dijeron, por ser el terreno muy dificultoso; y es que el destino le conducía ya por donde debía ir al encuentro de la muerte.

Tal vez resultó la mejor suerte para él morir en pleno apogeo de su fama y con la estima general de todos sus hombres, antes de que sobre él cayera alguna desgracia humana; fue por esta misma razón por la que Solón aconsejó a Creso que lo lógico era esperar al final de la vida para poder proclamar feliz a un hombre [370].

[8] La muerte de Hefestión supuso para Alejandro tan gran pérdida, que yo creo que él habría preferido morir antes que su amigo, mejor que tener que vivir este trance; igual que ocurriera a Aquiles, según creo, que hubiera preferido morir antes que Pátroclo, y no tener que vengar luego su muerte.

Alejandro sospecha de la honestidad de los caldeos.

17 Alejandro presintió ciertas sospechas de los caldeos, en el sentido de que el intento de impedirle su avance en aquella expedición hacia Babilonia se debía no tanto a razones de mántica, como a algunas ventajas que para ellos se pudieran derivar. En efecto, el templo de Belo estaba en el centro de la ciudad de Babilonia, de dimensiones enormes [371], estaba construido [2] de ladrillos cocidos amasados con asfalto. Este templo, al igual que los demás de Babilonia, había sido arrasado hasta los cimientos por Jerjes a su regreso, cuando se retiraba de Grecia [372]. Por contra, Alejandro había pensado reconstruirlo, según dicen unos, sobre su primitivo asiento, y por ello había ordenado a los babilonios que retiraran los escombros; según otros, el nuevo templo iba a ser aún mayor que el antiguo.

[3] Sin embargo, al marchar Alejandro de Babilonia en su expedición hacia la India, los encargados de la construcción del nuevo templo comenzaron tan sólo las obras, y aun ello lenta y perezosamente, por lo que Alejandro, ahora de regreso, se mostró decidido a terminar las obras con todos sus hombres.

El territorio consagrado por los reyes asirios al dios Belo era muy extenso, así como abundantes sus ofrendas en oro, [4] y de ellos se

τούτου πάλαι μὲν τὸν νεὼν ἐπισκευάζεσθαι καὶ τὰς θυσίας τῷ θεῷ θύεσθαι, τότε δὲ τοὺς Χαλδαίους τὰ τοῦ θεοῦ νέμεσθαι, οὐκ ὄντος ἐς ὅ τι ἀναλωθήσεται τὰ περιγιγνόμενα. τούτων δὴ εἵνεκα ὕποπτοι Ἀλεξάνδρῳ ἦσαν οὐκ ἐθέλειν παρελθεῖν εἴσω Βαβυλῶνος Ἀλέξανδρον, ὡς μὴ δι᾽ ὀλίγου τὸν νεὼν ἐπιτελεσθέντα ἀφελέσθαι αὐτοὺς τὰς ἐκ τῶν χρημάτων ὠφελείας. [5] ὅμως δὲ τά γε τῆς ἐπιστροφῆς τῆς κατὰ τὴν εἴσοδον τὴν ἐς τὴν πόλιν ἐθελῆσαι αὐτοῖς πεισθῆναι λέγει Ἀριστόβουλος, καὶ τῇ πρώτῃ μὲν παρὰ τὸν ποταμὸν τὸν Εὐφράτην καταστρατοπεδεῦσαι, ἐς δὲ τὴν ὑστεραίαν ἐν δεξιᾷ ἔχοντα τὸν ποταμὸν παρ᾽ αὐτὸν πορεύεσθαι, θέλοντα ὑπερβάλλειν τῆς πόλεως τὸ μέρος τὸ ἐς δυσμὰς τετραμμένον, ὡς ταύτῃ ἐπιστρέψαντα πρὸς ἕω ἄγειν· [6] ἀλλὰ οὐ γὰρ δυνηθῆναι ὑπὸ δυσχωρίας οὕτως ἐλάσαι ξὺν τῇ στρατιᾷ, ὅτι τὰ ἀπὸ δυσμῶν τῆς πόλεως εἰσιόντι, εἰ ταύτῃ πρὸς ἕω ἐπέστρεφεν, ἑλώδη τε καὶ τεναγώδη ἦν. καὶ οὕτω καὶ ἑκόντα καὶ ἄκοντα ἀπειθῆσαι τῷ θεῷ.

18. Ἐπεὶ καὶ τοιόνδε τινὰ λόγον Ἀριστόβουλος ἀναγέγραφεν, Ἀπολλόδωρον τὸν Ἀμφιπολίτην τῶν ἑταίρων τῶν Ἀλεξάνδρου, στρατηγὸν τῆς στρατιᾶς ἣν παρὰ Μαζαίῳ τῷ Βαβυλῶνος σατράπῃ ἀπέλιπεν Ἀλέξανδρος, ἐπειδὴ συνέμιξεν ἐπανιόντι αὐτῷ ἐξ Ἰνδῶν, ὁρῶντα πικρῶς τιμωρούμενον τοὺς σατράπας ὅσοι ἐπ᾽ ἄλλῃ καὶ ἄλλῃ χώρᾳ τεταγμένοι ἦσαν, ἐπιστεῖλαι Πειθαγόρᾳ τῷ ἀδελφῷ, μάντιν γὰρ εἶναι τὸν Πειθαγόραν τῆς ἀπὸ σπλάγχνων μαντείας, μαντεύσασθαι καὶ ὑπὲρ αὐτοῦ τῆς σωτηρίας. [2] ἀντεπιστεῖλαι δὲ αὐτῷ Πειθαγόραν πυνθανόμενον τίνα μάλιστα φοβούμενος χρήσασθαι ἐθέλοι τῇ μαντείᾳ. τὸν δὲ γράψαι αὖθις ὅτι τόν τε βασιλέα αὐτὸν καὶ Ἡφαιστίωνα. θύεσθαι δὴ τὸν Πειθαγόραν πρῶτα μὲν ἐπὶ τῷ Ἡφαιστίωνι· ὡς δὲ ἐπὶ τοῦ ἥπατος τοῦ ἱερείου ὁ λοβὸς ἀφανὴς ἦν, οὕτω δὴ ἐγγράψαντα καὶ κατασημηνάμενον τὸ γραμμάτιον πέμψαι παρὰ τὸν Ἀπολλόδωρον ἐκ Βαβυλῶνος εἰς Ἐκβάτανα, δηλοῦντα μηδέν τι δεδιέναι Ἡφαιστίωνα· ἔσεσθαι γὰρ αὐτοῖς ὀλίγου χρόνου ἐκποδών.

[3] καὶ ταύτην τὴν ἐπιστολὴν λέγει Ἀριστόβουλος κομίσασθαι Ἀπολλόδωρον μιᾷ πρόσθεν ἡμέρᾳ ἢ τελευτῆσαι Ἡφαιστίωνα. αὖθις δὲ θύεσθαι τὸν Πειθαγόραν ἐπὶ τῷ Ἀλεξάνδρῳ <καὶ> γενέσθαι καὶ ἐπ᾽ Ἀλεξάνδρῳ ἄλοβον τὸ ἧπαρ τοῦ ἱερείου. καὶ Πειθαγόραν τὰ αὐτὰ καὶ

mantenía desde antiguo el templo y se atendían los sacrificios a la divinidad. Por aquellas fechas, sin embargo, eran los caldeos los administradores de los bienes del templo, al no haber necesidad de emplear en nada los excedentes de los ingresos. Justo por esto sospechaba Alejandro que los caldeos le querían disuadir de entrar en Babilonia, ya que si las obras del templo se concluían en breve espacio de tiempo se quedarían ellos sin los beneficios económicos de que ahora disfrutaban.

[5] Según Aristobulo, Alejandro tuvo intención de obedecer el requerimiento de los caldeos y apartarse del camino que conduce a la ciudad. Decidió por ello acampar el primer día junto al río Eufrates y marchar al día siguiente por su orilla izquierda, sobrepasar la ciudad por el lado de poniente, para luego dar la vuelta y continuar la marcha hacia el Este. [6] Sin embargo, no pudo efectuar así su avance con su ejército a causa de las dificultades que el terreno planteaba; en efecto, si uno viene de la parte oeste de la ciudad en dirección Este, se encuentra con un terreno pantanoso y de marismas, de modo que, en parte involuntariamente, en parte por propia decisión, desatendió el aviso divino.

***Profecías de Pitágoras y Cálano*.**

18 Por otra parte, Aristobulo recoge en su historia la siguiente anécdota. Apolodoro, natural de Anfípolis, uno de los Compañeros de Alejandro, y general del ejército que Alejandro había dejado con Maceo, el sátrapa de Babilonia, se unió a las tropas de Alejandro cuando éste regresaba de la India. Estando con él, observó que Alejandro castigaba muy rigurosamente a los sátrapas de las diversas provincias, y por ello se decidió a escribir una carta a su hermano Pitágoras, experto en adivinar el futuro mediante la observación de las vísceras de las aves, a fin de que vaticinara acerca de su propia seguridad.

[2] Por su parte, Pitágoras le escribió inquiriendo por miedo a quién quería que le vaticinara; a ello le contestó su hermano diciendo que temía a Alejandro y a Hefestión. Pitágoras sacrificó una víctima para inquirir primeramente a propósito de Hefestión, y al no descubrir el lóbulo en el hígado de la víctima escribió y selló una carta que cursó a Apolodoro desde Babilonia a Ecbatana, afirmándole que no tenía por qué temer a Hefestión, ya que en breve tiempo éste iba a desaparecer de entre ellos.

[3] Según cuenta Aristobulo, Apolodoro recibió esta carta el día antes de que Hefestión muriera. A continuación Pitágoras sacrificó una víctima a propósito de Alejandro y tampoco se pudo encontrar el lóbulo del hígado del animal, por lo que Pitágoras escribió a Apolodoro una carta del mismo

ὑπὲρ Ἀλεξάνδρου γράψαι Ἀπολλοδώρῳ. Ἀπολλόδωρον δὲ οὐ κατασιωπῆσαι, ἀλλὰ φράσαι γὰρ πρὸς Ἀλέξανδρον τὰ ἐπεσταλμένα, ὡς εὔνοιαν μᾶλλόν τι ἐπιδειξόμενον τῷ βασιλεῖ, εἰ φυλάττεσθαι παραινέσειε μή τις αὐτῷ κίνδυνος ἐν τῷ τότε ξυμπέσοι. [4] καὶ Ἀπολλόδωρόν τε λέγει ὅτι Ἀλέξανδρος ἐπῄνεσε καὶ τὸν Πειθαγόραν, ἐπειδὴ παρῆλθεν εἰς Βαβυλῶνα, ἤρετο ὅτου γενομένου αὐτῷ σημείου ταῦτα ἐπέστειλεν πρὸς τὸν ἀδελφόν· τὸν δὲ εἰπεῖν ὅτι ἄλοβόν οἱ τὸ ἧπαρ ἐγένετο τοῦ ἱερείου· ἐρομένου δὲ ὅ τι νοοῖ τὸ σημεῖον μέγα εἰπεῖν εἶναι χαλεπόν. Ἀλέξανδρον δὲ τοσούτου δεῆσαι χαλεπῆναι τῷ Πειθαγόρᾳ, ὡς καὶ δι᾽ ἐπιμελείας ἔχειν αὐτὸν πλείονος, ὅτι ἀδόλως τὴν ἀλήθειάν οἱ ἔφρασε. [5] ταῦτα αὐτὸς Ἀριστόβουλος λέγει παρὰ Πειθαγόρου πυθέσθαι· καὶ Περδίκκᾳ δὲ μαντεύσασθαι αὐτὸν λέγει καὶ Ἀντιγόνῳ χρόνῳ ὕστερον· καί τοῦ αὐτοῦ σημείου ἀμφοῖν γενομένου Περδίκκαν τε ἐπὶ Πτολεμαῖον στρατεύσαντα ἀποθανεῖν καὶ Ἀντίγονον ἐν τῇ μάχῃ τῇ πρὸς Σέλευκον καὶ Λυσίμαχον τῇ ἐν Ἰψῷ γενομένῃ. [6] καὶ μὲν δὴ καὶ ὑπὲρ Καλάνου τοῦ σοφιστοῦ τοῦ Ἰνδοῦ τοιόσδε τις ἀναγέγραπται λόγος, ὁπότε ἐπὶ τὴν πυρὰν ᾔει ἀποθανούμενος, τότε τοὺς μὲν ἄλλους ἑταίρους ἀσπάζεσθαι αὐτόν, Ἀλεξάνδρῳ δὲ οὐκ ἐθελῆσαι προσελθεῖν ἀσπασόμενον, ἀλλὰ φάναι γὰρ ὅτι ἐν Βαβυλῶνι αὐτῷ ἐντυχὼν ἀσπάσεται. καὶ τοῦτον τὸν λόγον ἐν μὲν τῷ τότε ἀμεληθῆναι, ὕστερον δέ, ἐπειδὴ ἐτελεύτησεν ἐν Βαβυλῶνι Ἀλέξανδρος, ἐς μνήμην ἐλθεῖν τῶν ἀκουσάντων, ὅτι ἐπὶ τῇ τελευτῇ ἄρα τῇ Ἀλεξάνδρου ἐθειάσθη.

19. Παρελθόντι δ᾽ αὐτῷ ἐς Βαβυλῶνα πρεσβεῖαι παρὰ τῶν Ἑλλήνων ἐνέτυχον, ὑπὲρ ὅτων μὲν ἕκαστοι πρεσβευόμενοι οὐκ ἀναγέγραπται, δοκεῖν δ᾽ ἔμοιγε αἱ πολλαὶ στεφανούντων τε αὐτὸν ἦσαν καὶ ἐπαινούντων ἐπὶ ταῖς νίκαις ταῖς τε ἄλλαις καὶ μάλιστα ταῖς Ἰνδικαῖς, καὶ ὅτι σῶος ἐξ Ἰνδῶν ἐπανήκει χαίρειν φασκόντων. καὶ τούτους δεξιωσάμενός τε καὶ τὰ εἰκότα τιμήσας ἀποπέμψαι ὀπίσω λέγεται.

[2] ὅσους δὲ ἀνδριάντας ἢ ὅσα ἀγάλματα ἢ εἰ δή τι ἄλλο ἀνάθημα ἐκ τῆς Ἑλλάδος. Ξέρξης ἀνεκόμισεν ἐς Βαβυλῶνα ἢ ἐς Πασαργάδας ἢ ἐς Σοῦσα ἢ ὅπῃ ἄλλῃ τῆς Ἀσίας, ταῦτα δοῦναι ἄγειν τοῖς πρέσβεσι· καὶ τὰς Ἁρμοδίου καὶ Ἀριστογείτονος εἰκόνας τὰς χαλκᾶς οὕτω λέγεται

tenor que la anterior, a propósito de Alejandro.

Sin embargo, Apolodoro no guardó el secreto, sino que dio parte a Alejandro de lo que le habían anunciado, queriendo con ello manifestar su buena disposición para con su rey, aconsejándole se previniera de cualquier peligro que por aquellos días pudiera acaecerle.

[4] Dice también Aristobulo que Alejandro agradeció el aviso a Apolodoro, y que una vez que estuvo en Babilonia preguntó a Pitágoras, basándose en qué indicios había mandado aquel escrito a su hermano. Pitágoras contestó que era por no haber encontrado el lóbulo en el hígado de la víctima; y al preguntarle Alejandro qué significaba todo ello, le contestó: «Algo muy serio» [373].

No se irritó Alejandro por esta contestación de Pitágoras, antes bien, aumentó la estima que de él tenía, por haberle expresado sin engaño toda la verdad.

[5] Aristobulo dice que oyó este relato de boca del propio Pitágoras, y añade que Pitágoras vaticinó algo más tarde acerca de Perdicas y Antígono. Para ambos tuvo el mismo indicio; el caso es que Perdicas murió luchando contra Tolomeo [374], y Antígono también, en la batalla que mantuvo en Ipso contra Seleuco y Lisímaco [375].

[6] Pero, todavía más, es que aún hay otra anécdota, a propósito ahora de Cálano, el indio. Se disponía éste a marchar a la pira en donde iba a morir y procedió a abrazar a todos los Compañeros de Alejandro, sin querer acercarse a abrazar a Alejandro, a quien dijo: «A ti ya te encontraré en Babilonia y allí te abrazaré.» Nadie hizo caso de esta anécdota en ese momento, pero más tarde, cuando Alejandro murió estando en Babilonia, todos los que la habían oído vinieron a recordar que, efectivamente, había profetizado sobre la muerte de Alejandro.

Nuevas embajadas griegas.

19 A su regreso a Babilonia, se le presentaron unos embajadores griegos, aunque no nos ha quedado constancia de con qué intenciones acudieron a él cada una de estas legaciones. Por mi parte, yo me inclino a pensar que en su mayor parte vinieron a coronarle y felicitarle por todas sus victorias, y en especial por la obtenida sobre los indios, y a darle parabienes por haber regresado sano y salvo de la India [376]. [2] A todos ellos los saludó Alejandro, y tras haberlos honrado conforme al ceremonial, los mandó, según se dice, de regreso a sus ciudades, dándoles para que las devolvieran a sus lugares de origen, todas las estatuas, imágenes y cualquier tipo de ofrendas que Jerjes expoliara de Grecia y se encontraban en Babilonia, Pasargada, Susa o cualquier otra plaza de Asia [377]; concretamente, se dice que la estatua de bronce de Harmodio y Aristogitón

ἀπενεχθῆναι ὀπίσω ἐς Ἀθήνας καὶ τῆς Ἀρτέμιδος τῆς Κελκέας[I] τὸ ἕδος.
[3] Κατέλαβε δὲ ἐν Βαβυλῶνι, ὡς λέγει Ἀριστόβουλος, καὶ τὸ ναυτικόν, τὸ μὲν κατὰ τὸν Εὐφράτην ποταμὸν ἀναπεπλευκὸς ἀπὸ θαλάσσης τῆς Περσικῆς, ὅ τι περ σὺν Νεάρχῳ ἦν, τὸ δὲ ἐκ Φοινίκης ἀνακεκομισμένον, πεντήρεις μὲν δύο τῶν ἐκ Φοινίκων, τετρήρεις δὲ τρεῖς, τριήρεις δὲ δώδεκα, τριακοντόρους δὲ ἐς τριάκοντα· ταύτας ξυντμηθείσας κομισθῆναι ἐπὶ τὸν Εὐφράτην ποταμὸν ἐκ Φοινίκης ἐς Θάψακον πόλιν, ἐκεῖ δὲ ξυμπηχθείσας αὖθις καταπλεῦσαι ἐς Βαβυλῶνα. λέγει δὲ ὅτι καὶ ἄλλος αὐτῷ ἐναυπηγεῖτο στόλος τέμνοντι τὰς κυπαρίσσους τὰς ἐν τῇ Βαβυλωνίᾳ· [4] τούτων γὰρ μόνων τῶν δένδρων εὐπορίαν εἶναι ἐν τῇ χώρᾳ τῶν Ἀσσυρίων, τῶν δὲ ἄλλων ὅσα ἐς ναυπηγίαν ἀπόρως ἔχειν τὴν γῆν ταύτην· πληρώματα δὲ ἐς τὰς ναῦς καὶ τὰς ἄλλας ὑπηρεσίας πορφυρέων τε πλῆθος καὶ τῶν ἄλλων ὅσοι ἐργάται τῆς θαλάσσης ἀφῖχθαι αὐτῷ ἐκ Φοινίκης τε καὶ τῆς ἄλλης παραλίας· λιμένα τε ὅτι πρὸς Βαβυλῶνι ἐποίει ὀρυκτὸν ὅσον χιλίαις ναυσὶ μακραῖς ὅρμον εἶναι καὶ νεωσοίκους ἐπὶ τοῦ λιμένος. [5] καὶ Μίκκαλος ὁ Κλαζομένιος μετὰ πεντακοσίων ταλάντων ἐπὶ Φοινίκης τε καὶ Συρίας ἐστέλλετο, τοὺς μὲν μισθῷ πείσων, τοὺς δὲ καὶ ὠνησόμενος ὅσοι θαλάττιοι ἄνθρωποι. τήν τε γὰρ παραλίαν τὴν πρὸς τῷ κόλπῳ τῷ Περσικῷ κατοικίζειν ἐπενόει καὶ τὰς νήσους τὰς ταύτῃ. ἐδόκει γὰρ αὐτῷ οὐ μεῖον <ἂν> Φοινίκης εὐδαίμων ἡ χώρα αὕτη γενέσθαι.
[6] ἦν δὲ αὐτῷ τοῦ ναυτικοῦ ἡ παρασκευὴ ὡς ἐπὶ Ἄραβας τοὺς πολλούς, πρόφασιν μέν, ὅτι μόνοι τῶν ταύτῃ βαρβάρων οὔτε πρεσβείαν ἀπέστειλαν οὔτε τι ἄλλο ἐπιεικὲς ἢ ἐπὶ τιμῇ ἐπέπρακτο Ἄραψιν ἐς αὐτόν· τὸ δὲ ἀληθές, ὥς γέ μοι δοκεῖ, ἄπληστος ἦν τοῦ κτᾶσθαί τι ἀεὶ Ἀλέξανδρος.
20. Λόγος δὲ κατέχει ὅτι ἤκουεν Ἄραβας δύο μόνον τιμᾶν θεούς, τὸν Οὐρανόν τε καὶ τὸν Διόνυσον, τὸν μὲν Οὐρανὸν αὐτόν τε ὁρώμενον καὶ τὰ ἄστρα ἐν οἷ ἔχοντα τά τε ἄλλα καὶ τὸν ἥλιον, ἀφ᾽ ὅτου μεγίστη καὶ φανοτάτη ὠφέλεια ἐς πάντα ἥκει τὰ ἀνθρώπεια, Διόνυσον δὲ κατὰ δόξαν τῆς ἐς Ἰνδοὺς στρατιᾶς. οὔκουν ἀπαξιοῦν καὶ αὐτὸν τρίτον ἂν νομισθῆναι πρὸς Ἀράβων θεόν, οὐ φαυλότερα ἔργα Διονύσου

[I] Κελκαίας podría ser la forma correcta, ver Roos.

se devolvió a Atenas, así como la figura sedente de Ártemis Celcea.
[3] Según nos cuenta Apolodoro, se le unió a él cuando estaba en Babilonia su flota; una parte de ella, la q|ue estaba bajo las órdenes de Nearco, había remontado el río Eufrates desde el mar Pérsico; y la otra parte había sido transportada desde Fenicia (dos pentarremes, tres tetrarremes y doce trirremes, a más de treinta triacóntoros). Estas naves habían sido desmontadas por piezas y transportadas desde Fenicia hasta la ciudad de Tápsaco, en el Eufrates, donde las habían vuelto a emsamblar, y con ellas habían descendido por el río hasta Babilonia.

También nos dice que Alejandro estaba construyendo otra nueva flota, para la cual había mandado cortar los cipreses de Babilonia, [4] pues sólo de estos árboles hay abundancia en el país de los asirios, mientras que de los otros que se utilizan para la construcción de naves esta tierra es pobre. Como tripulación para estos barcos y su servidumbre se habían ofrecido a él un buen número de pescadores de caracoles y otra gente que vive del mar, venidos de Fenicia y de otras zonas de la costa. Construyó Alejandro un puerto en Babilonia, y lo dragó para dar cabida en su seno a mil largas naves de guerra, así como un astillero junto al puerto. [5] Mícalo, natural de Clazómenas, partió hacia Fenicia y Siria con quinientos talentos para contratar a sueldo y conseguir hombres de mar. El proyecto de Alejandro era colonizar la costa del golfo Pérsico y las islas de esa zona, por parecerle una región no menos próspera que Fenicia [378].
[6] Los preparativos navales que Alejandro traía entre manos se dirigían en su mayor parte contra los árabes de la costa [379], bajo el pretexto de que habían sido los únicos bárbaros de esta zona que no le habían enviado embajadores ni habían tenido ningún otro detalle apropiado ni muestra de honor hacia él. A mi parecer, sin embargo, el verdadero motivo era el afán de dominio, siempre insaciable, de Alejandro.

Las costas del golfo Pérsico.

20 Se cuenta la historia [380] de que Alejandro había oído que los árabes sólo veneran a dos dioses: Urano y Dioniso; a Urano porque veían que en él se contenían los astros, y en especial el sol, de quien proceden los mayores y más obvios beneficios para el género humano; y a Dioniso por la fama que había adquirido gracias a su expedición hasta la India. De aquí que Alejandro no consideraba de poca importancia que los árabes le venerarían como a su tercer dios (pues había dado pruebas nada desdeñables de haber aventajado las hazañas de Dioniso),

ἀποδειξάμενον, εἴπερ οὖν καὶ Ἀράβων κρατήσας ἐπιτρέψειεν αὐτοῖς, καθάπερ Ἰνδοῖς, πολιτεύειν κατὰ τὰ σφῶν νόμιμα. [2] τῆς τε χώρας ἡ εὐδαιμονία ὑπεκίνει αὐτόν, ὅτι ἤκουεν ἐκ μὲν τῶν λιμνῶν τὴν κασίαν γίγνεσθαι αὐτοῖς, ἀπὸ δὲ τῶν δένδρων τὴν σμύρναν τε καὶ τὸν λιβανωτόν, ἐκ δὲ τῶν θάμνων τὸ κιννάμωμον τέμνεσθαι, οἱ λειμῶνες δὲ ὅτι νάρδον αὐτόματοι ἐκφέρουσι· τό <τε> μέγεθος τῆς χώρας, ὅτι οὐκ ἐλάττων ἡ παράλιος τῆς Ἀραβίας ἤπερ ἡ τῆς Ἰνδικῆς αὐτῷ ἐξηγγέλλετο, καὶ νῆσοι αὐτῇ προσκεῖσθαι πολλαί, καὶ λιμένες πανταχοῦ τῆς χώρας ἐνεῖναι, οἷοι παρασχεῖν μὲν ὅρμους τῷ ναυτικῷ, παρασχεῖν δὲ καὶ πόλεις ἐνοικισθῆναι καὶ ταύτας γενέσθαι εὐδαίμονας. [3] Δύο δὲ νῆσοι κατὰ τὸ στόμα τοῦ Εὐφράτου πελάγιαι ἐξηγγέλλοντο αὐτῷ, ἡ μὲν πρώτη οὐ πρόσω τῶν ἐκβολῶν τοῦ Εὐφράτου, ἐς ἑκατὸν καὶ εἴκοσι σταδίους ἀπέχουσα ἀπὸ τοῦ αἰγιαλοῦ τε καὶ τοῦ στόματος τοῦ ποταμοῦ, μικροτέρα αὕτη καὶ δασεῖα ὕλῃ παντοίᾳ· εἶναι δὲ ἐν αὐτῇ καὶ ἱερὸν Ἀρτέμιδος καὶ τοὺς οἰκήτορας αὐτῆς ἀμφὶ τὸ ἱερὸν τὴν δίαιταν ποιεῖσθαι· [4] νέμεσθαί τε αὐτὴν αἰξί τε ἀγρίαις καὶ ἐλάφοις, καὶ ταύτας ἀνεῖσθαι ἀφέτους τῇ Ἀρτέμιδι, οὐδὲ εἶναι θέμις θήραν ποιεῖσθαι ἀπ᾽ αὐτῶν, ὅτι μὴ θῦσαί τινα τῇ θεῷ ἐθέλοντα· ἐπὶ τῷδε γὰρ θηρᾶν μόνον οὐκ[I] εἶναι ἀθέμιτον. [5] καὶ ταύτην τὴν νῆσον λέγει Ἀριστόβουλος ὅτι Ἴκαρον ἐκέλευσε καλεῖσθαι Ἀλέξανδρος ἐπὶ τῆς νήσου τῆς Ἰκάρου τῆς ἐν τῷ Αἰγαίῳ πόντῳ, ἐς ἥντινα Ἴκαρον τὸν Δαιδάλου τακέντος τοῦ κηροῦ ὅτῳ προσήρτητο τὰ πτερὰ πεσεῖν λόγος κατέχει, ὅτι οὐ κατὰ τὰς ἐντολὰς τοῦ πατρὸς πρὸς τῇ γῇ ἐφέρετο, ἀλλὰ μετέωρος γὰρ ὑπὸ ἀνοίας πετόμενος παρέσχε τῷ ἡλίῳ θάλψαι τε καὶ ἀνεῖναι τὸν κηρόν, καὶ ἀπὸ ἑαυτοῦ τὸν Ἴκαρον τῇ τε νήσῳ καὶ τῷ πελάγει τὴν ἐπωνυμίαν ἐγκαταλιπεῖν τὴν μὲν Ἴκαρον καλεῖσθαι, τὸ δὲ Ἰκάριον. [6] ἡ δὲ ἑτέρα νῆσος ἀπέχειν μὲν ἀπὸ τοῦ στόματος τοῦ Εὐφράτου ἐλέγετο ὅσον πλοῦν ἡμέρας καὶ νυκτὸς κατ᾽ οὖρον θεούσῃ νηΐ· Τύλος δὲ αὐτῇ εἶναι ὄνομα· μεγάλη δὲ εἶναι καὶ οὔτε τραχεῖα ἡ πολλὴ οὔτε ὑλώδης, ἀλλ᾽ οἵα καρπούς τε ἡμέρους ἐκφέρειν καὶ πάντα ὡραῖα. [7] Ταυτὶ ἀπηγγέλθη Ἀλεξάνδρῳ τὰ μὲν πρὸς Ἀρχίου, ὃς ξὺν τριακοντόρῳ ἐκπεμφθεὶς ἐπὶ κατασκοπὴν τοῦ παράπλου τοῦ ὡς

[I] Castiglioni: ἐπὶ τῷδε θηρᾶν μόνον· ἐπὶ τῷδε γὰρ οὐκ codd., Roos (ininteligible).

si es que, tras dominar Arabia, les permitía, como a los indios, regirse según sus propios usos y costumbres.

[2] Le incitaba no menos a esta empresa la prosperidad del país, del que había oído que en sus oasis crece la casia [381], y de sus árboles se extrae la mirra [382], el incienso, que de sus matorrales se corta el cinamomo, y que en sus praderas crecen espontáneamente los nardos. Por otra parte, estaba la extensión del país, cuya costa era, según sus noticias, no menor que las de la India, y que a lo largo de ella se hallaban buen número de islas y puertos repartidos por todas las playas del país, capaces de cobijar a su flota y proporcionar asentamiento a las más prósperas ciudades del futuro.

[3] Le informaron igualmente que enfrente de la desembocadura del Eufrates, ya en el mar, se encuentran dos islas; una de ellas no lejos de la desembocadura, a una distancia de unos ciento veinte estadios [383] de la playa y la desembocadura del río; ésta es la más pequeña de las dos, y está cubierta de tupida selva por todas partes. En ella se encuentra un santuario de Ártemis, y sus habitantes se ocupan del servicio diario [4] del santuario. Se crían en ellas cabras salvajes y ciervos que viven en libertad por estar consagrados a Ártemis, y no es lícito darles caza a no ser que se quieran sacrificar a la divinidad. Sólo con este propósito es lícito cazarlos, y sólo para ello deja de estar prohibido. [5] Cuenta Aristobulo que Alejandro mandó llamar a esta isla Icaria (el mismo nombre que la isla Icaria del mar Egeo [384], en la que según nos cuenta la tradición cayó Ícaro al derretirse la cera con la que había ensamblado sus alas, pues, desatendiendo los consejos paternos, no voló a baja altura, sino que elevándose por los aires a causa de su insensatez, hizo que el sol derritiera y ablandara la cera; dio así su nombre a la isla y al mar, la primera llamada Icaria, y éste, Ícaro).

[6] La segunda isla dista de la desembocadura del Eufrates, según se dice, el trayecto que recorre una nave rápida navegando a favor del viento durante una noche y un día. El nombre de la isla es Tilo [385]; es de gran tamaño, ni escarpada ni muy cubierta de árboles, aunque produce frutos en sus bellas plantaciones y toda clase de fruta del tiempo.

[7] Todas estas informaciones le fueron facilitadas a Alejandro por Arquias, que había partido con un triacóntoro para inspeccionar la costa en

ἐπὶ τοὺς Ἄραβας μέχρι μὲν τῆς νήσου τῆς Τύλου ἦλθε, τὸ πρόσω δὲ οὐκέτι περαιωθῆναι ἐτόλμησεν· Ἀνδροσθένης δὲ ξὺν ἄλλῃ τριακοντόρῳ σταλεὶς καὶ τῆς χερρονήσου τι τῶν Ἀράβων παρέπλευσε· μακροτάτω δὲ τῶν ἐκπεμφθέντων προὐχώρησεν Ἱέρων ὁ Σολεὺς ὁ κυβερνήτης, λαβὼν καὶ οὗτος παρ᾽ Ἀλεξάνδρου τριακόντορον. [8] ἦν μὲν γὰρ αὐτῷ προστεταγμένον περιπλεῦσαι τὴν χερρόνησον τὴν Ἀράβων πᾶσαν ἔστε ἐπὶ τὸν κόλπον τὸν πρὸς Αἰγύπτῳ τὸν Ἀράβιον τὸν καθ᾽ Ἡρώων πόλιν· οὐ μὴν ἐτόλμησέ γε τὸ πρόσω ἐλθεῖν, καίτοι ἐπὶ τὸ πολὺ παραπλεύσας τὴν Ἀράβων γῆν· ἀλλ᾽ ἀναστρέψας γὰρ παρ᾽ Ἀλέξανδρον ἐξήγγειλεν τὸ μέγεθός τε τῆς χερρονήσου θαυμαστόν τι εἶναι καὶ ὅσον οὐ πολὺ ἀποδέον τῆς Ἰνδῶν γῆς, ἄκραν τε ἀνέχειν ἐπὶ πολὺ τῆς μεγάλης θαλάσσης· [9] ἣν δὴ καὶ τοὺς σὺν Νεάρχῳ ἀπὸ τῆς Ἰνδικῆς πλέοντας, πρὶν ἐπικάμψαι ἐς τὸν κόλπον τὸν Περσικόν, οὐ πόρρω ἀνατείνουσαν ἰδεῖν τε καὶ παρ᾽ ὀλίγον ἐλθεῖν διαβαλεῖν ἐς αὐτήν, καὶ Ὀνησικρίτῳ τῷ κυβερνήτῃ ταύτῃ δοκοῦν· ἀλλὰ Νέαρχος λέγει ὅτι αὐτὸς διεκώλυσεν, ὡς ἐκπεριπλεύσας τὸν κόλπον τὸν Περσικὸν ἔχοι ἀπαγγεῖλαι Ἀλεξάνδρῳ ἐφ᾽ οἷστισι πρὸς αὐτοῦ ἐστάλη· [10] οὐ γὰρ ἐπὶ τῷ πλεῦσαι τὴν μεγάλην θάλασσαν ἐστάλθαι, ἀλλ᾽ ἐπὶ τῷ καταμαθεῖν τὴν χώραν τὴν προσεχῆ τῇ θαλάσσῃ καὶ τοὺς κατοικοῦντας αὐτὴν ἀνθρώπους, ὅρμους τε ἐν αὐτῇ καὶ ὕδατα καὶ τὰ νόμαια τῶν ἀνδρῶν καὶ εἴ τις ἀγαθὴ καρποὺς ἐκφέρειν ἢ εἴ τις κακή· καὶ οὖν καὶ τοῦτο αἴτιον γενέσθαι ἀποσωθῆναι Ἀλεξάνδρῳ τὸν στρατόν· οὐ γὰρ ἂν σωθῆναι πλεύσαντας ὑπὲρ τῆς Ἀραβίας τὰ ἔρημα, ἐφ᾽ ὅτῳ καὶ ὁ Ἱέρων ἐπιστρέψαι ὀπίσω λέγεται.

21. Ἐν ᾧ δὲ αὐτῷ ἐναυπηγοῦντο μὲν αἱ τριήρεις, ὁ λιμὴν δὲ πρὸς Βαβυλῶνι ὠρύσσετο, ἐκπλεῖ ἐκ Βαβυλῶνος κατὰ τὸν Εὐφράτην ὡς ἐπὶ τὸν Πολλακόπαν καλούμενον ποταμόν. ἀπέχει δὲ οὗτος τῆς Βαβυλῶνος σταδίους ὅσον ὀκτακοσίους, καὶ ἔστι διῶρυξ αὕτη [ὁ Πολλακόπας] ἐκ τοῦ Εὐφράτου, οὐχὶ δὲ ἐκ πηγῶν τις ἀνίσχων ποταμός. [2] ὁ γὰρ Εὐφράτης ποταμὸς ῥέων ἐκ τῶν Ἀρμενίων ὀρῶν χειμῶνος μὲν ὥρᾳ προχωρεῖ κατὰ τὰς ὄχθας, οἷα δὴ οὐ πολλοῦ ὄντος αὐτῷ τοῦ ὕδατος· ἦρος δὲ ὑποφαίνοντος καὶ πολὺ δὴ μάλιστα ὑπὸ τροπάς, ἅστινας τοῦ θέρους ὁ ἥλιος ἐπιστρέφει, μέγας τε ἐπέρχεται καὶ ὑπερβάλλει ὑπὲρ τὰς ὄχθας ἐς τὴν γῆν τὴν Ἀσσυρίαν· [3] τηνικαῦτα γὰρ

dirección a Arabia y había llegado hasta esta isla de Tilo, sin atreverse a proseguir su viaje más allá. Andróstenes [386], sin embargo, que partió en otro triacóntoro, navegó costeando la mayor parte de la península de Arabia. Con todo, el que más lejos llegó de cuantos emprendieron expediciones como éstas fue el timonel Hierón, natural de Solos, a bordo también de un triacóntoro que le había facilitado Alejandro.

[8] Las órdenes que se le habían dado eran las de circunnavegar la península arábiga completamente, hasta llegar al golfo arábigo por la parte de Egipto, allá por Herópolis. No se atrevió, sin embargo, a culminar el viaje, aunque sí fue el que más adelante llegó por la península arábiga. A su regreso comunicó a Alejandro que la extensión de la península era enorme, casi tan grande como la índica, y que un saliente de la misma se adentra en gran medida hacia el Gran Mar.

[9] Este saliente de la península (que se extendía hasta muy cerca de por donde ellos pasaron) lo había visto la tripulación de Nearco cuando venía de la India, antes de poner rumbo al interior del golfo Pérsico, y a punto estuvieron, incluso, de llegarse a ella por consejo del timonel Onesícrito.

Fue Nearco quien dijo oponerse a ello, ya que una vez que hubiera terminado de costear el golfo Pérsico podía informar a Alejandro de todo aquello por lo que se había originado esta expedición; [10] a él no le había mandado nadie costear el Gran Mar, sino inspeccionar la zona próxima a la costa, qué hombres la habitaban, los fondeaderos que en ella hubiera, puntos de agua, costumbres de sus moradores, y si alguna parte de la región produce buenos frutos, y cuál es estéril. Precisamente ésta había sido la causa de que el ejército de Alejandro se hubiera salvado, cosa que no habría acaecido si ellos se hubieran adentrado más allá de los desiertos de Arabia; fue pues, por esta razón, según se dice, por la que también Hierón determinó no seguir más adelante.

Excursiones por las riberas del Eufrates y el Palácopas.

21 Mientras sus hombres construían nuevas trirremes y dragaban el puerto de Babilonia, Alejandro partió de Babilonia río abajo por el Eufrates en dirección al río llamado Palácopas. Dista este río de Babilonia ochocientos estadios [387] y es, propiamente hablando, un ramal del Eufrates, más que un río que surja de manantiales propios. [2] El Eufrates fluye, como es sabido, de los montes de Armenia, y durante el invierno discurre por su cauce, pues entonces lleva poca agua. Pero cuando despunta la primavera, y mejor aún en el solsticio [388] de verano, aumenta enormemente su caudal y se desborda por encima de sus orillas allá por la región asiria. [3] Es, en efecto, en esta época

αἱ χιόνες αἱ ἐπὶ τοῖς ὄρεσι τοῖς Ἀρμενίοις κατατηκόμεναι αὔξουσιν αὐτῷ τὸ ὕδωρ ἐπὶ μέγα. ὅτι δὲ ἐπιπολῆς ἐστιν αὐτῷ καὶ ὑψηλὸς ὁ ῥοῦς, ὑπερβάλλει ἐς τὴν χώραν, εἰ μή τις ἀναστομώσας αὐτὸν κατὰ τὸν Πολλακόπαν ἐς τὰ ἕλη τε ἐκτρέψειε καὶ τὰς λίμνας, αἳ δὴ ἀρχόμεναι ἀπὸ ταύτης τῆς διώρυχος <διήκουσιν> ἔστε ἐπὶ τὴν ξυνεχῆ τῇ Ἀράβων γῇ, καὶ ἔνθεν μὲν ἐς τέναγος ἐπὶ πολύ, ἐκ δὲ τοῦ ἐς θάλασσαν κατὰ πολλά τε καὶ ἀφανῆ στόματα ἐκδίδωσι. [4] τετηκυίας δὲ τῆς χιόνος ἀμφὶ Πλειάδων μάλιστα δύσιν ὀλίγος τε ὁ Εὐφράτης ῥέει καὶ οὐδὲν μεῖον τὸ πολὺ αὐτοῦ κατὰ τὸν Πολλακόπαν ἐκδιδοῖ ἐς τὰς λίμνας. εἰ δή τις μὴ ἀποφράξει<ε> τὸν Πολλακόπαν αὖθις, ὡς κατὰ τὰς ὄχθας ἐκτραπὲν φέρεσθαι τὸ ὕδωρ κατὰ πόρου, ἐκένωσεν ἂν τὸν Εὐφράτην ἐς αὐτόν, ὡς μηδ᾽ ἐπάρδεσθαι ἀπ᾽ αὐτοῦ τὴν Ἀσσυρίαν γῆν. [5] ἀλλὰ ἀπεφράσσοντο γὰρ αἱ ἐς τὸν Πολλακόπαν τοῦ Εὐφράτου ἐκβολαὶ πρὸς τοῦ σατράπου τῆς Βαβυλωνίας πολλῷ πόνῳ, καίπερ οὐ χαλεπῶς ἀναστομούμεναι, ὅτι ἰλυώδης τε ἡ ταύτῃ γῆ καὶ πηλὸς ἡ πολλὴ αὐτῆς, οἵα δεχομένη τὸ ὕδωρ τοῦ ποταμοῦ μὴ εὐμαρῆ τὴν ἀποστροφὴν αὐτοῦ παρέχειν· ἀλλὰ καὶ ἐς τρίτον μῆνα Ἀσσυρίων ἄνδρες ὑπὲρ τοὺς μυρίους ἐν τῷδε τῷ πόνῳ ξυνείχοντο. [6] Ταῦτα ἀπαγγελθέντα ἐπήγαγεν Ἀλέξανδρον ὠφελῆσαί τι τὴν χώραν τὴν Ἀσσυρίαν. ἔνθεν μὲν δὴ ἐς τὸν Πολλακόπαν ἐτρέπετο τοῦ Εὐφράτου ὁ ῥοῦς, ταύτῃ δε ἔγνω βεβαίως ἀποκλεῖσαι τὴν ἐκβολήν· προελθόντι δὲ ὅσον σταδίους τριάκοντα ὑπόπετρος ἡ γῆ ἐφαίνετο, οἵα διακοπεῖσα, εἰ ξυναφὴς ἐγένετο τῇ πάλαι διώρυχι τῇ κατὰ τὸν Πολλακόπαν, οὔτ᾽ ἂν διαχεῖσθαι παρέχειν τὸ ὕδωρ ὑπὸ στερρότητος τῆς γῆς, τήν τε ἀποστροφὴν αὐτοῦ τῇ τεταγμένῃ ὥρᾳ μὴ χαλεπῶς γίγνεσθαι. [7] τούτων ἕνεκα ἐπί τε τὸν Πολλακόπαν ἔπλευσε καὶ κατ᾽ αὐτὸν καταπλεῖ ἐς τὰς λίμνας ὡς ἐπὶ Ἀράβων γῆν. ἔνθα χῶρόν τινα ἐν καλῷ ἰδὼν πόλιν ἐξῳκοδόμησέ τε καὶ ἐτείχισε, καὶ ἐν ταύτῃ κατῴκισε τῶν Ἑλλήνων τινὰς τῶν μισθοφόρων, ὅσοι τε ἑκόντες καὶ ὅσοι ὑπὸ γήρως ἢ κατὰ πήρωσιν ἀπόλεμοι ἦσαν.

22. Αὐτὸς δὲ ὡς ἐξελέγξας δὴ τῶν Χαλδαίων τὴν μαντείαν, ὅτι οὐδὲν πεπόνθοι ἐν Βαβυλῶνι ἄχαρι, καθάπερ ἐκεῖνοι ἐμαντεύσαντο, ἀλλὰ ἔφθη γὰρ ἐλάσας ἔξω Βαβυλῶνος πρίν τι παθεῖν, ἀνέπλει αὖθις κατὰ τὰ ἕλη θαρρῶν, ἐν ἀριστερᾷ ἔχων τὴν Βαβυλῶνα· ἵνα δὴ καὶ ἐπλανήθη

cuando las nieves de las cimas de los montes de Armenia se funden incrementando considerablemente el caudal del río, por lo que su corriente baja con una gran crecida y se desborda inundando la región, a menos que desagüe por el Palácopas, dirigiendo su corriente hacia los pantanos y lagos que se extienden desde este canal hasta el territorio vecino de Arabia, y a partir de aquí enlaza con una extensa zona de marismas, mientras alcanza, por otro lado, el mar por varias desembocaduras de menor importancia. [4] Cuando las nieves terminan de fundirse, al ponerse por Occidente las Pléyades, el Eufrates fluye de nuevo con escaso caudal, desaguando por medio del Palácopas en las lagunas buena parte de su caudal.

El caso es que si alguien no cegara a su vez el Palácopas, haciendo que el agua discurra sólo por el cauce del río, el Eufrates se vaciaría por completo en el Palácopas, haciendo imposible regar con su agua el territorio asirio. [5] De hecho, los desagües del Eufrates en el Palácopas fueron cegados por el sátrapa de Babilonia mediante grandes obras, aunque es posible franquearlas de nuevo sin mucha dificultad, ya que el terreno de aquella zona es barro y fango en su mayor parte que deja pasar el agua del río, por lo que se hace difícil conseguir la contención del mismo. Aun así, más de diez mil asirios estuvieron en este trabajo durante tres meses.

[6] Al tener Alejandro información de estos pormenores, se sintió inclinado a favorecer la región asiria, y para ello decidió cegar drásticamente el desagüe del Eufrates en el Palácopas, justo en el punto en que las aguas de aquél se desvían hacia éste. Al avanzar unos treinta estadios, advirtió que el terreno se hacía rocoso, y pensó que si abría una zanja hasta conseguir unirla al antiguo canal del Palácopas, el agua no podría así desparramarse por ser el terreno muy compacto; además, cuando interesara, sería muy fácil cortar la corriente. [7] Más tarde, navegó hasta el Palácopas y bajó por él hasta los lagos, en dirección a Arabia. Encontró allí un lugar bien situado y en él fundó una ciudad, toda ella amurallada, en la que asentó a algunos mercenarios griegos que voluntariamente se lo habían pedido, así como a otros que por su edad o por sus heridas resultaban ya inútiles para la guerra.

De regreso a Babilonia.

22 Al evidenciarse como falsa la profecía de los caldeos, ya que Alejandro no había sufrido percance alguno en Babilonia, cosa que debía haber ocurrido según aquéllos habían profetizado, sino que se había adelantado a salir de la ciudad antes de que nada malo le pasara, emprendió ahora una expedición en barco por la zona de los pantanos y con ánimo totalmente confiado, dejando a su izquierda la ciudad de Babilonia. Allí se le extravió una

αὐτῷ μέρος τοῦ ναυτικοῦ κατὰ τὰ στενὰ ἀπορίᾳ ἡγεμόνος, πρίν γε δὴ αὐτὸς πέμψας τὸν ἡγησόμενον ἐπανήγαγεν αὐτοὺς ἐς τὸν πόρον.

[2] λόγος δὲ λέγεται τοιόσδε. τῶν βασιλέων τῶν Ἀσσυρίων τοὺς τάφους ἐν ταῖς λίμναις τε εἶναι τοὺς πολλοὺς καὶ ἐν τοῖς ἕλεσι δεδομημένους. ὡς δὲ ἔπλει Ἀλέξανδρος κατὰ τὰ ἕλη, κυβερνᾶν γὰρ αὐτὸν λόγος τὴν τριήρη, πνεύματος μεγάλου ἐμπεσόντος αὐτῷ ἐς τὴν καυσίαν καὶ τὸ διάδημα αὐτῇ συνεχόμενον, τὴν μὲν δὴ οἷα βαρυτέραν πεσεῖν ἐς τὸ ὕδωρ, τὸ διάδημα δὲ ἀπενεχθὲν πρὸς τῆς πνοῆς σχεθῆναι ἐν καλάμῳ· τὸν κάλαμον δὲ τῶν ἐπιπεφυκότων εἶναι τάφῳ τινὶ τῶν πάλαι βασιλέων. [3] τοῦτό τε οὖν αὐτὸ πρὸ τῶν μελλόντων σημῆναι καὶ ὅτι τῶν τις ναυτῶν ἐκνηξάμενος ὡς ἐπὶ τὸ διάδημα ἀφελὼν τοῦ καλάμου αὐτὸ μετὰ χεῖρας μὲν οὐκ ἤνεγκεν, ὅτι νηχομένου ἂν αὐτοῦ ἐβρέχετο, περιθεὶς δὲ τῇ κεφαλῇ τῇ αὑτοῦ οὕτω διήνεγκε. [4] καὶ οἱ μὲν πολλοὶ τῶν ἀναγραψάντων τὰ Ἀλεξάνδρου λέγουσιν ὅτι τάλαντου μὲν ἐδωρήσατο αὐτῷ Ἀλέξανδρος τῆς προθυμίας ἕνεκα, ἀποτεμεῖν δὲ ἐκέλευσε τὴν κεφαλήν, τῶν μάντεων ταύτῃ ἐξηγησαμένων, μὴ περιιδεῖν σώαν ἐκείνην τὴν κεφαλὴν ἥτις τὸ διάδημα ἐφόρησε τὸ βασίλειον· Ἀριστόβουλος δὲ τάλαντον μὲν ὅτι ἔλαβε λέγει αὐτόν, ἀλλὰ πληγὰς λαβεῖν τῆς περιθέσεως ἕνεκα τοῦ διαδήματος. [5] Ἀριστόβουλος μὲν δὴ τῶν τινα Φοινίκων τῶν ναυτῶν λέγει ὅτι τὸ διάδημα τῷ Ἀλεξάνδρῳ ἐκόμισεν, εἰσὶ δὲ οἳ Σέλευκον λέγουσιν. καὶ τοῦτο τῷ τε Ἀλεξάνδρῳ σημῆναι τὴν τελευτὴν καὶ τῷ Σελεύκῳ τὴν βασιλείαν τὴν μεγάλην. Σέλευκον γὰρ μέγιστον τῶν μετὰ Ἀλέξανδρον διαδεξαμένων τὴν ἀρχὴν βασιλέα γενέσθαι τήν τε γνώμην βασιλικώτατον καὶ πλείστης γῆς ἐπάρξαι μετά γε αὐτὸν Ἀλέξανδρον οὔ μοι δοκεῖ ἰέναι ἐς ἀμφίλογον.

23. Ἐπανελθὼν δὲ ἐς Βαβυλῶνα καταλαμβάνει Πευκέσταν ἥκοντα ἐκ Περσῶν, ἄγοντα στρατιὰν Περσῶν ἐς δισμυρίους· ἦγε δὲ καὶ Κοσσαίων καὶ Ταπούρων οὐκ ὀλίγους, ὅτι καὶ ταῦτα ἔθνη τῶν προσχώρων τῇ Περσίδι μαχιμώτατα εἶναι ἐξηγγέλλετο. ἧκε δὲ αὐτῷ καὶ Φιλόξενος στρατιὰν ἄγων ἀπὸ Καρίας καὶ Μένανδρος ἐκ Λυδίας ἄλλους καὶ Μενίδας τοὺς ἱππέας ἄγων τοὺς αὐτῷ ξυνταχθέντας. [2] καὶ πρεσβεῖαι δὲ ἐν τούτῳ ἐκ τῆς Ἑλλάδος ἧκον, καὶ τούτων οἱ πρέσβεις αὐτοί τε ἐστεφανωμένοι Ἀλεξάνδρῳ προσῆλθον καὶ ἐστεφάνουν αὐτὸν

parte de sus barcos al pasar sin prácticos por unos bajíos, hasta que él en seguida les envió un práctico que los reintegró al canal.

[2] Se cuenta, a propósito de esta ocasión, la anécdota siguiente: en estas lagunas están las tumbas de muchos reyes asirios, construidas en estos lugares de marismas. Pues bien, navegaba Alejandro por ellos pilotando él mismo, según nos dice la tradición, su trirreme, cuando una racha de fuerte viento le arrebató su sombrero [389] y la diadema real con que se sujetaba el sombrero. Éste fue a hundirse pesadamente en el agua, mientras que la diadema fue arrastrada por la brisa hasta quedar enganchada entre los pastos que crecían sobre la tumba de los antiguos reyes asirios.

[3] Lo que a continuación ocurrió fue un indicio claro del futuro: un marinero se echó a nadar en busca de la diadema y tiró de los pastos para rescatarla, aunque no pudo cogerla con sus manos, pues mientras él nadaba desde el barco aquélla se había ido empapando de agua; tuvo que ceñírsela sobre su cabeza para poder regresar con ella nadando.

[4] Dicen la mayor parte de los historiadores de Alejandro que éste recompensó el arrojo de su soldado con un talento, y que luego mandó que le cortaran la cabeza, siguiendo al tomar esta decisión las indicaciones de los adivinos de que no consintiera que siguiera con vida la cabeza del que se tocara con la diadema del rey [390]. Aristobulo nos dice que el marinero recibió el talento y que fue luego azotado por haberse ceñido la diadema.

[5] Continúa diciendo también Aristobulo que se trataba de un marinero fenicio el que rescató la diadema, y algunos dicen que fue Seleuco. Todo ello se entendió como un claro indicio de la inminente muerte de Alejandro, y del gran imperio que el futuro preparaba a Seleuco. En efecto, Seleuco fue el rey más importante de los que sucedieron a Alejandro, el de mentalidad más regia, el que consiguió dominar la mayor parte del territorio después de Alejandro, de modo inequívoco a mi parecer.

23 . A su regreso a Babilonia se encontró Alejandro con que Peucestas ya había vuelto a Persia, de donde había traído su ejército de veinte mil persas, a más de un buen contingente de coseos y tapuros, que según sus informaciones eran los pueblos más belicosos de todos los alrededores de Persia. También se le presentó por entonces Filóxeno con el ejército de Caria, y Menandro que venía de Lidia, a más de Menidas, acompañado de la caballería que había quedado a su cargo [391]. [2] También comparecieron por entonces diversas embajadas de pueblos griegos, coronados ellos mismos [392]

στεφάνοις χρυσοῖς, ὡς θεωροὶ δῆθεν ἐς τιμὴν θεοῦ ἀφιγμένοι. τῷ δὲ οὐ πόρρω ἄρα ἡ τελευτὴ ἦν. [3] Ἔνθα δὴ τούς τε Πέρσας ἐπαινέσας τῆς προθυμίας, ὅτι πάντα Πευκέστᾳ ἐπείθοντο, καὶ αὐτὸν Πευκέσταν τῆς ἐν κόσμῳ αὐτῶν ἐξηγήσεως, κατέλεγεν αὐτοὺς ἐς τὰς Μακεδονικὰς τάξεις, δεκαδάρχην μὲν τῆς δεκάδος ἡγεῖσθαι Μακεδόνα καὶ ἐπὶ τούτῳ διμοιρίτην Μακεδόνα καὶ δεκαστάτηρον, οὕτως ὀνομαζόμενον ἀπὸ τῆς μισθοφορᾶς, ἥντινα μείονα μὲν τοῦ διμοιρίτου, πλείονα δὲ τῶν οὐκ ἐν τιμῇ στρατευομένων ἔφερεν· [4] ἐπὶ τούτοις δὲ δώδεκα Πέρσας καὶ τελευταῖον τῆς δεκάδος Μακεδόνα, δεκαστάτηρον καὶ τοῦτον, ὥστε ἐν τῇ δεκάδι τέσσαρας μὲν εἶναι Μακεδόνας, τοὺς μὲν τῇ μισθοφορᾷ προὔχοντας, τὸν δὲ τῇ ἀρχῇ τῆς δεκάδος, δώδεκα δὲ Πέρσας, τοὺς μὲν Μακεδόνας τὴν πάτριον ὅπλισιν ὡπλισμένους, τοὺς δὲ Πέρσας τοὺς μὲν τοξότας, τοὺς δὲ καὶ μεσάγκυλα ἔχοντας. [5] Ἐν τούτῳ δὲ πολλάκις μὲν τοῦ ναυτικοῦ ἀπεπειρᾶτο, πολλαὶ δὲ ἔριδες αὐτῷ τῶν τριήρων καὶ ὅσαι τετρήρεις κατὰ τὸν ποταμὸν ἐγίγνοντο, καὶ ἀγῶνες τῶν τε ἐρετῶν και τῶν κυβερνητῶν καὶ στέφανοι τῶν νικώντων. [6] Ἧκον δὲ καὶ παρὰ Ἄμμωνος οἱ θεωροὶ οὕστινας ἐστάλκει ἐρησομένους ὅπως θέμις αὐτῷ τιμᾶν Ἡφαιστίωνα· οἱ δὲ ὡς ἥρωϊ ἔφησαν ὅτι θύειν θέμις ὁ Ἄμμων λέγει. ὁ δὲ ἔχαιρέ τε τῇ μαντείᾳ καὶ τὸ ἀπὸ τοῦδε ὡς ἥρωα ἐγέραιρε.

καὶ Κλεομένει, ἀνδρὶ κακῷ καὶ πολλὰ ἀδικήματα ἀδικήσαντι ἐν Αἰγύπτῳ, ἐπιστέλλει ἐπιστολήν. καὶ ταύτην τῆς μὲν ἐς Ἡφαιστίωνα καὶ ἀποθανόντα φιλίας ἕνεκα καὶ μνήμης οὐ μέμφομαι ἔγωγε, ἄλλων δὲ πολλῶν ἕνεκα μέμφομαι. [7] ἔλεγε γὰρ ἡ ἐπιστολὴ κατασκευασθῆναι Ἡφαιστίωνι ἡρῷον ἐν Ἀλεξανδρείᾳ τῇ Αἰγυπτίᾳ, ἔν τε τῇ πόλει αὐτῇ καὶ ἐν τῇ νήσῳ τῇ Φάρῳ, ἵνα ὁ πύργος ἐστὶν ὁ ἐν τῇ νήσῳ, μεγέθει τε μέγιστον καὶ πολυτελείᾳ ἐκπρεπέστατον, καὶ ὅπως ἐπικρατήσῃ ἐπικαλεῖσθαι ἀπὸ Ἡφαιστίωνος, καὶ τοῖς συμβολαίοις καθ᾽ ὅσα οἱ ἔμποροι ἀλλήλοις ξυμβάλλουσιν ἐγγράφεσθαι τὸ ὄνομα Ἡφαιστίωνος. [8] ταῦτα μὲν οὐκ ἔχω μέμψασθαι, πλήν γε δὴ ὅτι οὐκ ἐπὶ μεγάλοις μεγάλως διεσπουδάζετο. ἐκεῖνα δὲ καὶ πάνυ μέμφομαι.

ἢν γὰρ καταλάβω ἐγώ, ἔλεγε τὰ γράμματα, τὰ ἱερὰ τὰ ἐν Αἰγύπτῳ καλῶς κατεσκευασμένα καὶ τὰ ἡρῷα τὰ Ἡφαιστίωνος, εἴ τέ τι πρότερον ἡμάρτηκας, ἀφήσω σε τούτου, καὶ τὸ λοιπόν, ὁπηλίκον ἂν ἁμάρτῃς, οὐδὲν πείσῃ ἐξ ἐμοῦ ἄχαρι.

y con coronas de oro para Alejandro, como si se tratara de teoros venidos a venerar a algún dios. Muy cerca, en efecto, tenía ya éste su final.
[3] Elogió Alejandro entonces a los persas por su valor, por haber seguido en todo las indicaciones de Peucestas, así como al propio Peucestas, por haber conducido a estos hombres en orden y disciplina. Distribuyó estos hombres entre los batallones macedonios [393], de suerte que un decurión [394] macedonio mandase la sección, y en el siguiente grado un *dimoirítes* macedonio, y un *dekastátero* (llamado así por su soldada, que es inferior a la del *dimoirítes*, pero mayor que la de los que no tienen grado alguno).
[4] En el escalafón venían luego doce persas y el último de la sección era también un macedonio, también un *dekastátero;* en resumen, componían la sección cuatro macedonios, los tres recibían pagas extras, y otro al mando de la sección, y doce persas. Los macedonios estaban equipados con su armamento tradicional, y los persas eran arqueros o lanzadores de jabalinas de correa. [5] Mientras tanto, la flota hacía continuos ejercicios de entrenamiento; eran frecuentes las competiciones entre trirremes y tetrarremes por el río, así como contiendas entre remeros y timoneles, con coronas de premio para los vencedores. [6] Regresaron por entonces del templo de Amón los teoros que Alejandro había despachado a preguntar qué honores era lícito tributar a Hefestión. Éstos dijeron que la contestación de Amón había sido que se le tributaran honores como a un héroe. Le agradó a Alejandro la respuesta del dios, y desde este momento le honró como a un héroe.

Envió entonces una carta a un tal Cleómenes [395], un mal hombre, autor de muchas injusticias en Egipto. Nada tengo yo que reprochar en esta carta por lo que se refiere a la amistad que muestra por Hefestión incluso después de muerto y el respeto a su memoria, aunque sí me parece reprochable por muchos otros aspectos. [7] Encargaba Alejandro en esta carta que se le construyera a Hefestión un templo de héroe en Alejandría (Egipto), uno propiamente en la ciudad, y un segundo templo en la isla de Faros, donde está la torre de la isla, templo que sería de máximas dimensiones y extraordinario por el costo de sus obras. También le encargaba que el templo se denominase Hefestión, nombre que debía inscribirse en los contratos que los comerciantes conviniesen entre sí.
[8] Pienso yo que esto no es nada reprochable, pero sí lo es lo siguiente: Alejandro mostraba un gran empeño en un asunto de no excesiva importancia, y esto sí que merece mi reproche más enérgico. Y es que la carta seguía así:
«Si encuentro los templos de Egipto y el monumento al héroe Hefestión debidamente atendidos, quedas exculpado de cualquier error que hayas podido cometer anteriormente; y, por lo que al futuro respecta, por muy grandes que sean tus errores, no sufrirás de mí castigo alguno.»

τοῦτο ἀνδρὶ ἄρχοντι πολλῆς μὲν χώρας, πολλῶν δὲ ἀνθρώπων ἐκ βασιλέως μεγάλου ἐπεσταλμένον, ἄλλως τε καὶ κακῷ ἀνδρί, οὐκ ἔχω ἐπαινέσαι.

24. Ἀλλὰ γὰρ αὐτῷ ἤδη Ἀλεξάνδρῳ ἐγγὺς ἦν τὸ τέλος. καί τι καὶ τοιόνδε πρὸ τῶν μελλόντων σημῆναι λέγει Ἀριστόβουλος· καταλοχίζειν μὲν αὐτὸν τὴν στρατιὰν τὴν σὺν Πευκέστᾳ τε ἐκ Περσῶν καὶ ἀπὸ θαλάσσης ξὺν Φιλοξένῳ καὶ Μενάνδρῳ ἥκουσαν ἐς τὰς Μακεδονικὰς τάξεις· διψήσαντα δὲ ἀποχωρῆσαι ἐκ τῆς ἕδρας καταλιπόντα ἔρημον τὸν θρόνον τὸν βασίλειον. [2] εἶναι δὲ κλίνας ἑκατέρωθεν τοῦ θρόνου ἀργυρόποδας, ἐφ᾽ ὧν οἱ ἀμφ᾽ αὐτὸν ἑταῖροι ἐκάθηντο. τῶν τινα οὖν ἠμελημένων ἀνθρώπων, οἱ δὲ καὶ τῶν ἐς φυλακῇ ἀδέσμῳ ὄντα λέγουσιν, ἔρημον ἰδόντα τὸν θρόνον καὶ τὰς κλίνας, περὶ τῷ θρόνῳ δὲ ἑστηκότας τοὺς εὐνούχους, καὶ γὰρ καὶ οἱ ἑταῖροι ξυνανέστησαν τῷ βασιλεῖ ἀποχωροῦντι, διελθόντα διὰ τῶν εὐνούχων ἀναβῆναί τε ἐπὶ τὸν θρόνον καὶ καθέζεσθαι. [3] τοὺς δὲ οὐκ ἀναστῆσαι μὲν αὐτὸν ἐκ τοῦ θρόνου κατὰ δή τινα νόμον Περσικόν, περιρρηξαμένους δὲ τύπτεσθαι τά τε στήθη καὶ τὰ πρόσωπα ὡς ἐπὶ μεγάλῳ κακῷ. ταῦτα ὡς ἐξηγγέλθη Ἀλεξάνδρῳ, κελεῦσαι στρεβλωθῆναι τὸν καθίσαντα, μήποτε ἐξ ἐπιβουλῆς ξυντεταγμένον τοῦτο ἔδρασε γνῶναι ἐθέλοντα. τὸν δὲ οὐδὲν ἄλλο κατειπεῖν ὅτι μὴ ἐπὶ νοῦν οἱ ἐλθὸν οὕτω πρᾶξαι· ᾗ δὴ καὶ μᾶλλον ἐπ᾽ οὐδενὶ ἀγαθῷ ξυμβῆναι αὐτῷ οἱ μάντεις ἐξηγοῦντο. [4] Ἡμέραι τε οὐ πολλαὶ ἐπὶ τούτῳ ἐγένοντο καὶ τεθυκὼς τοῖς θεοῖς τάς τε νομιζομένας θυσίας ἐπὶ ξυμφοραῖς ἀγαθαῖς καί τινας καὶ ἐκ μαντείας εὐωχεῖτο ἅμα τοῖς φίλοις καὶ ἔπινε πόρρω τῶν νυκτῶν. δοῦναι δὲ λέγεται καὶ τῇ στρατιᾷ ἱερεῖα καὶ οἶνον κατὰ λόχους καὶ ἑκατοστύας. ἀπὸ δὲ τοῦ πότου αὐτὸν μὲν ἀπαλλάττεσθαι ἐθέλειν ἐπὶ κοιτῶνα εἰσὶν οἳ ἀνέγραψαν· Μήδιον δὲ αὐτῷ ἐντυχόντα, τῶν ἑταίρων ἐν τῷ τότε τὸν πιθανώτατον, δεηθῆναι κωμάσαι παρὰ οἷ· γενέσθαι γὰρ ἂν ἡδὺν τὸν κῶμον.

25. Καὶ αἱ βασίλειοι ἐφημερίδες ὧδε ἔχουσιν· πίνειν παρὰ Μηδίῳ αὐτὸν κωμάσαντα· ἔπειτα ἐξαναστάντα καὶ λουσάμενον καθεύδειν τε καὶ αὖθις δειπνεῖν παρὰ Μηδίῳ καὶ αὖθις πίνειν πόρρω τῶν

Yo no puedo aprobar estas palabras de Alejandro, un gran rey sin duda, dirigidas a un hombre que gobierna un gran país y muy populoso, que era además un malvado.

Nuevos presagios de la muerte de Alejandro.

24 Pero el fin de los días de Alejandro ya se aproximaba. Dice Aristobulo que hubo ciertos indicios de lo que iba a ocurrir, a saber: se hallaba Alejandro distribuyendo entre los diversos batallones los hombres que acababan de llegar con Peucestas de Persia, y los que habían llegado del mar con Filóxeno y Menandro, cuando de pronto sintió sed y abandonó momentáneamente su asiento dejando el trono real vacío. [2] A ambos lados del trono había unos divanes de pies de plata que solían ocupar los Compañeros de Alejandro. De pronto, cierto hombre sin importancia [396] (algunos dicen que era un prisionero en libertad provisional) al ver libre el trono y los divanes (pues precisamente los Compañeros habían acompañado al rey cuando éste se retiró) y cómo los eunucos estaban alrededor del trono, atravesó por medio de éstos, se subió y se sentó en el trono. [3] Los eunucos no le hicieron desalojar el trono, por respeto a cierta costumbre persa, sino que empezaron a rasgarse las vestiduras y a golpearse el pecho y la cara como si se tratara de una gran desgracia.

Al tener Alejandro noticias de este incidente, ordenó someter a tortura al que había ocupado el trono, queriendo saber si esta acción obedecía a algún plan preparado en un complot de personas. El torturado dijo que no había sido sino una ocurrencia personal suya de sentarse en el trono. Ante esto, los adivinos profetizaron que lo que había sucedido no apuntaba precisamente a nada bueno.

[4] No habían transcurrido muchos días después de este incidente, cuando Alejandro, que acababa de ofrecer sacrificios a los dioses según costumbre, en agradecimiento por sus éxitos [397], y otros sacrificios en atención a las indicaciones de los adivinos, celebraba un festín con sus amigos en el que siguió bebiendo hasta muy avanzada la noche. Se dice incluso que repartió a su ejército, por compañías y centurias, víctimas para el sacrificio y también vino. Algunos cuentan que a partir de este momento Alejandro quiso retirarse a su alcoba, pero que le salió a su encuentro Medio [398], uno de los Compañeros, con quien mejor se llevaba por entonces, pidiéndole que volviera a la fiesta con él, pues se trataba de una fiesta muy divertida.

Las «Efemérides Reales».

25 Las *Efemérides* [399] de las actividades reales nos relatan lo siguiente: Alejandro acompañó a Medio a esta fiesta, donde estuvieron bebiendo, y al salir de ella Alejandro se bañó antes de ir a acostarse. Tras dormir un rato, cenó de nuevo con Medio y continuaron bebiendo hasta muy entrada

νυκτῶν· ἀπαλλαχθέντα δὲ τοῦ πότου λούσασθαι· καὶ λουσάμενον ὀλίγον τι ἐμφαγεῖν καὶ καθεύδειν αὐτοῦ, ὅτι ἤδη ἐπύρεσσεν.

[2] ἐκκομισθέντα δὲ ἐπὶ κλίνης πρὸς τὰ ἱερὰ θῦσαι ὡς νόμος ἐφ᾽ ἑκάστῃ ἡμέρᾳ, καὶ τὰ ἱερὰ ἐπιθέντα κατακεῖσθαι ἐν τῷ ἀνδρῶνι ἔστε ἐπὶ κνέφας. ἐν τούτῳ δὲ τοῖς ἡγεμόσι παραγγέλλειν ὑπὲρ τῆς πορείας καὶ τοῦ πλοῦ, τοὺς μὲν ὡς πεζῇ ἰόντας παρασκευάζεσθαι ἐς τετάρτην ἡμέραν, τοὺς δὲ ἅμα οἷ πλέοντας ὡς εἰς πέμπτην πλευσουμένους.

[3] ἐκεῖθεν δὲ κατακομισθῆναι ἐπὶ τῆς κλίνης ὡς ἐπὶ τὸν ποταμόν, καὶ πλοίου ἐπιβάντα διαπλεῦσαι πέραν τοῦ ποταμοῦ ἐς τὸν παράδεισον, κἀκεῖ αὖθις λουσάμενον ἀναπαύεσθαι. ἐς δὲ τὴν ὑστεραίαν λούσασθαί τε αὖθις καὶ θῦσαι τὰ νομιζόμενα· καὶ εἰς τὴν καμάραν εἰσελθόντα κατακεῖσθαι διαμυθολογοῦντα πρὸς Μήδιον · παραγγεῖλαι δὲ καὶ τοῖς ἡγεμόσιν ἀπαντῆσαι ἕωθεν. ταῦτα πράξαντα δειπνῆσαι ὀλίγον· [4] κομισθέντα δὲ αὖθις ἐς τὴν καμάραν πυρέσσειν ἤδη ξυνεχῶς τὴν νύκτα ὅλην· τῇ δὲ ὑστεραίᾳ λούσασθαι καὶ λουσάμενον θῦσαι. Νεάρχῳ δὲ καὶ τοῖς ἄλλοις ἡγεμόσι παραγγεῖλαι τὰ ἀμφὶ τὸν πλοῦν ὅπως ἔσται ἐς τρίτην ἡμέραν. τῇ δὲ ὑστεραίᾳ λούσασθαι αὖθις καὶ θῦσαι τὰ τεταγμένα, καὶ τὰ ἱερὰ ἐπιθέντα οὐκέτι ἐλινύειν πυρέσσοντα. ἀλλὰ καὶ ὣς τοὺς ἡγεμόνας εἰσκαλέσαντα παραγγέλλειν τὰ πρὸς τὸν ἔκπλουν ὅπως αὐτῷ ἔσται ἕτοιμα· λούσασθαί τε ἐπὶ τῇ ἑσπέρᾳ, καὶ λουσάμενον ἔχειν ἤδη κακῶς. [5] τῇ δὲ ὑστεραίᾳ μετακομισθῆναι ἐς τὴν οἰκίαν τὴν πρὸς τῇ κολυμβήθρᾳ καὶ θῦσαι μὲν τὰ τεταγμένα, ἔχοντα δὲ πονήρως ὅμως ἐσκαλέσαι τῶν ἡγεμόνων τοὺς ἐπικαιριωτάτους καὶ ὑπὲρ τοῦ πλοῦ αὖθις παραγγέλλειν. τῇ δ᾽ ἐπιούσῃ μόγις ἐκκομισθῆναι πρὸς τὰ ἱερὰ καὶ θῦσαι, καὶ μηδὲν μεῖον ἔτι παραγγέλλειν ὑπὲρ τοῦ πλοῦ τοῖς ἡγεμόσιν. [6] ἐς δὲ τὴν ὑστεραίαν κακῶς ἤδη ἔχοντα ὅμως θῦσαι τὰ τεταγμένα. παραγγεῖλαι δὲ τοὺς μὲν στρατηγοὺς διατρίβειν κατὰ τὴν αὐλήν, χιλιάρχας δὲ καὶ πεντακοσιάρχας πρὸ τῶν θυρῶν. ἤδη δὲ παντάπασι πονήρως ἔχοντα διακομισθῆναι ἐκ τοῦ παραδείσου ἐς τὰ βασίλεια. εἰσελθόντων δὲ τῶν ἡγεμόνων γνῶναι μὲν αὐτούς, φωνῆσαι δὲ μηδὲν ἔτι, ἀλλὰ εἶναι ἄναυδον· καὶ τὴν νύκτα πυρέσσειν κακῶς καὶ τὴν ἡμέραν, καὶ τὴν ἄλλην νύκτα καὶ τὴν ἡμέραν.

26. Οὕτως ἐν ταῖς ἐφημερίσι ταῖς βασιλείοις ἀναγέγραπται, καὶ ἐπὶ τούτοις ὅτι οἱ στρατιῶται ἐπόθησαν ἰδεῖν αὐτόν, οἱ μέν, ὡς ζῶντα ἔτι

la madrugada. Al dar por terminado el festejo se bañó de nuevo, a continuación comió algo y se acostó allí mismo, pues ya tenía fiebre.

[2] Al día siguiente, sin embargo, fue conducido sobre una litera a celebrar los sacrificios según la costumbre tradicional, y, una vez cumplido con ellos, se quedó echado en el androceo hasta el anochecer. Con todo, daba órdenes a sus generales sobre la marcha y la expedición en barco [400], a los que iban a hacer el trayecto a pie les ordenó que estuvieran preparados para salir dentro de tres días, y a los que iban a embarcarse con él que estuvieran preparados para partir dentro de cuatro días.

[3] Fue conducido Alejandro desde allí en su litera hasta el río, donde embarcó y cruzó hasta el jardín; allí se bañó de nuevo y se retiró a descansar. Al día siguiente se bañó de nuevo y sacrificó según costumbre. Pasó a su cámara y, recostado, conversaba con Medio, citando a sus generales para el día siguiente muy de mañana. Acabadas estas gestiones, comió un [poco y mandó 4] que le llevaran de nuevo a su cámara, donde la fiebre no le abandonó ya durante toda la noche. Al día siguiente se bañó y, después de bañarse, celebró las sacrificios. Encargó a Nearco y los demás generales los preparativos de la expedición, que partiría dentro de dos días. Al día siguiente se bañó de nuevo y sacrificó según costumbre; tras esta celebración siguió la fiebre sin bajar. Mas, aun así, convocó a sus generales, encargándoles que le tuvieran todo preparado para la expedición. Al atardecer se bañó, sintiéndose ya muy enfermo después de este baño.

[5] Al día siguiente lo volvieron a cambiar de sitio, llevándolo a la casa cercana al baño y sacrificó según costumbre. A pesar de encontrarse muy enfermo convocó a sus generales de más categoría para hacerles de nuevo algunas observaciones a propósito de la expedición. Al día siguiente, a duras penas pudo ser conducido al lugar donde celebraba los sacrificios, aunque no dejó por ello de dar recomendaciones a sus generales sobre la expedición.

[6] Al día siguiente ofreció también los usuales sacrificios, a pesar de lo enfermo que estaba.

Ordenó a los generales que le aguardaran en el patio, y a los quiliarcos y pentacosiarcos que lo hicieran a la puerta. Encontrándose ahora gravemente enfermo, fue conducido desde su residencia del jardín a su palacio. Entraron sus generales y pudo aún reconocerles a todos, aunque no les pudo dirigir la palabra, porque sus facultades ya no se lo permitían, por haber quedado sin voz. Toda esta noche la pasó con fiebre, así como el día, y, al igual, la noche y el día siguientes [401].

Éste es el relato que se conserva en las Efemérides del rey.

26. . Se dice, además, que sus soldados estaban ansiosos [402] por verlo; unos, porque querían encontrarlo con vida; y otros,

ἴδοιεν, οἱ δέ, ὅτι τεθνηκέναι ἤδη ἐξηγγέλλετο, ἐπικρύπτεσθαι δὲ αὐτοῦ ἐτόπαζον πρὸς τῶν σωματοφυλάκων τὸν θάνατον, ὡς ἔγωγε δοκῶ· τοὺς πολλοὺς <δὲ> ὑπὸ πένθους καὶ πόθου τοῦ βασιλέως βιάσασθαι ἰδεῖν Ἀλέξανδρον. τὸν δὲ ἄφωνον μὲν εἶναι λέγουσι παραπορευομένης τῆς στρατιᾶς, δεξιοῦσθαι δὲ ὡς ἑκάστους τήν τε κεφαλὴν ἐπαίροντα μόγις καὶ τοῖν ὀφθαλμοῖν ἐπισημαίνοντα. [2] λέγουσι δὲ αἱ ἐφημερίδες αἱ βασίλειοι ἐν τοῦ Σαράπιδος τῷ ἱερῷ Πείθωνά τε ἐγκοιμηθέντα καὶ Ἄτταλον καὶ Δημοφῶντα καὶ Πευκέσταν, πρὸς δὲ Κλεομένην τε καὶ Μενίδαν καὶ Σέλευκον, ἐπερωτᾶν τὸν θεὸν εἰ λῷον καὶ ἄμεινον Ἀλεξάνδρῳ εἰς τὸ ἱερὸν τοῦ θεοῦ κομισθέντα καὶ ἱκετεύσαντα θεραπεύεσθαι πρὸς τοῦ θεοῦ· καὶ γενέσθαι φήμην τινὰ ἐκ τοῦ θεοῦ μὴ κομίζεσθαι εἰς τὸ ἱερόν, ἀλλὰ αὐτοῦ μένοντι ἔσεσθαι ἄμεινον.

[3] ταῦτά τε ἀπαγγεῖλαι τοὺς ἑταίρους καὶ Ἀλέξανδρον οὐ πολὺ ὕστερον ἀποθανεῖν, ὡς τοῦτο ἄρα ἤδη ὂν τὸ ἄμεινον. οὐ πόρρω δὲ τούτων οὔτε Ἀριστοβούλῳ οὔτε Πτολεμαίῳ ἀναγέγραπται. οἱ δὲ καὶ τάδε ἀνέγραψαν, ἐρέσθαι μὲν τοὺς ἑταίρους αὐτὸν ὅτῳ τὴν βασιλείαν ἀπολείπει, τὸν δὲ ὑποκρίνασθαι ὅτι τῷ κρατίστῳ· οἱ δέ, προσθεῖναι πρὸς τούτῳ τῷ λόγῳ ὅτι μέγαν ἐπιτάφιον ἀγῶνα ὁρᾷ ἐφ᾽ αὐτῷ ἐσόμενον.

27. Πολλὰ δὲ καὶ ἄλλα οἶδα ἀναγεγραμμένα ὑπὲρ τῆς Ἀλεξάνδρου τελευτῆς, καὶ φάρμακον ὅτι ἐπέμφθη παρὰ Ἀντιπάτρου Ἀλεξάνδρῳ καὶ ἐκ τοῦ φαρμάκου ὅτι ἀπέθανε· καὶ τὸ φάρμακον ὅτι Ἀριστοτέλης μὲν Ἀντιπάτρῳ ἐξεῦρε δεδοικὼς ἤδη Ἀλέξανδρον Καλλισθένους ἕνεκα, Κάσανδρος[I] δὲ ὁ Ἀντιπάτρου ἐκόμισεν· οἱ δὲ καὶ ὅτι ἐν ἡμιόνου ὁπλῇ ἐκόμισε καὶ τοῦτο ἀνέγραψαν. δοῦναι δὲ αὐτὸ Ἰόλλαν τὸν ἀδελφὸν τὸν Κασάνδρου τὸν νεώτερον· [2] εἶναι γὰρ οἰνοχόον βασιλικὸν τὸν Ἰόλλαν καί τι καὶ λελυπῆσθαι πρὸς Ἀλεξάνδρου ὀλίγῳ πρόσθεν τῆς τελευτῆς· οἱ δὲ καὶ Μήδιον μετασχεῖν τοῦ ἔργου, ἐραστὴν ὄντα τοῦ Ἰόλλα· καὶ αὐτὸν γὰρ εἶναι τὸν εἰσηγητὴν γενόμενον᾽ Ἀλεξάνδρῳ τοῦ κώμου· ὀδύνην τε αὐτῷ ἐπὶ τῇ κύλικι γενέσθαι ὀξεῖαν, καὶ ἐπὶ τῇ ὀδύνῃ ἀπαλλαγῆναι ἐκ τοῦ πότου. [3] ἤδη δέ τις οὐκ ᾐσχύνθη ἀναγράψαι ὅτι

[I] Κάσσανδρος podría ser la forma más correcta.

porque (como se había divulgado la noticia de que ya había muerto) sospechaban que su guardia personal ocultara su muerte; esto es lo que a mí al menos me parece. Lo cierto es que la mayoría de sus hombres, llevados de la pena y la añoranza por su rey, presionaban para poder ver a Alejandro. Decían que cuando el ejército había desfilado ante él, estaba ya sin voz, y que saludaba a cada uno de sus hombres alzando la cabeza con dificultad, fijando en cada uno de ellos sus ojos en señal de reconocimiento.

[2] Narran también las *Efemérides Reales* que Pitón, Átalo, Demofonte, Peucestas y Cleómenes, Menidas y Seleuco estuvieron de guardia toda la noche en el templo Sérapis [403] para preguntar al dios si era conveniente y mejor traer a Alejandro al templo de la divinidad y suplicar su curación al dios. La respuesta, sin embargo, del dios había sido que no le trasladaran al templo, sino que «lo mejor» era que se quedara donde estaba.

[3] Esto es lo que los Compañeros dieron a conocer, y Alejandro poco después murió [404], pues esto era ya «lo mejor». Después de esto, ni Aristobulo ni Tolomeo continúan su relato, aunque otros historiadores añaden que los Compañeros le preguntaron a Alejandro a quién dejaba su reino, a lo que él había contestado: «Al más capaz» [405]. Aún otros dicen que añadió a estas palabras que veía que se iba a celebrar un gran certamen fúnebre a su muerte.

Conjeturas sobre su muerte .

27. Sé que circulan muchas otras versiones acerca de la muerte de Alejandro [406]; por ejemplo, que Antípatro le envió un veneno a resultas del cual murió, veneno [407] que había descubierto Aristóteles precisamente para Antípatro, toda vez que el antiguo preceptor temía a Alejandro después de que éste hubiera dado muerte a Calístenes. El veneno se lo había traído Casandro, el hijo de Antípatro. Otros nos han contado que el veneno vino oculto en la pezuña de una mula y que fue Yolos, el hermano más joven de Casandro, quien se lo dio a Alejandro. [2] En efecto, este Yolos era el escanciador del rey y demostró estar molesto con Alejandro poco antes de su muerte. Según otros, el propio Medio, que era amante de Yolos, tuvo que ver en este hecho. Efectivamente, había sido él quien había inducido a Alejandro a la fiesta, y fue tras esta copa cuando le sobrevino un agudo dolor, a resultas del cual tuvo al poco que abandonar la fiesta. [3] Ha habido alguien, incluso, que no sintió vergüenza en escribir

αἰσθόμενος οὐ βιώσιμον ὄντα αὑτὸν Ἀλέξανδρος ἐς τὸν Εὐφράτην ποταμὸν ᾔει ἐμβαλῶν, ὡς ἀφανὴς ἐξ ἀνθρώπων γενόμενος πιστοτέραν τὴν δόξαν παρὰ τοῖς ἔπειτα ἐγκαταλείποι ὅτι ἐκ θεοῦ τε αὐτῷ ἡ γένεσις ξυνέβη καὶ παρὰ θεοὺς ἡ ἀποχώρησις. Ῥωξάνην δὲ τὴν γυναῖκα οὐ λαθεῖν ἐξιόντα, ἀλλὰ εἰργόμενον γὰρ πρὸς αὐτῆς ἐποιμώξαντα εἰπεῖν ὅτι ἐφθόνησεν ἄρα αὐτῷ δόξης τῆς ἐς ἅπαν, ὡς θεῷ δὴ γεγενημένῳ. καὶ ταῦτα ἐμοὶ ὡς μὴ ἀγνοεῖν δόξαιμι μᾶλλον ὅτι λεγόμενά ἐστιν ἢ ὡς πιστὰ ἐς ἀφήγησιν ἀναγεγράφθω.

28. Ἐτελεύτα μὲν δὴ Ἀλέξανδρος τῇ τετάρτῃ καὶ δεκάτῃ καὶ ἑκατοστῇ Ὀλυμπιάδι ἐπὶ Ἡγησίου ἄρχοντος Ἀθήνησιν· ἐβίω δὲ δύο καὶ τριάκοντα ἔτη καὶ τοῦ τρίτου μῆνας ἐπέλαβεν ὀκτώ, ὡς λέγει Ἀριστόβουλος· ἐβασίλευσε δὲ δώδεκα ἔτη καὶ τοὺς ὀκτὼ τούτους μῆνας, τό τε σῶμα κάλλιστος καὶ φιλοπονώτατος καὶ ὀξύτατος γενόμενος καὶ τὴν γνώμην ἀνδρειότατος καὶ φιλοτιμότατος καὶ φιλοκινδυνότατος καὶ τοῦ θείου ἐπιμελέστατος· [2] ἡδονῶν δὲ τῶν μὲν τοῦ σώματος ἐγκρατέστατος, τῶν δὲ τῆς γνώμης ἐπαίνου μόνου ἀπληστότατος· ξυνιδεῖν δὲ τὸ δέον ἔτι ἐν τῷ ἀφανεῖ ὂν δεινότατος, καὶ ἐκ τῶν φαινομένων τὸ εἰκὸς ξυμβαλεῖν ἐπιτυχέστατος, καὶ τάξαι στρατιὰν καὶ ὁπλίσαι τε καὶ κοσμῆσαι δαημονέστατος· καὶ τὸν θυμὸν τοῖς στρατιώταις ἐπᾶραι καὶ ἐλπίδων ἀγαθῶν ἐμπλῆσαι καὶ τὸ δεῖμα ἐν τοῖς κινδύνοις τῷ ἀδεεῖ τῷ αὑτοῦ ἀφανίσαι, ξύμπαντα ταῦτα γενναιότατος. [3] καὶ οὖν καὶ ὅσα ἐν τῷ ἐμφανεῖ πρᾶξαι, ξὺν μεγίστῳ θάρσει ἔπραξεν, ὅσα τε φθάσας ὑφαρπάσαι τῶν πολεμίων, πρὶν καὶ δεῖσαί τινα αὐτὰ ὡς ἐσόμενα, προλαβεῖν δεινότατος· καὶ τὰ μὲν ξυντεθέντα ἢ ὁμολογηθέντα φυλάξαι βεβαιότατος, πρὸς δὲ τῶν ἐξαπατώντων μὴ ἁλῶναι ἀσφαλέστατος, χρημάτων τε ἐς μὲν ἡδονὰς τὰς αὑτοῦ φειδωλότατος, ἐς δὲ εὐποιΐαν τῶν πέλας ἀφθονώτατος.

29. Εἰ δέ τι ἐπλημμελήθη Ἀλεξάνδρῳ δι᾽ ὀξύτητα ἢ ὑπ᾽ ὀργῆς, ἢ εἴ τι ἐς τὸ ὑπερογκότερον προήχθη βαρβαρίσαι, οὐ μεγάλα τίθεμαι ἔγωγε, εἰ τὴν νεότητά τέ τις τὴν Ἀλεξάνδρου μὴ ἀνεπιεικῶς ἐνθυμηθείη καὶ τὸ διηνεκὲς τῆς εὐτυχίας καὶ τοὺς πρὸς ἡδονήν, οὐκ ἐπὶ τῷ βελτίστῳ, τοῖς βασιλεῦσι ξυνόντας τε καὶ ἐπὶ κακῷ ξυνεσομένους· ἀλλὰ μεταγνῶναί γε ἐφ᾽ οἷς ἐπλημμέλησε μόνῳ οἶδα τῶν πάλαι βασιλέων Ἀλεξάνδρῳ ὑπάρξαι ὑπὸ γενναιότητος. [2] οἱ δὲ πολλοί, εἰ καί τι ἔγνωσαν

que Alejandro, viendo que no podía seguir con vida, pensó arrojarse al río Eufrates y desaparecer así de entre los hombres, dejando para el futuro una fama digna del mayor crédito respecto a que su nacimiento y su desaparación tenían algo de divino y que ver con los dioses. Percatóse, sin embargo, Roxana, su mujer, de que salía y, al impedirle ésta que cumpliera su propósito, dio Alejandro un gran grito lamentándose de que ella sintiera envidia de que su fama se hiciera eterna, como le correspondía por ser de ascendencia divina.

Yo he recogido estos relatos, más por no dar la impresión de que no los conozco, que porque los considere dignos de crédito para ser narrados.

Retrato de Alejandro.

28 Murió, pues, Alejandro en la 114ª Olimpíada, siendo arconte en Atenas Hegesias. Vivió treinta y dos años y ocho meses, según dice Aristobulo. Su reinado duró doce años y ocho meses [408]. Fue el hombre de más bello cuerpo, más amante del esfuerzo y de mente más aguda, el más valeroso y amante de la gloria y de los peligros, así como el más piadoso con los dioses. [2] El de mayor templanza con los placeres del cuerpo y, respecto a los placeres del espíritu, jamás se saciaba su afán de gloria. El más capaz de comprender lo necesario en medio de la mayor oscuridad y el más feliz en conjeturar lo verosímil cuando todo era meridianamente claro. Era también el más experto en organizar, equipar y ordenar un ejército. Como nadie sabía levantar el ánimo de sus soldados y colmarlos de buenas esperanzas, así como eliminar la sensación de miedo en los peligros por su propio desconocimiento de lo que es el miedo; el más noble hombre en todos los asuntos. [3] Cualquier cosa que hubiera que hacer en situaciones difíciles, él lo realizaba con el mayor arrojo; y cuando había que arrebatar algo, adelantándose al enemigo, era el más capaz en anticiparse, antes de que nadie temiera que esto fuera a ocurrirle. De total fiabilidad en guardar lo pactado y convenido, el más astuto en no caer en las trampas de los embaucadores; económico al máximo con el dinero invertido en su propio placer, y muy generoso en beneficiar a los demás.

29 Que en algo errara Alejandro a causa de la precipitación o por imitación, o incluso si llegó a caer en ciertos hábitos bárbaros por un exceso de orgullo, no lo considero grave, si se tiene en consideración, no sin indulgencia, su juventud, sus ininterrumpidos éxitos y el séquito que acompaña a los reyes por adulación, no para aconsejarles en lo mejor y que siempre colaborarán con ellos para su perdición. Sé, por contra, que Alejandro fue el único rey de la antigüedad que sintió arrepentimiento por sus yerros, debido a su noble manera de ser.

[2] Los más de los hombres si advierten que han errado en algo creen

πλημμελήσαντες, οἱ δὲ τῷ προηγορεῖν αὐτοῦ, ὡς καλῶς δὴ πραχθέντος, ἐπικρύψειν οἴονται τὴν ἁμαρτίαν, κακῶς γιγνώσκοντες. μόνη γὰρ ἔμοιγε δοκεῖ ἴασις ἁμαρτίας ὁμολογεῖν τε ἁμαρτόντα καὶ δῆλον εἶναι ἐπ᾽ αὐτῷ μεταγιγνώσκοντα, ὡς τοῖς τε παθοῦσί τι ἄχαρι οὐ πάντῃ χαλεπὰ τὰ παθήματα φαινόμενα, εἰ ὁ δράσας αὐτὰ ξυγχωροίη ὅτι οὐ καλὰ ἔδρασεν, αὐτῷ τέ τινι ἐς τὸ μέλλον ταύτην ἐλπίδα ἀγαθὴν ὑπολειπομένην, μή ποτε ἂν παραπλήσιόν τι ἁμαρτεῖν, εἰ τοῖς πρόσθεν πλημμεληθεῖσιν ἀχθόμενος φαίνοιτο. [3] ὅτι δὲ ἐς θεὸν τὴν γένεσιν τὴν αὐτοῦ ἀνέφερεν, οὐδὲ τοῦτο ἐμοὶ δοκεῖ μέγα εἶναι αὐτῷ τὸ πλημμέλημα, εἰ μὴ καὶ σόφισμα ἦν τυχὸν ἐς τοὺς ὑπηκόους τοῦ σεμνοῦ ἕνεκα. οὔκουν δοκεῖ ἔμοιγε ἢ Μίνως γενέσθαι βασιλεὺς ἀφανέστερος ἢ Αἰακοῦ ἢ Ῥαδαμάνθυος, οἷς δὴ ἐς Δία ἀνενεχθεῖσα ἡ γένεσις πρὸς τῶν πάλαι ἀνθρώπων οὐδεμιᾷ αὐτῶν ὕβρει προστίθεται, οὐδὲ Θησέως τοῦ Ποσειδῶνος οὐδὲ Ἴωνος τοῦ Ἀπόλλωνος. [4] ὡς ἔμοιγε καὶ ἡ Περσικὴ σκευὴ σόφισμα δοκεῖ εἶναι πρός τε τοὺς βαρβάρους, ὡς μὴ πάντῃ ἀλλότριον αὐτῶν φαίνεσθαι τὸν βασιλέα, καὶ πρὸς τοὺς Μακεδόνας, ὡς ἀποστροφήν τινα εἶναι αὐτῷ ἀπὸ τῆς ὀξύτητός τε καὶ ὕβρεως τῆς Μακεδονικῆς· ἐφ᾽ ὅτῳ δὴ καὶ ἐγκαταμῖξαί μοι δοκεῖ ταῖς τάξεσιν αὐτῶν τοὺς Πέρσας τοὺς μηλοφόρους καὶ τοῖς ἀγήμασι τοὺς ὁμοτίμους. καὶ οἱ πότοι δέ, ὡς λέγει Ἀριστόβουλος, οὐ τοῦ οἴνου ἕνεκα μακροὶ αὐτῷ ἐγίγνοντο, οὐ γὰρ πίνειν πολὺν οἶνον Ἀλέξανδρον, ἀλλὰ φιλοφροσύνης τῆς ἐς τοὺς ἑταίρους.

30. Ὅστις δε κακίζει Ἀλέξανδρον, μὴ μόνον ὅσα ἄξια κακίζεσθαί ἐστι προφερόμενος κακιζέτω, ἀλλὰ ξύμπαντα τὰ Ἀλεξάνδρου εἰς ἓν χωρίον ξυναγαγὼν οὕτω δὴ ἐκλογιζέσθω ὅστις τε ὢν αὐτὸς καὶ ὁποίᾳ τύχῃ κεχρημένος ὅντινα γενόμενον ἐκεῖνον καὶ ἐς ὅσον εὐτυχίας τῆς ἀνθρωπίνης ἐλθόντα βασιλέα τε ἀμφοῖν τοῖν ἠπείροιν ἀναμφιλογώτατα γενόμενον καὶ ἐπὶ πᾶν ἐξικόμενον τῷ αὑτοῦ ὀνόματι κακίζει, σμικρότερός τε ὢν αὐτὸς καὶ ἐπὶ σμικροῖς πονούμενος καὶ οὐδὲ ταῦτα ἐν κόσμῳ τιθέμενος. [2] ὡς ἔγωγε δοκῶ ὅτι οὔτε τι ἔθνος ἀνθρώπων οὔτε τις πόλις ἐν τῷ τότε ἦν οὔτε τις εἷς ἄνθρωπος εἰς ὃν οὐ πεφοιτήκει τὸ Ἀλεξάνδρου ὄνομα. οὔκουν οὐδὲ ἐμοὶ ἔξω τοῦ θείου φῦναι ἂν δοκεῖ ἀνὴρ οὐδενὶ ἄλλῳ ἀνθρώπων ἐοικώς. καὶ ταῦτα χρησμοί τε ἐπισημῆναι ἐπὶ τῇ τελευτῇ τῇ Ἀλεξάνδρου λέγονται καὶ

que acudiendo en defensa de su yerro, como si de algo positivo se tratara, van a lograr ocultar su yerro, cuando la verdad es que se equivocan con ese comportamiento. En efecto, a mí me parece que el único remedio cuando uno se equivoca es reconocer el propio error, y el manifiesto propósito de rectificar a la vista de ello, porque a quien le toca sufrir las consecuencias del error no le parecen tan graves estas consecuencias si el que ha errado reconoce que no ha obrado rectamente. Quedan además para el autor del yerro, con vistas al futuro, el sano propósito de no cometer semejante error en lo sucesivo, si de verdad se lamenta por sus yerros anteriores.

[3] Ni siquiera me parece un grave error de Alejandro el hecho de que retrotrajera su ascendencia al linaje divino, si se trataba de no otra cosa que de una añagaza de cara a sus súbditos, y por darse mayor dignidad [409]. Es más, a mi parecer, no fue un rey menos famoso que Minos, Eaco o Radamante, quienes habían hecho remontar su origen hasta Zeus, sin que por ello los hombres de antes lo considerasen un acto de arrogancia. Lo mismo ocurrió con Teseo, que se hizo pasar por hijo de Posidón, o con Ión, hijo de Apolo.

[4] La indumentaria persa, a mi parecer, fue igualmente una añagaza cara a los bárbaros, para que su rey no les resultara por completo un extraño; también tenía ello un valor para los macedonios, a saber, marcar un distanciamiento de la arrogancia e insolencia propias de los macedonios. Por esta misma razón me parece a mí que entremezcló a los persas melóforos con los batallones macedonios, y los nobles persas con los componentes de cada *ágēma*. Incluso los festines los prolongaba Alejandro, según dice Aristobulo, no por beber, ya que Alejandro no fue gran bebedor, sino por su espíritu de camaradería con los Compañeros [410].

30 Cualquiera que hable mal de Alejandro, que lo haga contando no sólo las cosas censurables que Alejandro hizo, sino que junte todo lo que Alejandro llevó a cabo, y vea así el conjunto. Que considere ese tal quién es él mismo y cuál es su suerte, y frente a eso, que calcule quién llegó a ser Alejandro y hasta qué grado de humana felicidad llegó, convertido en soberano indiscutible de ambos continentes y que alcanzó a expandir su fama a todas partes. Que hable mal ese tal de Alejandro, él que será un personajillo insignificante que se ocupa en pequeñeces y es incapaz incluso de poner orden en ellas.

[2] A mi parecer no hay pueblo, ni ciudad actual, ni un solo hombre a quien no haya alcanzado la fama de Alejandro. Es más, creo que un hombre así, sin par en el humano linaje, no ha podido nacer sin alguna intervención divina.

Aún dicen que algunos presagios vaticinaron la muerte de Alejandro; a

φάσματα ἄλλα ἄλλοις γενόμενα καὶ ἐνύπνια φανέντα ἄλλα ἄλλοις καὶ ἡ ἐς τοῦτο ἐξ ἀνθρώπων τιμή τε αὐτοῦ καὶ μνήμη οὐκ ἀνθρωπίνη οὖσα, καὶ νῦν δὲ διὰ τοσούτου ἄλλοι χρησμοὶ ἐπὶ τῇ τιμῇ αὐτοῦ τῷ ἔθνει τῷ Μακεδόνων χρησθέντες. [3] ἐπεὶ καὶ αὐτὸς ἐμεμψάμην ἔστιν ἃ ἐν τῇ ξυγγραφῇ τῶν Ἀλεξάνδρου ἔργων, ἀλλὰ αὐτόν γε Ἀλέξανδρον οὐκ αἰσχύνομαι θαυμάζων· τὰ δὲ ἔργα ἐκεῖνα ἐκάκισα ἀληθείας τε ἕνεκα τῆς ἐμῆς καὶ ἅμα ὠφελείας τῆς ἐς ἀνθρώπους· ἐφ᾽ ὅτῳ ὡρμήθην οὐδὲ αὐτὸς ἄνευ θεοῦ ἐς τήνδε τὴν ξυγγραφήν.

algunas personas se les aparecieron visiones, así como a otros ensueños de distintas clases; a esta vinculación con la divinidad apuntaba también la alta estima de que Alejandro gozaba entre los hombres, así como su recuerdo, impropio de un mortal. Es más, aun hoy en día, después de tantos años, circulan entre el pueblo macedonio algunos oráculos alusivos a su alta gloria.

[3] Ésta es mi historia de Alejandro, en la que he reprobado algunas de sus acciones, aunque no me avergüenzo de confesar mi admiración por él, ya que si afeé algunas acciones suyas fue en honor a mi verdad y por servir de alguna utilidad a la humanidad. Fue por ello por lo que yo mismo me decidí a escribir esta historia, no sin el concurso de la divinidad.

LIBRO VIII INDIA

SINOPSIS

CAPÍTULOS:

1-3. Descripción física del país.
4 Hidrografía.
5 Dioniso en la India.
6 Pluviometría.
7-10 Etnografía.
11-12 .Las castas en la India.
13-14. Caza de elefantes.
15 . Hormigas que extraen oro de la tierra. Otros animales.
16-17. Indumentaria y otras costumbres de los indios.
18-25. Comienzos de la expedición de Nearco.
26-27 En el país de los ictiófagos.
28-29 Estratagema de Nearco.
30 Fauna marina de estos mares.
31 Leyendas sobre islas fantásticas.
32-33 Continúa la expedición por costas de Carmania.
34-36 Nearco en busca de Alejandro.
37-41. Nearco reemprende su periplo.
42 Camino hacia Susa.
43 La península Arábiga.

1. Τὰ ἔξω Ἰνδοῦ ποταμοῦ τὰ πρὸς ἑσπέρην ἔστε ἐπὶ ποταμὸν Κωφῆνα Ἀστακηνοὶ καὶ Ἀσσακηνοί, ἔθνεα Ἰνδικά, ἐποικέουσιν, [2] ἀλλ᾽ οὔτε μεγάλοι τὰ σώματα, καθάπερ οἱ ἐντὸς τοῦ Ἰνδοῦ ᾠκισμένοι, οὔτε ἀγαθοὶ ὡσαύτως τὸν θυμὸν οὐδὲ μέλανες ὡσαύτως τοῖς πολλοῖς Ἰνδοῖσιν. [3] οὗτοι πάλαι μὲν Ἀσσυρίοις ὑπήκοοι ἦσαν, ἔπει<τα Μήδοισιν, ἐπὶ> δὲ Μήδοισι Περσέων ἤκουον, καὶ φόρους ἀπέφερον Κύρῳ τῷ Καμβύσου ἐκ τῆς γῆς σφῶν, οὓς ἔταξε Κῦρος. [4] Νυσαῖοι δὲ οὐκ Ἰνδικὸν γένος ἐστίν, ἀλλὰ τῶν ἅμα Διονύσῳ ἐλθόντων ἐς τὴν γῆν τὴν Ἰνδῶν, τυχὸν μὲν [καὶ] Ἑλλήνων, ὅσοι ἀπόμαχοι αὐτῶν ἐγένοντο ἐν τοῖς πολέμοις οὕστινας πρὸς Ἰνδοὺς Διόνυσος ἐπολέμησε, τυχὸν δὲ καὶ τῶν ἐπιχωρίων [5] τοὺς ἐθέλοντας τοῖς Ἕλλησι συνῴκισε, τήν τε χώρην Νυσαίην ὠνόμασεν ἀπὸ τοῦ ὄρεος[1] τῆς Νύσης Διόνυσος καὶ τὴν πόλιν αὐτὴν Νῦσαν. [6] καὶ τὸ ὄρος τὸ πρὸς τῇ πόλει, ὅτου ἐν τῇσιν ὑπωρείῃσιν ᾤκισται ἡ Νῦσα, Μηρὸς κληίζεται ἐπὶ τῇ συμφορῇ ᾗτινι ἐχρήσατο εὐθὺς γενόμενος. [7] ταῦτα μὲν οἱ ποιηταὶ ἐπὶ Διονύσῳ ἐποίησαν, καὶ ἐξηγείσθων αὐτὰ ὅσοι λόγιοι Ἑλλήνων ἢ βαρβάρων· [8] ἐν Ἀσσακηνοῖσι δὲ Μάσσακα, πόλις μεγάλη, ἵναπερ καὶ τὸ κράτος τῆς γῆς ἐστι τῆς Ἀσσακίης· καὶ ἄλλη πόλις Πευκελαῗτις, μεγάλη καὶ αὐτή, οὐ μακρὰν τοῦ Ἰνδοῦ. ταῦτα μὲν ἔξω τοῦ Ἰνδοῦ ποταμοῦ ᾤκισται πρὸς ἑσπέρην ἔστε ἐπὶ τὸν Κωφῆνα·

2. τὰ δὲ ἀπὸ τοῦ Ἰνδοῦ πρὸς ἕω, τοῦτό μοι ἔστω ἡ Ἰνδῶν γῆ καὶ Ἰνδοὶ οὗτοι ἔστωσαν. ὅροι δὲ τῆς Ἰνδῶν γῆς πρὸς μὲν βορέου ἀνέμου ὁ Ταῦρος τὸ ὄρος. [2] καλέεται δὲ οὐ Ταῦρος ἔτι ἐν τῇ γῇ ταύτῃ, ἀλλὰ ἄρχεται μὲν ἀπὸ θαλάσσης ὁ Ταῦρος τῆς κατὰ Παμφύλους τε καὶ Λυκίην καὶ Κίλικας παρατείνει τε ἔστε τὴν πρὸς ἕω θάλασσαν, τέμνων τὴν Ἀσίην πᾶσαν, [3] ἄλλο δὲ ἄλλῃ καλέεται τὸ ὄρος, τῇ μὲν Παραπάμισος, τῇ δὲ Ἠμωδός, ἄλλῃ δὲ Ἴμαον κληίζεται, καὶ τυχὸν ἄλλα καὶ ἄλλα ἔχει οὐνόματα. [4] Μακεδόνες δὲ οἱ ξὺν Ἀλεξάνδρῳ στρατεύσαντες Καύκασον αὐτὸ ἐκάλεον, ἄλλον τοῦτον Καύκασον, οὐ τὸν Σκυθικόν, ὡς καὶ [τὸν] ἐπέκεινα τοῦ Καυκάσου λόγον κατέχειν ὅτι ἦλθεν Ἀλέξανδρος.

[1] He restaurado la lectura de A. Roos enmienda a τῆς τροφοῦ, cf. Anab. v 1, 6.

Descripción física [411].

1 El territorio que se encuentra al Oeste del río Indo hasta el límite con el río Cofén lo ocupan los astacenos y los asacenos, que son dos pueblos de raza india, [2] aunque su estatura no es tan alta, ni tan bravos de ánimo como los indios que viven al Este del Indo, ni su tez tan morena como la de la mayoría de los indios. [3] Desde muy antiguo estos pueblos vivieron sometidos a los asirios; algo más tarde, a los medos, y, luego, han sido súbditos de los persas, y llegaron a pagar tributos a Ciro, el hijo de Cambises, por su propia tierra, según el propio Ciro estipuló. [4] Los niseos [412], en cambio, no son de raza india, sino que su ascendencia se remonta a los que acompañaron a Dioniso en su expedición a la India. Algunos de ellos eran griegos que, a resultas de las guerras que Dioniso mantuvo con los indios, habían quedado inútiles para el servicio de las armas; [5] otros eran voluntarios nativos de la zona que quisieron asentarse allí junto con los griegos antes citados, cuando Dioniso dio el nombre de Nisea a esta región, tomándolo del nombre del monte Niseo, y llamó a la ciudad Nisa. [6] Por su parte, el monte vecino de la ciudad, a cuyos pies se levanta Nisa, se denominó Muslo [413], en recuerdo de las circunstancias en que Dioniso vino al mundo. [7] Esto, al menos, es lo que nos dicen los poetas sobre Dioniso; y que lo expliquen como quieran los especialistas en historia, sean griegos o bárbaros. [8] En el territorio de los asacenos se encuentra Masaca, ciudad importante, que es la sede del gobierno de los asacenos. También hay otra ciudad de importancia llamada Peucelótide, no lejos del Indo. Éste es el territorio habitado que se extiende al Oeste del río Indo hasta el río Cofén.

2 Para mí, sin embargo, el territorio de la India es el que se extiende desde el Indo hasta el Este, y son los habitantes de estos territorios los que propiamente reciben el nombre de indios. Los límites de la India son, pues, los siguientes: por el Norte, el monte Tauro ([2] aunque en este país no recibe este monte el nombre de Tauro); comienza esta estribación del Tauro en el mar de Panfilia, Licia y Cilicia, y se extiende hasta el mar Oriental atravesando toda el Asia.

[3] Según las distintas regiones, este monte recibe nombres distintos; así, se le llama en algunos sitios Parapamiso, en otros lugares se le conoce con el nombre de Emodo [414]; en otros, Imaón, y así muchos otros nombres.

[4] Los macedonios que acompañaban a Alejandro lo llamaron Cáucaso, distinto, sin embargo, del otro Cáucaso, el escita. De ahí el dicho de que Alejandro llegó, incluso, más allá del monte Cáucaso [415].

[5] τὰ πρὸς ἑσπέρην δὲ τῆς Ἰνδῶν γῆς ὁ ποταμὸς ὁ Ἰνδὸς ἀπείργει ἔστε ἐπὶ τὴν μεγάλην θάλασσαν, ἵναπερ αὐτὸς κατὰ δύο στόματα ἐκδιδοῖ, οὐ συνεχέα ἀλλήλοισι τὰ στόματα, [6] κατάπερ τὰ πέντε τοῦ Ἴστρου ἐστὶ συνεχέα, ἀλλ᾽ ὡς τὰ τοῦ Νείλου, ὑπ᾽ ὅτων τὸ Δέλτα ποιέεται τὸ Αἰγύπτιον, ὧδέ τι καὶ τῆς Ἰνδῶν γῆς Δέλτα ποιέει ὁ Ἰνδὸς ποταμός, οὐ μεῖον τοῦ Αἰγυπτίου, καὶ τοῦτο Πάταλα τῇ Ἰνδῶν γλώσσῃ καλέεται. [7] τὸ δὲ πρὸς νότου τε ἀνέμου καὶ μεσαμβρίης αὐτὴ ἡ μεγάλη θάλασσα ἀπείργει τὴν Ἰνδῶν γῆν, καὶ τὰ πρὸς ἕω ἡ αὐτὴ θάλασσα ἀπείργει. [8] τὰ μὲν πρὸς μεσημβρίης κατὰ Πάταλά τε καὶ τοῦ Ἰνδοῦ τὰς ἐκβολὰς ὤφθη πρός τε Ἀλεξάνδρου καὶ Μακεδόνων καὶ πολλῶν Ἑλλήνων· τὰ δὲ πρὸς ἕω Ἀλέξανδρος μὲν οὐκ ἐπῆλθε τὰ [δὲ] πρόσω ποταμοῦ Ὑφάσιος, [9] ὀλίγοι δὲ ἀνέγραψαν τὰ μέχρι ποταμοῦ Γάγγεω καὶ ἵνα τοῦ Γάγγεω αἱ ἐκβολαὶ καὶ πόλις Παλίμβοθρα μεγίστη Ἰνδῶν πρὸς τῷ Γάγγῃ.

3. ἐμοὶ δὲ Ἐρατοσθένης ὁ Κυρηναῖος πιστότερος ἄλλου ἔστω, ὅτι γῆς περιόδου πέρι ἔμελεν Ἐρατοσθένει. [2] οὗτος ἀπὸ τοῦ ὄρεος τοῦ Ταύρου, ἵνα τοῦ Ἰνδοῦ αἱ πηγαί, παρ᾽ αὐτὸν <τὸν> Ἰνδὸν ποταμὸν ἰόντι ἔστε ἐπὶ τὴν μεγάλην θάλασσαν καὶ τοῦ Ἰνδοῦ τὰς ἐκβολὰς μυρίους σταδίους καὶ τρισχιλίους τὴν πλευρὴν λέγει ἐπέχειν τῆς γῆς τῆς Ἰνδῶν. [3] ταυτησὶ δὲ ἀντίπορον πλευρὴν ποιέει τὴν ἀπὸ τοῦ αὐτοῦ ὄρεος παρὰ τὴν ἑῴην θάλασσαν, οὐκέτι ταύτῃ τῇ πλευρῇ ἴσην, ἀλλὰ ἄκρην γὰρ ἀνέχειν ἐπὶ μέγα εἴσω εἰς τὸ πέλαγος, ἐς τρισχιλίους σταδίους μάλιστα ἀνατείνουσαν τὴν ἄκρην· εἴη ἂν ὦν αὐτῷ ἡ πλευρὴ τὴς Ἰνδῶν γῆς <ἡ> πρὸς ἕω μυρίους καὶ ἑξακισχιλίους σταδίους ἐπέχουσα. τοῦτο μὲν αὐτῷ πλάτος τῆς Ἰνδῶν γῆς συμβαίνει, [4] μῆκος δὲ τὸ ἀπ᾽ ἑσπέρης ἐπὶ ἕω ἔστε μὲν ἐπὶ πόλιν Παλίμβοθρα μεμετρημένον σχοίνοισι λέγει ἀναγράφειν καὶ — εἶναι γὰρ ὁδὸν βασιληίην —τοῦτο ἐπέχειν ἐς μυρίους σταδίους· [5] τὰ δὲ ἐπέκεινα οὐκέτι ὡσαύτως ἀτρεκέα· φήμας δὲ ὅσοι ἀνέγραψαν, ξὺν τῇ ἄκρῃ τῇ ἀνεχούσῃ ἐς τὸ πέλαγος ἐς μυρίους σταδίους μάλιστα ἐπέχειν λέγουσιν· εἶναι δὲ ἂν ὦν τὸ μῆκος τῆς Ἰνδῶν γῆς σταδίων μάλιστα δισμυρίων. [6] Κτησίης δὲ ὁ Κνίδιος τὴν Ἰνδῶν γῆν ἴσην τῇ ἄλλῃ Ἀσίῃ λέγει, οὐδὲν λέγων, οὐδὲ Ὀνησίκριτος, τρίτην μοῖραν τῆς πάσης γῆς. Νέαρχος δὲ μηνῶν τεσσάρων ὁδὸν τὴν δι᾽ αὐτοῦ τοῦ πεδίου τῆς Ἰνδῶν γῆς.

[5] El límite de la India por el Oeste es el río Indo hasta su desembocadura en el Gran Mar, donde desemboca por dos brazos que no se unen entre sí como ocurre [6] con las cinco bocas del Istro, sino que fluyen al igual que las bocas del Nilo, formando el delta egipcio, de suerte que el delta [416] que el río Indo origina en la India es no menor que el de Egipto y recibe, en lengua india, el nombre de Pátala.

[7] La India limita al Sur y al Este con el mismo Gran Mar. [8] Alejandro, acompañado de sus macedonios y muchos griegos, inspeccionó la parte del Sur y los alrededores de Pátala, además de las desembocaduras del Indo; por el Este, en cambio, Alejandro no se adentró más allá del río Hífasis.

[9] Pocos son los historiadores que han descrito el territorio que hay próximo al río Ganges, ni dónde están sus desembocaduras, ni la ciudad de Palimbotra [417], que es la mayor ciudad india a orillas del Ganges.

3 Para mí, es Eratóstenes [418] el de Cirene el autor más digno de crédito de todos, pues era un hombre dedicado por completo al estudio de la Geografía.

[2] Según él, la extensión de la India [419], midiendo desde el monte Tauro (que es donde nacen las fuentes del Indo) y bajando por el río Indo hasta llegar al Gran Mar y la desembocadura del río, es de trece mil estadios de latitud.

[3] En cambio, cree Eratóstenes que la parte oriental (que va desde el monte Tauro al mar) tiene otra dimensión distinta, ya que se continúa con un promontorio de unos tres mil estadios que se adentra en el mar; según él, pues, los límites de la India en dirección Este serían de unos dieciséis mil estadios, siendo ésta, por tanto, la medida de su latitud. [4] Afirma Eratóstenes que él ha medido en varas la distancia que hay de Oeste a Este, hasta la ciudad de Palimbotra, gracias a que existe un Camino Real, y que la dimensión es de diez mil estadios, aunque, fuera de ese trayecto, él no se atreve a afirmar nada con seguridad.

[5] Con todo, los que han escrito sobre ello, siquiera sea con valor de anécdota, dicen que la longitud desde el Este al Oeste es de unos diez mil estadios, incluido el promontorio que se proyecta sobre el mar; de ahí que se estime la longitud total de la India en unos veinte mil estadios.

[6] Ctesias [420] de Cnido sostiene que la superficie de la India es equivalente a la del resto del Asia, aunque ello es un completo absurdo, al igual que lo es lo que afirma Onesícrito cuando dice que su superficie es un tercio del total de la tierra. Por su parte, Nearco afirma que el viaje a través de la llanura de la India llevaría unos cuatro meses de marcha.

[7] Μεγασθένει δὲ τὸ ἀπὸ ἀνατολῶν ἐς ἑσπέρην πλάτος ἐστὶ τῆς Ἰνδῶν γῆς ὅ τι περ οἱ ἄλλοι μῆκος ποιέουσι· καὶ λέγει Μεγασθένης μυρίων καὶ ἑξακισχιλίων σταδίων εἶναι ἵναπερ τὸ βραχύτατον αὐτοῦ. [8] τὸ δὲ ἀπὸ ἄρκτου πρὸς μεσημβρίην, τοῦτο δὲ αὐτῷ μῆκος γίνεται, καὶ ἐπέχει <σταδίους> τριηκοσίους καὶ δισχιλίους καὶ δισμυρίους ἵναπερ τὸ στενότατον αὐτοῦ. [9] ποταμοὶ δὲ τοσοίδε εἰσὶν ἐν τῇ Ἰνδῶν γῇ ὅσοι οὐδὲ ἐν τῇ πάσῃ Ἀσίῃ. μέγιστοι μὲν ὁ Γάγγης τε καὶ ὁ Ἰνδός, ὅτου καὶ ἡ γῆ ἐπώνυμος, ἄμφω τοῦ τε Νείλου τοῦ Αἰγυπτίου καὶ τοῦ Ἴστρου τοῦ Σκυθικοῦ, καὶ εἰ ἐς ταὐτὸ συνέλθοι αὐτοῖσι τὸ ὕδωρ, μέζονες.

[10] δοκέειν δὲ ἔμοιγε, καὶ ὁ Ἀκεσίνης μέζων ἐστὶ τοῦ τε Ἴστρου καὶ τοῦ Νείλου, ἵναπερ παραλαβὼν ἅμα τόν τε Ὑδάσπεα καὶ τὸν Ὑδραώτεα καὶ τὸν Ὕφασιν ἐμβάλλει ἐς τὸν Ἰνδόν, ὡς καὶ τριάκοντα αὐτῷ στάδια τὸ πλάτος ταύτῃ εἶναι· καὶ τυχὸν καὶ ἄλλοι πολλοὶ μέζονες ποταμοὶ ἐν τῇ Ἰνδῶν γῇ ῥέουσιν.

4. ἀλλὰ οὔ μοι ἀτρεκὲς ὑπὲρ τῶν ἐπέκεινα Ὑφάσιος ποταμοῦ ἰσχυρίσασθαι, ὅτι οὐ πρόσω τοῦ Ὑφάσιος ἦλθεν Ἀλέξανδρος. [2] αὐτοῖν δὲ τοῖν μεγίστοιν ποταμοῖν τοῦ τε Γάγγεω καὶ τοῦ Ἰνδοῦ τὸν Γάγγεα μεγέθει πολύ τι ὑπερφέρειν Μεγασθένης ἀνέγραψε, καὶ ὅσοι ἄλλοι μνήμην τοῦ Γάγγεω ἔχουσιν· [3] αὐτόν τε γὰρ μέγαν ἀνίσχειν ἐκ τῶν πηγέων, δέχεσθαί τε ἐς ἑωυτὸν τόν τε Καϊνὰν ποταμὸν καὶ τὸν Ἐραννοβόαν καὶ τὸν Κοσσόανον, πάντας πλωτούς, ἔτι δὲ Σῶνόν τε ποταμὸν καὶ Σιττόκατιν καὶ Σολόματιν, καὶ τούτους πλωτούς, [4] ἐπὶ δὲ Κονδοχάτην τε καὶ Σάμβον καὶ Μάγωνα καὶ Ἀγόρανιν καὶ Ὤμαλιν. ἐμβάλλουσι δὲ ἐς αὐτὸν Κομμινάσης τε μέγας ποταμὸς καὶ Κάκουθις καὶ Ἀνδώματις ἐξ ἔθνεος Ἰνδικοῦ τοῦ Μαδυανδινῶν ῥέων, [5] καὶ ἐπὶ τούτοισιν Ἄμυστις παρὰ πόλιν Καταδούπην, καὶ Ὀξύμαγις ἐπὶ <τοῖσι> Παζάλαις καλουμένοισι· καὶ Ἐρέννεσις ἐν Μάθαις, ἔθνει Ἰνδικῷ, συμβάλλει τῷ Γάγγῃ. [6] τούτων λέγει Μεγασθένης οὐδένα εἶναι τοῦ Μαιάνδρου ἀποδέοντα, ἵναπερ ναυσίπορος ὁ Μαίανδρος.

[7] εἶναι ὢν τὸ εὖρος τῷ Γάγγῃ, ἔνθαπερ αὐτὸς ἑωυτοῦ στεινότατος, ἐς ἑκατὸν σταδίους· πολλαχῇ δὲ καὶ λιμνάζειν, ὡς μὴ ἄποπτον εἶναι τὴν πέρην χώρην, ἵναπερ χθαμαλή τέ ἐστι καὶ οὐδαμῇ γηλόφοισιν ἀνεστηκυῖα. [8] τῷ δὲ Ἰνδῷ ἐς ταὐτὸν ἔρχεται. Ὑδραώτης μὲν ἐν Καμβισθόλοις, παρειληφὼς τόν τε Ὕφασιν ἐν Ἀστρύβαις καὶ τὸν

[7] Para Megástenes, en cambio, la latitud de la India va de Este a Oeste, es decir, lo que los demás denominan longitud, y afirma que esta magnitud es de dieciséis mil estadios por su parte más corta. [8] En el sentido norte-sur (lo que él llama longitud) mediría, según él, unos veintitrés mil trescientos estadios por su parte más corta.

[9] En la India hay más ríos que en el resto del Asia, siendo los dos más importantes el Ganges y, luego, el Indo, que es el que da nombre al país. Cada uno de ellos por separado es mayor que el Nilo de Egipto y el Istro [421] de los escitas, aunque estos dos reunieran en uno el cauce de sus aguas.

[10] A mi parecer, incluso el Acesines es mayor que el Istro y el Nilo, al menos después de haber recibido las aguas de sus afluentes Hidaspes, Hidraotes e Hífasis; es decir, cuando el Acesines va a desembocar en el Indo, que llega a adquirir una anchura de unos treinta estadios [422]. Es posible, incluso, que por la India existan otros muchos ríos incluso mayores.

Hidrografía.

4 A mí no me es posible afirmar con certeza nada de los territorios que se extienden más allá del Hífasis, pues fue éste el límite oriental de las expediciones de Alejandro. [2] Megástenes afirma, por su parte, que de estos dos ríos, Ganges e Indo [423], es el Ganges con mucho el más importante (y en ello coinciden todos los que nos han dejado alguna mención del Ganges). [3] Ya en sus fuentes es éste un río considerable, luego recibe, como afluentes, las aguas del Cainas [424], Erannoboas [425] y Cosoanos [426], todos ellos navegables; algo más adelante, el Sonos [427], Sitócatis [428] y Solómatis [429], también navegables.

[4] A ellos se suman el Condocates [430], Sambo [431], Mago [432], Agoranis [433] y Ómalis [434]. Otros afluentes son el Coménases [435], que es un río enorme; el Cacutis [436] y el Andómatis [437], que fluye desde el pueblo indio de los Madiandinos. [5] Tras ellos se incorporan, el Amistis, cerca de la ciudad de Catadupe, y el Oxímagis, en el territorio de los Pázalos. El Errenusis se incorpora al Ganges en territorio de los Mazos, otro pueblo indio.

[6] Según Megástenes, ninguno de estos ríos es inferior al Meandro allá por donde éste es navegable. [7] La anchura del Ganges por su parte más estrecha es de unos cien estadios. Las aguas del río forman en varios lugares unas lagunas enormes, de suerte que no se divisa la otra orilla, si la parte de allá es llana y en ella no se alza alguna colina. [8] Por su parte [438], con el Indo ocurre otro tanto. El Hidraotes desemboca en el Acesines, allá por territorio de los cambistolos, como uno de sus principales afluentes, después de haber recibido las aguas del Hífasis en tierra de los astribos; las del

Σαράγγην ἐκ Κηκαίων καὶ τὸν Νεῦδρον[I] ἐξ Ἀττακηνῶν <ῥέοντα>, ἐς Ἀκεσίνην ἐμβάλλει. [9] Ὑδάσπης δὲ ἐν Συδράκαις[II] ἄγων ἅμα οἷ τὸν Σίναρον ἐν Ἀρίσπῃσιν ἐς τὸν Ἀκεσίνην ἐκδιδοῖ καὶ οὗτος. [10] ὁ δὲ Ἀκεσίνης ἐν Μαλλοῖς ξυμβάλλει τῷ Ἰνδῷ· καὶ Τούταπος δὲ μέγας ποταμὸς ἐς τὸν Ἀκεσίνην ἐκδιδοῖ. τούτων ὁ Ἀκεσίνης ἐμπλησθεὶς καὶ τῇ ἐπικλήσει ἐκνικήσας αὐτὸς τῷ ἑωυτοῦ ἤδη ὀνόματι ἐσβάλλει ἐς τὸν Ἰνδόν. [11] Κωφὴν δὲ ἐν Πευκελαΐτιδι, ἅμα οἷ ἄγων Μαλάμαντόν τε καὶ Σόαστον καὶ Γαροίαν, ἐκδιδοῖ ἐς τὸν Ἰνδόν. [12] καθύπερθε δὲ τουτέων Πάρεννος καὶ Σάπαρνος, οὐ πολὺ διέχοντες, ἐμβάλλουσιν ἐς τὸν Ἰνδόν. Σόανος δὲ ἐκ τῆς ὀρεινῆς τῆς Ἀβισσαρέων ἔρημος ἄλλου ποταμοῦ ἐκδιδοῖ ἐς αὐτόν. καὶ τουτέων τοὺς πολλοὺς Μεγασθένης λέγει ὅτι πλωτοί εἰσιν. [13] οὔκουν ἀπιστίαν χρὴ ἔχειν ὑπέρ τε τοῦ Ἰνδοῦ καὶ τοῦ Γάγγεω μηδὲ συμβλητοὺς εἶναι αὐτοῖσι τόν τε Ἴστρον καὶ τοῦ Νείλου τὸ ὕδωρ. [14] ἐς μέν γε τὸν Νεῖλον οὐδένα ποταμὸν ἐκδιδόντα ἴσμεν, ἀλλ᾽ ἀπ᾽ αὐτοῦ διώρυχας τετμημένας κατὰ τὴν χώρην τὴν Αἰγυπτίην· [15] ὁ δὲ Ἴστρος ὀλίγος μὲν ἀνίσχει ἀπὸ τῶν πηγέων, δέχεται δὲ πολλοὺς ποταμούς, ἀλλὰ οὔτε πλήθει ἴσους τοῖς Ἰνδῶν ποταμοῖσιν, οἳ ἐς τὸν Ἰνδὸν καὶ τὸν Γάγγην ἐκδιδοῦσιν, πλωτοὺς δὲ δὴ καὶ κάρτα ὀλίγους, ὧν τοὺς μὲν αὐτὸς ἰδὼν οἶδα, τὸν Ἔνον τε καὶ τὸν Σάον.

[16] Ἔνος μὲν ἐν μεθορίῳ τῆς Νωρικῶν καὶ Ῥαιτῶν γῆς μίγνυται τῷ Ἴστρῳ, ὁ δὲ Σάος κατὰ Παίονας. ὁ δὲ χῶρος, ἵναπερ συμβάλλουσιν οἱ ποταμοί, Ταυροῦνος καλέεται. ὅστις δὲ καὶ ἄλλον οἶδε ναυσίπορον τῶν ἐς τὸν Ἴστρον ἐκδιδόντων, ἀλλὰ οὐ πολλούς που οἶδε.

5. τὸ δὲ αἴτιον ὅστις ἐθέλει φράζειν τοῦ πλήθεός τε καὶ μεγέθεος τῶν Ἰνδῶν ποταμῶν, φραζέτω· ἐμοὶ δὲ καὶ ταῦτα ὡς ἀκοὴ ἀναγεγράφθω. [2] ἐπεὶ καὶ ἄλλων πολλῶν ποταμῶν οὐνόματα Μεγασθένης ἀνέγραψεν, οἳ ἔξω τοῦ Γάγγεώ τε καὶ τοῦ Ἰνδοῦ ἐκδιδοῦσιν ἐς τὸν ἑῷόν τε καὶ μεσημβρινὸν τὸν ἔξω πόντον, ὥστε τοὺς πάντας ὀκτὼ καὶ πεντήκοντα λέγει ὅτι εἰσὶν Ἰνδοὶ ποταμοί, ναυσίποροι παντες.

Sarange [439], en territorio ceceo, y las del Neudro [440], en tierra de los atacenos. [9] El Hidaspes desemboca también en el Acesines allá por tierra de los oxídracos, después de recibir como afluentes al Sínaro en territorio de los arispos. [10] Por su parte, el Acesines desagua en el Indo allá por tierra de los malios, después de haber recogido las aguas del Tútapo [441], que es también un río considerable. Así el Acesines, con su caudal engrosado por todos estos afluentes, sigue llamándose Acesines hasta que desemboca en el Indo.

[11] El río Cofén [442], que riega la región de Peucelotas, desemboca también en el Indo, después de haber engrosado su caudal con las aportaciones de sus afluentes Malamanto, Soasto y Garrea. [12] Un poco más arriba desembocaron ya en el Indo dos ríos próximos entre sí: el Páreno [443] y el Saparno [444].

El río Sóano [445] lleva sus aguas, aunque sin haber recibido afluente alguno, al Indo desde las montañas de los abisáreos. Si seguimos el testimonio de Megástenes [446], la mayor parte de estos ríos son navegables. [13] No hay, por tanto, que desconfiar de quien afirme acerca del Indo o el Ganges que con ellos no se pueden comparar el Nilo y el Istro, ni aunque éstos juntaran en un solo caudal sus aguas. [14] Es más, nosotros sabemos que el Nilo no recibe agua de ningún afluente, antes bien de él parten numerosos canales que riegan las tierras de Egipto.

[15] Por su parte, el Istro nace muy escaso de agua allá en sus fuentes y, aunque luego recibe numerosos afluentes, no pueden compararse éstos en número a los del Indo o el Ganges, además de que muy pocos de aquéllos son navegables: así al menos puedo yo confirmarlo por lo que respecta al Eno y al Sao, ya que yo mismo los he visitado.

[16] En efecto, el Eno se une al Istro en la frontera de los nóricos [447] y los retos [448], y el Sao lo hace más allá por el territorio de los peonios. La región donde unen sus aguas se denomina Tauruno.

Quizá haya alguien que sepa de algún otro afluente del Istro que sea navegable, pero en todo caso no habrá nadie que conozca muchos.

Dioniso en la India.

5 El que quiera que explique por sí mismo las causas de tantos y tan grandes ríos en la India, pues yo por mi parte no he hecho sino narrarlo según los conocía indirectamente. [2] Megástenes nos ha dejado constancia de los nombres de muchos otros ríos que, además del Ganges y el Indo, desembocan en el Océano por la parte oriental y sur, hasta llegar a un total de cincuenta y ocho ríos en la India, todos ellos navegables.

[I] A: Σύδρον Marquart, Roos.
[II] Marquart: Οὐδράκαις A, Ὀξυδράκαις in most editions.

[3] ἀλλ᾽ οὐδὲ Μεγασθένης πολλὴν δοκέει μοι ἐπελθεῖν τῆς Ἰνδῶν χώρης, πλήν γε <δὴ> ὅτι πλεῦνα ἢ οἱ ξὺν Ἀλεξάνδρῳ τῷ Φιλίππου ἐπελθόντες· συγγενέσθαι γὰρ Σανδροκόττῳ λέγει, τῷ μεγίστῳ βασιλεῖ Ἰνδῶν, καὶ Πώρου ἔτι τούτῳ μείζονι. [4] οὗτος ὦν ὁ Μεγασθένης λέγει, οὔτε Ἰνδοὺς ἐπιστρατεῦσαι οὐδαμοῖσιν ἀνθρώποισιν, οὔτε Ἰνδοῖσιν ἄλλους ἀνθρώπους, [5] ἀλλὰ Σέσωστριν μὲν τὸν Αἰγύπτιον, τῆς Ἀσίας καταστρεψάμενον τὴν πολλήν, ἔστε ἐπὶ τὴν Εὐρώπην σὺν στρατιῇ [6] ἐλάσαντα ὀπίσω ἀπονοστῆσαι, Ἰδάνθυρσον δὲ τὸν Σκύθεα ἐκ Σκυθίης ὁρμηθέντα πολλὰ μὲν τῆς Ἀσίης ἔθνεα καταστρέψασθαι, ἐπελθεῖν δὲ καὶ τὴν Αἰγυπτίων γῆν κρατέοντα. [7] Σεμίραμιν δὲ τὴν Ἀσσυρίην ἐπιχειρέειν μὲν στέλλεσθαι εἰς Ἰνδούς, ἀποθανεῖν δὲ πρὶν τέλος ἐπιθεῖναι τοῖς βουλεύμασιν. ἀλλὰ Ἀλέξανδρον γὰρ στρατεῦσαι ἐπ᾽ Ἰνδοὺς μοῦνον. [8] καὶ πρὸ Ἀλεξάνδρου Διονύσου μὲν πέρι πολλὸς λόγος κατέχει ὡς καὶ τούτου στρατεύσαντος ἐς Ἰνδοὺς καὶ καταστρεψαμένου Ἰνδούς, Ἡρακλέος δὲ πέρι οὐ πολλός. [9] Διονύσου μέν γε καὶ Νῦσα πόλις μνῆμα οὐ φαῦλον τῆς στρατηλασίης, καὶ ὁ Μηρὸς τὸ ὄρος, καὶ ὁ κισσὸς ὅτι ἐν τῷ ὄρει τούτῳ φύεται, καὶ αὐτοὶ οἱ Ἰνδοὶ ὑπὸ τυμπάνων τε καὶ κυμβάλων στελλόμενοι ἐς τὰς μάχας, καὶ ἐσθὴς αὐτοῖσι κατάστικτος ἐοῦσα, κατάπερ τοῦ Διονύσου τοῖσι βάκχοισιν· Ἡρακλέος δὲ οὐ πολλὰ ὑπομνήματα. [10] ἀλλὰ τὴν Ἄορνον γὰρ πέτρην, ἥντινα Ἀλέξανδρος βίῃ ἐχειρώσατο, ὅτι Ἡρακλέης οὐ δυνατὸς ἐγένετο ἐξελεῖν, Μακεδονικὸν δοκέει μοί τι κόμπασμα, κατάπερ ὦν καὶ τὸν Παραπάμισον Καύκασον ἐκάλεον Μακεδόνες, οὐδέν τι προσήκοντα τοῦτον τῷ Καυκάσῳ. [11] καί τι καὶ ἄντρον ἐπιφρασθέντες ἐν Παραπαμισάδαισι, τοῦτο ἔφασαν ἐκεῖνο εἶναι τοῦ Προμηθέως τοῦ Τιτῆνος τὸ ἄντρον, ἐν ὅτῳ ἐκρέματο ἐπὶ τῇ κλοπῇ τοῦ πυρός. [12] καὶ δὴ καὶ ἐν Σίβαισιν, Ἰνδικῷ γένει, ὅτι δορὰς ἀμπεχομένους εἶδον τοὺς Σίβας, ἀπὸ τῆς Ἡρακλέους στρατηλασίης ἔφασκον τοὺς ὑπολειφθέντας εἶναι τοὺς Σίβας· καὶ γὰρ καὶ σκυτάλην φορέουσί τε οἱ Σίβαι καὶ τῇσι βουσὶν αὐτῶν ῥόπαλον ἐπικέκαυται, καὶ τοῦτο ἐς μνήμην ἀνέφερον τοῦ ῥοπάλου τοῦ Ἡρακλέους. [13] εἰ δέ τῳ πιστὰ ταῦτα, ἄλλος ἂν οὗτος Ἡρακλέης εἴη, οὐχ ὁ Θηβαῖος ἢ ὁ Τύριος [οὗτος] ἢ ὁ Αἰγύπτιος, ἤ τις καὶ κατὰ τὴν ἄνω χώρην οὐ πόρρω τῆς Ἰνδῶν γῆς ᾠκισμένος μέγας βασιλεύς.

[3] Con todo, Megástenes, al menos según mis informaciones, tampoco recorrió todo el territorio de la India, aunque sí visitó más que los que acompañaron a Alejandro, el hijo de Filipo [449].

Él afirma haberse entrevistado con Sandrácoto [450], que fue el más importante rey de la India, más aún que el rey Poro [451].

[4] Megástenes afirma que los indios no han luchado, ni se han visto en la necesidad de defenderse de ninguna otra expedición que la que hizo Alejandro y sus hombres. [5] El egipcio Sesostris [452], por ejemplo, después de haber sometido la mayor parte de Asia [6] y haber alcanzado con su ejército Europa, volvió sobre sus propios pasos de regreso. Igual ocurrió con el escita Indatirso [453], que partió de Escitia y sometió a varios pueblos de Asia e invadió victorioso el territorio egipcio. [7] Lo mismo pasó con la asiria Semíramis [454], que tenía prevista una incursión contra los indios, pero murió antes de poder poner en práctica sus deseos. De modo que fue Alejandro el único que llevó a efecto una invasión contra los pueblos de la India.

[8] En época anterior a la de Alejandro, según cuenta una tradición muy divulgada, Dioniso condujo una expedición contra los indios y los consiguió derrotar. Aún hay, aunque goza de menor predicamento, otra tradición idéntica respecto de Heracles. [9] Por lo que a la expedición de Dioniso concierne, han quedado como recuerdos nada desdeñables la propia ciudad de Nisa, así como el nombre del monte Muslo [455], y la yedra que en la región crece; también la costumbre india de ir al combate tocando tambores y címbalos, amén de su variegada vestimenta a usanza de los adoradores de Dioniso. De Heracles, en cambio, apenas hay vestigios de sus andanzas por estas tierras. [10] Una ficción me parece a mí esa anécdota referida a la Roca de Aornos [456] (tomada al asalto y por la fuerza por Alejandro, y que Heracles no había podido antes capturar) inventada por los macedonios, al igual que esa otra de llamar Cáucaso al monte Parapamiso que no tiene nada que ver con él.

[11] Enterados, igualmente, de la existencia de una gruta en el monte Parapamiso, ocurrió que los macedonios se apresuraron a afirmar que se trataba de la gruta en que Prometeo había sido colgado por robar el fuego.

[12] También acaeció algo parecido al ver los macedonios a los sibas (otro pueblo indio); pues como éstos suelen ir cubiertos de una gruesa piel, en seguida afirmaron que estos sibas eran los herederos de los soldados que acompañaron a Heracles en su expedición por estas tierras. Es más, como los sibas suelen llevar una escítala [457] y marcan su ganado al fuego con la figura de una escítala, retrotrayeron esta práctica al recuerdo de Heracles y su famosa maza. [13] Si alguien se lo quiere creer, tal vez acepte que no se tratara del Heracles tebano, sino que quizá fuera el Heracles de Tiro, o el egipcio, o incluso es posible que se tratara de un gran rey vecino próximo del territorio de estos indios.

6.ταῦτα μέν μοι ἐκβολὴ ἔστω τοῦ λόγου ἐς τὸ μὴ πιστὰ φαίνεσθαι ὅσα ὑπὲρ τῶν ἐπέκεινα τοῦ Ὑφάσιος ποταμοῦ Ἰνδῶν μετεξέτεροι ἀνέγραψαν· (ἔστε γὰρ ἐπὶ τὸν Ὕφασιν οἱ τῆς Ἀλεξάνδρου στρατηλασίης μετασχόντες οὐ πάντη ἄπιστοί εἰσιν)· [2] ἐπεὶ καὶ τόδε λέγει Μεγασθένης ὑπὲρ ποταμοῦ Ἰνδικοῦ, Σίλαν μὲν εἶναί οἱ ὄνομα, ῥέειν δὲ ἀπὸ κρήνης ἐπωνύμου τοῦ ποταμοῦ διὰ τῆς χώρης τῆς Σιλαίων, καὶ τούτων ἐπωνύμων τοῦ ποταμοῦ τε καὶ τῆς κρήνης, τὸ δὲ ὕδωρ παρέχεσθαι τοιόνδε. [3] οὐδὲν εἶναι ὅτῳ ἀντέχει τὸ ὕδωρ, <καὶ> οὔτε τι νήχεσθαι ἐπ᾽ αὐτοῦ οὔτε τι ἐπιπλεῖν, ἀλλὰ πάντα γὰρ ἐς βυσσὸν δύνειν· οὕτω τι ἀμενηνότερον πάντων εἶναι τὸ ὕδωρ ἐκεῖνο καὶ ἠεροειδέστερον. [4] ὕεται δὲ ἡ Ἰνδῶν γῆ τοῦ θέρεος, μάλιστα μὲν τὰ ὄρεα, Παραπάμισός τε καὶ ὁ Ἠμωδὸς καὶ τὸ Ἰμαϊκὸν ὄρος, καὶ ἀπὸ τουτέων μεγάλοι καὶ θολεροὶ οἱ ποταμοὶ ῥέουσιν. [5] ὕεται δὲ τοῦ θέρους καὶ τὰ πεδία τῶν Ἰνδῶν, ὥστε λιμνάζει τὰ πολλὰ αὐτέων. καὶ ἔφυγεν ἡ Ἀλεξάνδρου στρατιὴ ἀπὸ τοῦ Ἀκεσίνου ποταμοῦ μέσου θέρεος, [6] ὑπερβαλόντος τοῦ ὕδατος ἐς τὰ πεδία. ὥστε ἀπὸ τῶνδε ἔξεστι τεκμηριοῦσθαι καὶ τοῦ Νείλου τὸ πάθημα τοῦτο, ὅτι εἰκὸς [εἶναι] ὕεσθαι τὰ Αἰθιόπων ὄρεα τοῦ θέρεος, καὶ ἀπ᾽ ἐκείνων ἐμπιπλάμενον τὸν Νεῖλον ὑπερβάλλειν ὑπὲρ τὰς ὄχθας ἐς τὴν γῆν τὴν Αἰγυπτίην.

[7] θολερὸς ὢν καὶ οὗτος ῥέει ἐν τῇδε τῇ ὥρῃ, ὡς οὔτε ἂν ἀπὸ χιόνος τηκομένης ἔρρεεν, οὔτε εἰ πρὸς τῶν ὥρῃ θέρεος πνεόντων ἐτησίων ἀνέμων ἀνεκόπτετό οἱ τὸ ὕδωρ· ἄλλως τε οὐδὲ χιονόβλητα εἴη ἂν Αἰθιόπων ὄρεα ὑπὸ καύματος. [8] ὕεσθαι δὲ κατάπερ τὰ Ἰνδῶν οὐκ ἔξω ἐστὶ τοῦ εἰκότος, ἐπεὶ καὶ τἄλλα <ἡ> Ἰνδῶν γῆ οὐκ ἀπέοικε τῆς Αἰθιοπίης καὶ οἱ ποταμοὶ οἱ Ἰνδοὶ ὁμοίως τῷ Νείλῳ τῷ Αἰθιοπηίῳ τε καὶ Αἰγυπτίῳ κροκοδείλους τε φέρουσιν, ἔστιν δὲ οἳ αὐτῶν καὶ ἰχθύας καὶ ἄλλα κήτεα ὅσα ὁ Νεῖλος πλὴν ἵππου τοῦ ποταμίου, — Ὀνησίκριτος δὲ καὶ τοὺς ἵππους τοὺς ποταμίους λέγει ὅτι φέρουσι — [9] τῶν τε ἀνθρώπων αἱ ἰδέαι οὐ πάντη ἀπᾴδουσιν αἱ Ἰνδῶν τε καὶ Αἰθιόπων. οἱ μὲν πρὸς νότου ἀνέμου Ἰνδοὶ τοῖς Αἰθίοψι μᾶλλόν τι ἐοίκασι μέλανές τε ἰδέσθαι εἰσὶ καὶ ἡ κόμη αὐτοῖς μέλαινα, πλήν γε δὴ ὅτι σιμοὶ οὐχ ὡσαύτως οὐδὲ οὐλόκρανοι ὡς Αἰθίοπες. οἱ δὲ βορειότεροι τούτων κατ᾽ Αἰγυπτίους μάλιστα ἂν εἶεν τὰ σώματα.

Pluviometría.

6 Con toda esta digresión, lo que yo pretendo es demostrar lo absurdo que resulta creer lo que muchos han escrito acerca de los indios que viven más allá del río Hífasis. Pues, hasta el Hífasis, no carece totalmente de crédito lo que nos han contado los soldados que participaron en la expedición de Alejandro.

[2] Megástenes nos relata, incluso, esta famosa anécdota: hay un río en la India, al que dan el nombre de Sila [458], que fluye desde una fuente homónima a través del territorio de los silios, llamados también igual que el río y sus fuentes; la singular particularidad de sus aguas [3] es que no soporta nada en su seno, nada pueda nadar ni flotar sobre ella, sino que todo se hunde y va a su fondo. Hasta tal punto carece casi por completo de densidad que es casi gaseosa.

[4] En la India llueve durante la época del verano, sobre todo en las montañas del Parapamiso, el Emodo y el Imaico [459], de donde luego fluyen ríos caudalosos y de terribles aguas. [5] También la llanura india recibe buena cantidad de lluvia en verano [460], de suerte que en buena parte quedan sus campos inundados.

El ejército de Alejandro tuvo que escapar huyendo de un llano donde había acampado junto al Acesines al desbordarse el río ante la avalancha de una enorme crecida.

[6] Por similitud con este fenómeno puede uno conjeturar las causas de la inundación del Nilo: es probable que en las montañas de Etiopía llueva también durante el verano, y así el Nilo, crecido con la avalancha de estas aguas, se desborda por sus orillas inundando la tierra egipcia. [7] Sus aguas bajan turbulentas en esta época, cosa que no ocurriría si fueran aguas de deshielo de las nieves de los lejanos montes (en el improbable caso de que los montes de Etiopía, tan calurosos, tuvieran nieve en sus crestas) o si los vientos etesios de esta época del año interceptaran la corriente en su descenso.

[8] Desde luego es lógico pensar que allí llueva como en la India, ya que en otros muchos aspectos son similares la India y Etiopía; así, lòs ríos de la India, al igual que el Nilo en Etiopía y en Egipto, tienen cocodrilos, y algunos ríos de la India crían peces y otros seres [461] como los del Nilo, excepción hecha del hipopótamo (aunque Onesícrito afirma que también los hay).

[9] El aspecto físico de los habitantes de la India y de los etíopes es considerablemente parecido. Los indios del Sur son especialmente afines a los etíopes: de piel tostada y de cabello negro, aunque los indios no tienen la nariz tan chata ni los cabellos tan lanudos como los etíopes. A su vez, los que habitan el Norte de la India son de fisonomía más similar a los egipcios.

7. ἔθνεα δὲ Ἰνδικὰ εἴκοσι καὶ ἑκατὸν τὰ ἅπαντα λέγει Μεγασθένης, δυοῖν δέοντα. καὶ πολλὰ μὲν εἶναι ἔθνεα Ἰνδικὰ καὶ αὐτὸς συμφέρομαι Μεγασθένει, τὸ δὲ ἀτρεκὲς οὐκ ἔχω εἰκάσαι ὅπως ἐκμαθὼν ἀνέγραψεν, οὐδὲ πολλοστὸν μέρος τῆς Ἰνδῶν γῆς ἐπελθών, οὐδὲ ἐπιμιξίης πᾶσι τοῖς γένεσιν ἐούσης ἐς ἀλλήλους. [2] πάλαι μὲν δὴ νομάδας εἶναι Ἰνδούς, καθάπερ Σκυθέων τοὺς οὐκ ἀροτῆρας, οἳ ἐπὶ τῇσιν ἁμάξῃσι πλανώμενοι ἄλλοτε ἄλλην τῆς Σκυθίης ἀμείβουσιν, οὔτε πόληας οἰκέοντες οὔτε ἱερὰ θεῶν σέβοντες. [3] οὕτω μηδὲ Ἰνδοῖσι πόληας εἶναι μηδὲ ἱερὰ θεῶν δεδομημένα, ἀλλ᾽ ἀμπίσχεσθαι μὲν δορὰς θηρίων ὅσων κατακάνοιεν, σιτέεσθαι δὲ τῶν δενδρέων τὸν φλοιόν. καλέεσθαι δὲ τὰ δένδρεα ταῦτα τῇ Ἰνδῶν φωνῇ τάλα, καὶ φύεσθαι ἐπ᾽ αὐτῶν, κατάπερ τῶν φοινίκων ἐπὶ τῇσι κορυφῇσιν, οἷά περ τολύπας. [4] σιτέεσθαι δὲ καὶ τῶν θηρίων ὅσα ἕλοιεν ὠμοφαγέοντας, πρίν γε δὴ Διόνυσον ἐλθεῖν ἐς τὴν χώρην τῶν Ἰνδῶν. [5] Διόνυσον δὲ ἐλθόντα, ὡς καρτερὸς ἐγένετο Ἰνδῶν, πόληάς τε οἰκίσαι καὶ νόμους θέσθαι τῇσι πόλεσιν, οἴνου τε δοτῆρα Ἰνδοῖς γενέσθαι κατάπερ Ἕλλησι, καὶ σπείρειν διδάξαι τὴν γῆν διδόντα αὐτὸν σπέρματα, [6] ἢ οὐκ ἐλάσαντος ταύτῃ Τριπτολέμου, ὅτε περ ἐκ Δήμητρος ἐστάλη σπείρειν τὴν γῆν πᾶσαν, ἢ πρὸ Τριπτολέμου τις οὗτος Διόνυσος ἐπελθὼν τὴν Ἰνδῶν γῆν σπέρματά σφισιν ἔδωκε καρποῦ τοῦ ἡμέρου. [7] βόας τε ὑπ᾽ ἄροτρον ζεῦξαι Διόνυσον πρῶτον καὶ ἀροτῆρας ἀντὶ νομάδων ποιῆσαι Ἰνδῶν τοὺς πολλοὺς καὶ ὁπλίσαι ὅπλοισι τοῖσιν ἀρηίοισι. [8] καὶ θεοὺς σέβειν ὅτι ἐδίδαξε Διόνυσος ἄλλους τε καὶ μάλιστα δὴ ἑωυτὸν κυμβαλίζοντας καὶ τυμπανίζοντας· καὶ ὄρχησιν δὲ ἐκδιδάξαι τὴν σατυρικήν, [9] τὸν κόρδακα παρ᾽ Ἕλλησι καλούμενον, καὶ κομᾶν [Ἰνδοὺς] τῷ θεῷ μιτρηφορέειν τε ἀναδεῖξαι καὶ μύρων ἀλοιφὰς ἐκδιδάξαι, ὥστε καὶ εἰς Ἀλέξανδρον ἔτι ὑπὸ κυμβάλων τε καὶ τυμπάνων ἐς τὰς μάχας Ἰνδοὶ καθίσταντο.

8. ἀπιόντα δὲ ἐκ τῆς Ἰνδῶν γῆς, ὥς οἱ ταῦτα κεκοσμέατο, καταστῆσαι βασιλέα τῆς χώρης Σπατέμβαν, τῶν ἑταίρων ἕνα τὸν βακχωδέστατον· τελευτήσαντος δὲ Σπατέμβα τὴν βασιληίην ἐκδέξασθαι Βουδύαν τὸν τούτου παῖδα. [2] καὶ τὸν μὲν πεντήκοντα καὶ δύο ἔτεα βασιλεῦσαι Ἰνδῶν, τὸν πατέρα, τὸν δὲ παῖδα εἴκοσιν ἔτεα. καὶ τούτου παῖδα ἐκδέξασθαι τὴν βασιληίην Κραδεύαν, [3] καὶ τὸ ἀπὸ τοῦδε τὸ πολὺ μὲν κατὰ γένος ἀμείβειν τὴν βασιληίην, παῖδα παρὰ πατρὸς ἐκδεχόμενον·

Etnografia.

7 Afirma Megástenes que en la India [462] se cuentan hasta un total de ciento dieciocho tribus [463]. Yo estoy conforme con Megástenes en que son muy numerosas las tribus en la India, aunque no alcanzo a ver cómo pudo hacer un cálculo tan preciso, sin haber recorrido él la mayor parte del país, y cuando estos pueblos apenas tenían contactos ni relaciones entre sí.

[2] En tiempos muy remotos los indios vivían como tribus nómadas, al igual que losescitas, que no practican la agricultura y que, ambulando en sus carros, se trasladaban de un lugar a otro de Escitia, sin habitar en ciudades ni venerar a sus dioses en santuarios.

[3] De igual suerte, los antiguos indios carecían de ciudades y de templos donde venerar a sus dioses. Se vestían con las pieles de los animales que cazaban, y se alimentaban con las cortezas de unos árboles conocidos en lengua india con el nombre de tala [464], en cuya copa, al igual que en las palmeras, crece un espádice.

[4] También les servían de alimento los animales que cazaban, y se los comían crudos, al menos hasta que Dioniso llegó a esta tierra india. [5] Al llegar Dioniso se hizo dueño de la India, fundó ciudades, instituyó en ellas leyes por las que gobernarse, y les enseñó, al igual que a los griegos, a sembrar la tierra proporcionándoles él mismo los granos, y como don especial les trajo el vino.

[6] Todo esto ocurrió, bien porque Triptólemo [465] no llegó a estos confines de la India cuando Deméter le encargó que sembrara la tierra toda, bien porque este Dioniso llegara a esta tierra y repartiera las semillas de las plantas cultivables antes de que viniera Triptólemo.

[7] Dioniso fue el primero en uncir los bueyes al arado, e hizo a los indios agricultores [466] en vez de nómadas como en su mayor parte eran, y los equipó con armas para la guerra.

[8] Dioniso los enseñó a venerar a los dioses, y en particular a venerarle a él con acompañamiento de tambores y címbalos e, igualmente, les enseñó esa danza satírica [9] que entre los griegos se conoce con el nombre de *córdax* [467]. En honor de este dios los indios llevan largos sus cabellos, se tocan su cabeza con una mitra y se acicalan con perfumes. Los indios han conservado hasta tiempos de Alejandro el hábito de acudir al combate al son de tambores y címbalos.

8 Al abandonar Dioniso la India una vez ordenados ya todos estos asuntos, instauró como rey del país a Espatembas, uno de sus acompañantes más profundamente iniciado en los ritos báquicos. A su muerte le sucedió su hijo, Budias. [2] Espatembas reinó durante cincuenta y dos años, y su hijo veinte, y a su muerte le sucedió, a su vez, su hijo, llamado Crádevas, [3] y así se fue transmitiendo por herencia la soberanía de padres a hijos,

εἰ δὲ ἐκλείποι τὸ γένος, οὕτω δὴ ἀριστίνδην καθίστασθαι Ἰνδοῖσι βασιλέας. [4] Ἡρακλέα δέ, ὅντινα ἐς Ἰνδοὺς ἀφικέσθαι λόγος κατέχει, παρ᾽ αὐτοῖσιν Ἰνδοῖσι γηγενέα λέγεσθαι.

[5] τοῦτον τὸν Ἡρακλέα μάλιστα πρὸς Σουρασηνῶν γεραίρεσθαι, Ἰνδικοῦ ἔθνεος, ἵνα δύο πόληες μεγάλαι, Μέθορά τε καὶ Κλεισόβορα· καὶ ποταμὸς Ἰωμάνης πλωτὸς διαρρεῖ τὴν χώρην αὐτῶν· [6] τὴν σκευὴν δὲ οὗτος ὁ Ἡρακλέης ἥντινα ἐφόρεε Μεγασθένης λέγει ὅτι ὁμοίην τῷ Θηβαίῳ Ἡρακλεῖ, ὡς αὐτοὶ Ἰνδοὶ ἀπηγέονται. καὶ τούτῳ ἄρσενας μὲν παῖδας πολλοὺς κάρτα γενέσθαι ἐν τῇ Ἰνδῶν γῇ — πολλῇσι γὰρ δὴ γυναιξὶν ἐς γάμον ἐλθεῖν καὶ τοῦτον τὸν Ἡρακλέα —, θυγατέρα δὲ μουνογενέην. οὔνομα δὲ εἶναι τῇ παιδὶ Πανδαίην, καὶ τὴν χώρην, [7] ἵνα τε ἐγένετο καὶ ἧστινος ἐπέτρεψεν αὐτῇ ἄρχειν Ἡρακλέης, Πανδαίην <καλεῖσθαι> τῆς παιδὸς ἐπώνυμον. καὶ ταύτῃ ἐλέφαντας μὲν γενέσθαι ἐκ τοῦ παρὸς ἐς πεντακοσίους, ἵππον δὲ ἐς τετρακισχιλίην, πεζῶν δὲ ἐς τὰς τρεῖς καὶ δέκα μυριάδας. [8] καὶ τάδε μετεξέτεροι Ἰνδῶν περὶ Ἡρακλέους λέγουσιν, ἐπελθόντα αὐτὸν πᾶσαν γῆν καὶ θάλασσαν καὶ καθήραντα ὅ τι περ κακόν, καινὸν εἶδος ἐξευρεῖν ἐν τῇ θαλάσσῃ κόσμου γυναικηίου, [9] ὅντινα καὶ εἰς τοῦτο ἔτι οἵ τε ἐξ Ἰνδῶν τῆς χώρης τὰ ἀγώγιμα παρ᾽ ἡμέας ἀγινέοντες σπουδῇ ὠνεόμενοι ἐκκομίζουσι, [10] καὶ Ἑλλήνων δὲ πάλαι καὶ Ῥωμαίων νῦν ὅσοι πολυκτέανοι καὶ εὐδαίμονες μέζονι ἔτι σπουδῇ ὠνέονται, τὸν μαργαρίτην δὴ τὸν θαλάσσιον οὕτω τῇ Ἰνδῶν γλώσσῃ καλεόμενον. τὸν γὰρ Ἡρακλέα, ὡς καλόν οἱ ἐφάνη τὸ φόρημα, ἐκ πάσης τῆς θαλάσσης ἐς τὴν Ἰνδῶν γῆν συναγινέειν τὸν μαργαρίτην δὴ τοῦτον, τῇ θυγατρὶ τῇ ἑωυτοῦ εἶναι κόσμον. [11] καὶ λέγει Μεγασθενης, θηρεύεσθαι τὴν κόγχην αὐτοῦ δικτύοισι, νέμεσθαι δ᾽ ἐν τῇ θαλάσσῃ κατὰ ταὐτὸ πολλὰς κόγχας, κατάπερ τὰς μελίσσας. καὶ εἶναι γὰρ καὶ τοῖσι μαργαρίτῃσι βασιλέα ἢ βασίλισσαν, ὡς τῇσι μελίσσῃσι. [12] καὶ ὅστις μὲν ἐκεῖνον κατ᾽ ἐπιτυχίην συλλάβοι, τοῦτον δὲ εὐπετέως περιβάλλειν καὶ τὸ ἄλλο σμῆνος τῶν μαργαριτῶν· εἰ δὲ διαφύγοι σφᾶς ὁ βασιλεύς, τούτῳ δὲ οὐκέτι θηρατοὺς εἶναι τοὺς ἄλλους. τοὺς ἑλόντας δὲ περιορᾶν κατασαπῆναί σφισι τὴν σάρκα, τῷ δὲ ὀστέῳ ἐς κόσμον χρῆσθαι.

y cuando no había descendencia se nombraba rey de la India a uno elegido entre los ciudadanos más nobles.

[4] El Heracles [468] que según la tradición vino a la India recibió de ellos el epíteto de «nacido de la tierra». [5] Este Heracles es venerado especialmente por los surasenos, que son una tribu india en cuyo territorio se encuentran dos importantes ciudades: Métora y Clisóbora [469]. Un río navegable, el Yóbares, riega el país.

[6] Dice Megástenes que el atavío que llevaba este Heracles era semejante al del Heracles tebano, y así lo confirman los propios indios. Tuvo este Heracles muchos hijos varones en la India (donde se casó repetidas veces) y una sola hija, a la que llamó Pandea [470], al igual que el territorio [7] donde ella nació y donde gobernó más tarde por habérselo cedido Heracles. De su padre obtuvo también Pandea unos quinientos elefantes, cuatro mil jinetes y unos ciento treinta mil infantes.

[8] Algunos indios cuentan sobre Heracles otras muchas anécdotas; por ejemplo, que, después de haber recorrido toda la tierra y todos los mares y haber limpiado de toda suerte de alimañas la tierra, descubrió en el mar un nuevo adorno para embellecer a la mujer, [9] adorno que todavía los que hoy se dedican al comercio lo buscan solícitamente y lo compran para traerlo como importación desde la India (primero los griegos, y hoy en día, sobre todo, los romanos ricos y de fortuna adquieren con gran entusiasmo esta «margarita de los mares» [471], como la llaman en lengua india).

[10] Le pareció a Heracles muy bonito este abalorio, por lo que hizo reunir en el puerto de una ciudad india todas las perlas de todo el mar para hacerle un bello adorno a su hija.

[11] Dice Megástenes que allí pescan estas perlas con unas redes, ya que las ostras se arraciman en el mar como si se tratara de una colmena, pues entre ellas también hay una ostra reina o rey como entre las abejas.

[12] De suerte que si alguien por azar captura a esta reina, le resulta comodísimo hacerse con todo el enjambre de ostras; en cambio, si la ostra rey se le escapa no puede pescar las demás.

Los pescadores de ostras dejan que la carne del animal se pudra por completo y luego utilizan la concha como adorno.

[13] καὶ εἶναι γὰρ καὶ παρ' Ἰνδοῖσι τὸν μαργαρίτην τριστάσιον κατὰ τιμὴν πρὸς χρυσίον τὸ ἄπεφθον, καὶ τοῦτο ἐν τῇ Ἰνδῶν γῇ ὀρυσσόμενον.

9. ἐν δὲ τῇ χώρῃ ταύτῃ, ἵνα ἐβασίλευσεν ἡ θυγάτηρ τοῦ Ἡρακλέος, τὰς μὲν γυναῖκας ἑπταέτεις ἐούσας ἐς ὥρην γάμου ἰέναι, τοὺς δὲ ἄνδρας τεσσαράκοντα ἔτεα τὰ πλεῖστα βιώσκεσθαι. [2] καὶ ὑπὲρ τούτου λεγόμενον λόγον εἶναι παρὰ Ἰνδοῖσιν. Ἡρακλέα, ὀψιγόνου οἱ γενομένης τῆς παιδός, ἐπεί τε δὴ ἐγγὺς ἔμαθεν ἑαυτῷ ἐοῦσαν τὴν τελευτήν, οὐκ ἔχοντα ὅτῳ ἀνδρὶ ἐκδῷ τὴν παῖδα ἑωυτοῦ ἐπαξίῳ, αὐτὸν μιγῆναι τῇ παιδὶ ἑπταέτεϊ ἐούσῃ, ὡς γένος ἐξ οὗ τε κἀκείνης ὑπολείπεσθαι Ἰνδῶν βασιλέας. ποιῆσαι ὦν αὐτὴν Ἡρακλέα ὡραίην γάμου· [3] καὶ ἐκ τοῦδε ἅπαν τὸ γένος τοῦτο ὅτου ἡ Πανδαίη ἐπῆρξε, ταὐτὸν τοῦτο γέρας ἔχειν παρὰ Ἡρακλέος. [4] ἐμοὶ δὲ δοκεῖ, εἴπερ ὦν τὰ ἐς τοσόνδε ἄτοπα Ἡρακλέης οἷός τε ἦν ἐξεργάζεσθαι, κἂν αὐτὸν ἀποφῆναι μακροβιώτερον, ὡς ὡραίῃ μιγῆναι τῇ παιδί. [5] ἀλλὰ γὰρ εἰ ταῦτα ὑπὲρ τῆς ὥρης τῶν ταύτῃ παίδων ἀτρεκέα ἐστίν, ἐς ταὐτὸν φέρειν δοκεῖ ἔμοιγε ἐς ὅ τι περ καὶ <τὰ> ὑπὲρ τῶν ἀνδρῶν τῆς ἡλικίης ὅτι τεσσαρακοντούτεες ἀποθνήσκουσιν οἱ πρεσβύτατοι αὐτῶν. [6] οἷς γὰρ τό τε γῆρας τοσῷδε ταχύτερον ἐπέρχεται καὶ ὁ θάνατος ὁμοῦ τῷ γήρᾳ, πάντως που καὶ ἡ ἀκμὴ πρὸς λόγον τοῦ τέλεος ταχυτέρη ἐπανθέει. [7] ὥστε τριακοντούτεες μὲν ὠμογέροντες ἄν που εἶεν αὐτοῖσιν οἱ ἄνδρες, εἴκοσι δὲ ἔτεα γεγονότες οἱ ἔξω ἥβης νεηνίσκοι, ἡ δὲ ἀκροτάτη ἥβη ἀμφὶ τὰ πεντεκαίδεκα ἔτεα· καὶ τῇσι γυναιξὶν ὥρη τοῦ γάμου κατὰ λόγον ἂν οὕτω ἐς τὰ ἑπτὰ ἔτεα συμβαίνοι. [8] καὶ γὰρ τοὺς καρποὺς ἐν ταύτῃ τῇ χώρῃ πεπαίνεσθαί τε ταχύτερον [μὲν] τῆς ἄλλης αὐτὸς οὗτος Μεγασθένης ἀνέγραψεν καὶ φθίνειν ταχύτερον. [9] ἀπὸ μὲν δὴ Διονύσου βασιλέας ἠρίθμεον Ἰνδοὶ ἐς Σανδρόκοττον τρεῖς καὶ πεντήκοντα καὶ ἑκατόν, ἔπεα δὲ δύο καὶ τεσσαράκοντα καὶ ἑξακισχίλια· ἐν δὲ τούτοισι τρὶς τὸ πᾶν εἰς ἐλευθερίην . . . . . . ,[I] τὴν δὲ καὶ ἐς τριακόσια, τὴν δὲ εἰκοσίν τε ἐτέων καὶ ἑκατόν.

[I] Claramente faltan algunas palabras , e.g. <μεταβαλέειν τὴν πολιτηΐην· καὶ ἐς ἔτεα μὲν . . . τὴν πρώτην ὑπάρξαι ἐλευθερίην>.

[13] Entre los indios las perlas tienen un valor tres veces superior al del oro puro, que también abunda en las entrañas de la tierra india [472].

9 En este país, en el que reinaba la hija de Heracles, las mujeres llegan a la edad núbil a los siete años y los hombres no suelen vivir más de los cuarenta. [2] Los indios dan de esto la siguiente explicación en forma de leyenda: Heracles era ya mayor cuando le nació esta hija suya y, sintiendo próxima ya la hora de su muerte, sin haber encontrado para su hija un marido digno de ella, le pareció lo mejor unirse a la joven, a la sazón de siete años, a fin de asegurar una descendencia, suya y de su hija, como reyes de la India. A esa edad la hizo Heracles apta para el matrimonio [3] y ese don de Heracles heredaron, desde entonces, todos los descendientes de Pandea [473].

[4] A mi entender, en cambio, si es verdad que Heracles tuvo ese extraordinario poder, debió haber prolongado mejor su propia vida y haberse unido a la joven cuando ésta hubiera llegado a conveniente edad.

[5] Por lo demás, si es exacto lo que se cuenta sobre la edad núbil de estas muchachas, está con ello muy en concordancia, a mi parecer, el hecho de que ordinariamente los hombres mueran, y esto los que más tarde, a los cuarenta años.

[6] En efecto, si la vejez les sobreviene tan prematuramente (y, en consecuencia, la muerte sigue de cerca a la vejez), deben alcanzar también prematuramente la madurez de la vida, en proporción a la brevedad de su existencia.

[7] Así que sus hombres a los treinta años pisarían ya el umbral de la vejez; a los veinte estarían en plena madurez, pasada ya la juventud; a los quince años estarían en lo mejor de su vida, de modo que para las mujeres, según estos cálculos, la edad de casarse correspondería a los siete años.

[8] Según Megástenes, esto sucede, incluso, con los frutos, que en este país maduran más temprano y se agostan también antes.

[9] Los indios cuentan que han tenido, desde Dioniso a Sandracoto, un total de ciento cincuenta y tres reyes, durante seis mil cuarenta y dos años [474]. En este lapso de tiempo gozaron de libertad en tres ocasiones*** [475], una vez, durante trescientos años, y otra, durante ciento veinte años.

[10] πρεσβύτερόν τε Διόνυσον Ἡρακλέος δέκα καὶ πέντε γενεῇσιν Ἰνδοὶ λέγουσιν· ἄλλον δὲ οὐδένα ἐμβαλεῖν ἐς γῆν τὴν Ἰνδῶν ἐπὶ πολέμῳ, οὐδὲ Κῦρον τὸν Καμβύσεω, καίτοι ἐπὶ Σκύθας ἐλάσαντα καὶ τἄλλα πολυπραγμονέστατον δὴ τ ῶν κατὰ τὴν Ἀσίαν βασιλέων γενόμενον τὸν Κῦρον. [11] ἀλλὰ Ἀλέξανδρον γὰρ ἐλθεῖν τε καὶ κρατῆσαι [πάντων] τοῖς ὅπλοις ὅσους γε δὴ ἐπῆλθε· καὶ ἂν καὶ πάντων κρατῆσαι, εἰ ἡ στρατιὴ ἤθελεν. [12] οὐ μὲν δὴ οὐδὲ Ἰνδῶν τινὰ ἔξω τῆς οἰκείης σταλῆναι ἐπὶ πολέμῳ διὰ δικαιότητα.

10. λέγεται δὲ καὶ τάδε, μνημεῖα ὅτι Ἰνδοὶ τοῖς τελευτήσασιν οὐ ποιέουσιν, ἀλλὰ τὰς ἀρετὰς γὰρ τῶν ἀνδρῶν ἱκανὰς ἐς μνήμην τίθενται τοῖσιν ἀποθανοῦσι καὶ τὰς ᾠδὰς αἳ αὐτοῖσιν ἐπᾴδονται.

[2] πόλεων δὲ καὶ ἀριθμὸν οὐκ εἶναι ἂν ἀτρεκὲς ἀναγράψαι τῶν Ἰνδικῶν ὑπὸ πλήθεος· ἀλλὰ γὰρ ὅσαι παραποτάμιαι αὐτέων ἢ παραθαλάσσιαι, ταύτας μὲν ξυλίνας ποιέεσθαι· [3] οὐ γὰρ ἂν ἐκ πλίνθου ποιεομένας διαρκέσαι ἐπὶ χρόνον τοῦ τε ὕδατος ἕνεκα τοῦ ἐξ οὐρανοῦ καὶ ὅτι οἱ ποταμοὶ αὐτοῖσιν ὑπερβάλλοντες ὑπὲρ τὰς ὄχθας ἐμπιμπλᾶσι τοῦ ὕδατος τὰ πεδία. [4] ὅσαι δὲ ἐν ὑπερδεξίοις τε καὶ μετεώροις τόποισι καὶ τούτοισι ψιλοῖσιν ᾠκισμέναι εἰσί, ταύτας δὲ ἐκ πλίνθου τε καὶ πηλοῦ ποιέεσθαι. [5] μεγίστην δὲ πόλιν Ἰνδοῖσιν εἶναι <τὴν> Παλίμβοθρα καλεομένην, ἐν τῇ Πρασίων γῇ, ἵνα αἱ συμβολαί εἰσι τοῦ τε Ἐραννοβόα ποταμοῦ καὶ τοῦ Γάγγεω· τοῦ μὲν Γάγγεω, τοῦ μεγίστου ποταμῶν· ὁ δὲ Ἐραννοβόας τρίτος μὲν ἂν εἴη τῶν Ἰνδῶν ποταμῶν, μέζων δὲ τῶν ἄλλη καὶ οὗτος, ἀλλὰ ξυγχωρέει αὐτὸς τῷ Γάγγῃ, ἐπειδὰν ἐμβάλῃ ἐς αὐτὸν τὸ ὕδωρ. [6] καὶ λέγει Μεγασθένης μῆκος μὲν ἐπέχειν τὴν πόλιν καθ᾽ ἑκατέρην τὴν πλευρήν, ἵναπερ μακροτάτη αὐτὴ ἑωυτῆς ᾤκισται, ἐς ὀγδοήκοντα σταδίους, τὸ δὲ πλάτος ἐς πεντεκαίδεκα. [7] τάφρον δὲ περιβεβλῆσθαι τῇ πόλει τὸ εὖρος ἑξάπλεθρον, τὸ δὲ βάθος τριήκοντα πήχεων· πύργους δὲ ἑβδομήκοντα καὶ πεντακοσίους ἔχειν τὸ τεῖχος καὶ πύλας τέσσαρας καὶ ἑξήκοντα.

[8] εἶναι δὲ καὶ τόδε μέγα ἐν τῇ Ἰνδῶν γῇ, πάντας Ἰνδοὺς εἶναι ἐλευθέρους, οὐδέ τινα δοῦλον εἶναι Ἰνδόν. τοῦτο μὲν Λακεδαιμονίοισιν ἐς ταὐτὸ συμβαίνει καὶ Ἰνδοῖσι. [9] Λακεδαιμονίοις μέν γε οἱ εἵλωτες δοῦλοί εἰσιν καὶ τὰ δούλων ἐργάζονται, Ἰνδοῖσι δὲ οὐδὲ ἄλλος δοῦλός ἐστι, μήτι γε Ἰνδῶν τις.

[10] Afirman, igualmente, que Dioniso había precedido a Heracles en quince generaciones y que nadie había organizado una expedición contra este país con ánimo hostil anteriormente, ni siquiera lo había hecho Ciro, el hijo de Cambises, a pesar de que llegó hasta Escitia y fue el rey de política más expansionista de los del Asia. [11] Alejandro, en cambio, llegó hasta la India y subyugó a cuantos se enfrentó por la fuerza de las armas, y habría conseguido imponerse a todos los indios, en general, si su ejército hubiera querido acompañarle.

[12] Por su parte, ningún indio ha salido nunca de su país en plan expansionista, y ello, por el enorme respeto que sienten por la justicia.

10 También se cuenta de los indios que no tienen por costumbre erigir monumentos funerarios en honor de sus muertos, sino que consideran que es suficiente memoria de un hombre sus propios actos de virtud y los cantos que a los muertos se les dedican.

[2] Resulta imposible, de otra parte, enumerar con exactitud cuántas son sus ciudades, debido a su gran número *** [476], de las cuales están construidas de madera cuantas se hallan al borde de los ríos y a la orilla del mar, [3] dado que si fueran de ladrillos no podrían ser muy duraderas a causa del agua de las lluvias y por las frecuentes inundaciones originadas al desbordarse los ríos en las zonas de llanura. [4] En cambio, las que están asentadas en lugares elevados y de altura tal que no necesitan murallas, están construidas con ladrillos y barro. [5] La mayor ciudad de la India es Palimbotra [477], y se halla en territorio de los prasios, justo en la confluencia del Erannoboas y el río Ganges. De estos dos ríos, el Ganges es el mayor, y el Erannoboas es el tercer río en importancia de la India, mayor que ningún otro de otra región, pero inferior al Ganges, del cual es un afluente.

[6] Afirma Megástenes que esta ciudad de Palimbotra mide, por cada uno de sus costados, en su mayor distancia, unos ochenta estadios [478] por unos quince de ancho. [7] Rodea a la ciudad un foso de una anchura de unos seis pletros, y treinta codos de profundidad, y en el perímetro de sus murallas se cuentan quinientas setenta torres y sesenta y cuatro puertas.

[8] Hay otro dato importante a tener en cuenta a propósito de la India, y es que todos sus habitantes son hombres libres, entre los cuales no existe la esclavitud. En esto hay una cierta similitud entre los lacedemonios y estos indios, aunque los espartanos tienen sometidos a los hilotas, que son los que hacen oficios propios de esclavos; por su parte, entre los indios no existe la esclavitud, y mucho menos hay un indio que lo sea [479].

11. νενέμηνται δὲ οἱ πάντες Ἰνδοὶ ἐς ἑπτὰ μάλιστα γένεα. ἓν μὲν αὐτοῖσιν οἱ σοφισταί εἰσι, πλήθει μὲν μείους τῶν ἄλλων, δόξῃ δὲ καὶ τιμῇ γεραρώτατοι· [2] οὔτε γάρ τι τῷ σώματι ἐργάζεσθαι ἀναγκαίη σφιν προσκέαται οὔτε τι ἀποφέρειν ἀφ᾽ ὅτων πονέουσιν ἐς τὸ κοινόν. οὐδέ τι ἄλλο ἀνάγκης ἁπλῶς ἐπεῖναι τοῖς σοφιστῇσιν, ὅτι μὴ θύειν τὰς θυσίας τοῖσι θεοῖσιν ὑπὲρ τοῦ κοινοῦ <τῶν> Ἰνδῶν· [3] καὶ ὅστις δὲ ἰδίᾳ θύει, ἐξηγητὴς αὐτῷ τῆς θυσίης τῶν τις σοφιστῶν τούτων γίνεται, ὡς οὐκ ἂν ἄλλως κεχαρισμένα τοῖς θεοῖς θύσαντας. [4] εἰσὶ δὲ καὶ μαντικῆς οὗτοι μοῦνοι Ἰνδῶν δαήμονες, οὐδὲ ἐφεῖται ἄλλῳ μαντεύεσθαι ὅτι μὴ σοφιστῇ ἀνδρί. [5] μαντεύονται δὲ ὅσα ὑπὲρ τῶν ὡρέων τοῦ ἔτεος καὶ εἴ τις ἐς τὸ κοινὸν συμφορὴ καταλαμβάνει· τὰ ἴδια <δὲ> ἑκάστοισιν οὔ σφιν μέλει μαντεύεσθαι, ὡς οὐκ ἐξικνεομένης τῆς μαντικῆς ἐς τὰ μικρότερα ἢ ὡς οὐκ ἄξιον <ὂν> ἐπὶ τούτοισι πονέεσθαι. [6] ὅστις δὲ ἁμάρτοι ἐς τρὶς μαντευσάμενος, τούτῳ δὲ ἄλλο μὲν κακὸν γίνεσθαι οὐδέν, σιωπᾶν δὲ εἶναι ἐπάναγκες τοῦ λοιποῦ· καὶ οὐκ ἔστιν ὅστις ἐξαναγκάσει τὸν ἄνδρα τοῦτον φωνῆσαι, ὅτου ἡ σιωπὴ κατακέκριται. [7] οὗτοι γυμνοὶ διαιτῶνται οἱ σοφισταί, τοῦ μὲν χειμῶνος ὑπαίθριοι ἐν τῷ ἡλίῳ, τοῦ δὲ θέρεος, ἐπὴν ὁ ἥλιος κατέχῃ, ἐν τοῖς λειμῶσι καὶ τοῖσιν ἕλεσιν ὑπὸ δένδρεσι μεγάλοισιν, ὧν τὴν σκιὴν Νέαρχος λέγει ἐς πέντε πλέθρα ἐν κύκλῳ ἐξικνέεσθαι, καὶ ἂν καὶ μυρίους ἀνθρώπους ὑπὸ ἑνὶ δένδρεϊ σκιάζεσθαι· τηλικαῦτα εἶναι ταῦτα τὰ δένδρεα. [8] σιτέονται δὲ <τὰ> ὡραῖα καὶ τὸν φλοιὸν τῶν δένδρων, γλυκύν τε ὄντα τὸν φλοιὸν καὶ τρόφιμον οὐ μεῖον ἤπερ αἱ βάλανοι τῶν φοινίκων. [9] δεύτεροι δ᾽ ἐπὶ τούτοισιν οἱ γεωργοί εἰσιν, οὗτοι πλήθει πλεῖστοι Ἰνδῶν ἐόντες. καὶ τούτοισιν οὔτε ὅπλα ἐστὶν ἀρήια οὔτε μέλει τὰ πολεμήια ἔργα, ἀλλὰ τὴν χώρην οὗτοι ἐργάζονται, καὶ τοὺς φόρους τοῖς τε βασιλεῦσι καὶ τῇσι πόλεσιν, ὅσαι αὐτόνομοι, οὗτοι ἀποφέρουσι. [10] καὶ εἰ πόλεμος ἐς ἀλλήλους τοῖσιν Ἰνδοῖσι τύχοι, τῶν ἐργαζομένων τὴν γῆν οὐ θέμις σφιν ἅπτεσθαι οὐδὲ αὐτὴν τὴν γῆν τέμνειν, ἀλλὰ οἱ μὲν πολεμοῦσι καὶ κατακαίνουσιν ἀλλήλους ὅπως τύχοιεν, οἱ δὲ πλησίον αὐτῶν κατ᾽ ἡσυχίαν ἀροῦσιν ἢ τρυγῶσιν ἢ κλαδῶσιν ἢ θερίζουσιν. [11] τρίτοι δέ εἰσιν Ἰνδοῖσιν οἱ νομέες, οἱ ποιμένες τε καὶ βουκόλοι. καὶ οὗτοι οὔτε κατὰ πόληας οὔτε ἐν τῇσι κώμῃσιν οἰκέουσι· νομάδες τέ εἰσι καὶ ἀνὰ

Las castas en la India.

11 La sociedad india está compuesta de siete castas [480]. Una de ellas la componen los sofistas, pocos en número pero con mayor fama y reputación que las demás. [2] No tienen éstos obligación de realizar trabajos corporales ni de contribuir con aportación alguna de sus ganancias al fondo común. Sobre ellos recae tan sólo una obligación: celebrar los sacrificios en honor de los dioses y en nombre de toda la comunidad. [3] Si alguien quiere ofrecer un sacrificio con carácter privado, uno de estos sofistas ha de servirle de maestro del ceremonial, ya que, en caso contrario, el sacrificio no será del agrado de la divinidad. [4] Estos sofistas son los únicos indios que conocen los misterios de la mántica, y a ningún otro hombre le es lícito profetizar sobre el futuro. [5] Sus predicciones versan sobre las estaciones del año, o sobre si alguna calamidad va a cernirse sobre la comunidad; en cambio, en lo que concierne a los asuntos personales de cada cual, no es de su incumbencia emitir previsión alguna, bien porque la adivinación no se interese por asuntos de poca monta, bien porque para ellos resulte una cosa poco digna molestarse por tales pequeñeces.

[6] Si uno de ellos en el ejercicio de su función adivinatoria se equivoca por tres veces, no recibe castigo alguno por ello, pero se le obliga a callar para los restos, y nadie le podrá obligar a romper ese silencio que le ha sido impuesto. [7] Estos sofistas pasan su vida desnudos, en invierno puestos al sol, y cuando el calor del verano arrecia se van a unos prados y a las lagunas que forman las aguas estancadas, bajo grandes árboles [481]cuy sombra se extiende, según Nearco, en un círculo de cinco pletros. Son tan grandes estos árboles, que a la sombra de uno solo de ellos pueden guarecerse diez mil hombres [482]. [8] Se alimentan de los frutos de la época, así como con la corteza de estos árboles, que es dulce y no menos alimenticia que los dátiles de la palmera.

[9] A continuación, se halla la casta de los agricultores, que es la más numerosa de la India. Tampoco disponen de armas de guerra ni les preocupan nada los asuntos de la milicia, sino que se dedican al trabajo de la tierra, pagando tributos a sus reyes y a sus ciudades si se trata de ciudades autónomas.

[10] Si estalla entre los indios un conflicto o guerra civil, no está permitido a nadie acudir a por estos trabajadores de la tierra, ni arrasar sus cosechas. Así, mientras otros se matan y aniquilan recíprocamente según las circunstancias, los agricultores siguen trabajando su tierra tranquilamente, mudos espectadores de los acontecimientos, recolectan sus frutos, talan sus árboles o cosechan.

[11] Los pastores componen la tercera casta de la India, tanto los pastores de ovejas y cabras, como los pastores de vacuno. Éstos no viven asentados establemente en ciudades ni aldeas, sino que, como nómadas

τὰ ὄρεα βιοτεύουσι. φόρον δὲ καὶ οὗτοι ἀπὸ τῶν κτηνέων ἀποφέρουσι, καὶ θηρεύουσιν οὗτοι ἀπὰ τὴν χώρην ὄρνιθάς τε καὶ ἄγρια θηρία.

12. τέταρτον δέ ἐστι τὸ δημιουργικόν τε καὶ καπηλικὸν γένος. καὶ οὗτοι λειτουργοί εἰσι καὶ φόρον ἀποφέρουσιν ἀπὸ τῶν ἔργων τῶν σφετέρων, πλήν γε δὴ ὅσοι τὰ ἀρήια ὅπλα ποιέουσιν· οὗτοι δὲ καὶ μισθὸν ἐκ τοῦ κοινοῦ προσλαμβάνουσιν. ἐν δὲ τούτῳ τῷ γένει οἵ τε ναυπηγοὶ καὶ οἱ ναῦταί εἰσιν, ὅσοι κατὰ τοὺς ποταμοὺς πλώουσι. [2] πέμπτον δὲ γένος ἐστὶν Ἰνδοῖσιν οἱ πολεμισταί, πλήθει μὲν δεύτερον μετὰ τοὺς γεωργούς, πλείστῃ δὲ ἐλευθερίῃ τε καὶ εὐθυμίῃ ἐπιχρεόμενον. καὶ οὗτοι ἀσκηταὶ μόνων τῶν πολεμικῶν ἔργων εἰσίν· [3] τὰ δὲ ὅπλα ἄλλοι αὐτοῖς ποιέουσι καὶ ἵππους ἄλλοι παρέχουσι καὶ διακονοῦσιν ἐπὶ στρατοπέδου ἄλλοι, οἳ τούς τε ἵππους αὐτοῖς θεραπεύουσι καὶ τὰ ὅπλα ἐκκαθαίρουσι καὶ τοὺς ἐλέφαντας ἄγουσι καὶ τὰ ἅρματα κοσμέουσί τε καὶ ἡνιοχεύουσιν. [4] αὐτοὶ δέ, ἔστ᾽ ἂν μὲν πολεμεῖν δέῃ, πολεμοῦσιν, εἰρήνης δὲ γενομένης εὐθυμέονται· καί σφιν μισθὸς ἐκ τοῦ κοινοῦ τοσόσδε ἔρχεται ὡς καὶ ἄλλους τρέφειν ἀπ᾽ αὐτοῦ εὐμαρέως. ἕκτοι δέ εἰσιν Ἰνδοῖσιν οἱ ἐπίσκοποι καλεόμενοι. [5] οὗτοι ἐφορῶσι τὰ γινόμενα κατά τε τὴν χώρην καὶ κατὰ τὰς πόληας, καὶ ταῦτα ἀναγγέλλουσι τῷ βασιλεῖ, ἵναπερ βασιλεύονται Ἰνδοί, ἢ τοῖς τέλεσιν, ἵναπερ αὐτόνομοί εἰσι. καὶ τούτοις οὐ θέμις ψεῦδος ἀγγεῖλαι οὐδέν, οὐδέ τις Ἰνδῶν αἰτίην ἔσχε ψεύσασθαι. [6] ἕβδομοι δέ εἰσιν οἱ ὑπὲρ τῶν κοινῶν βουλευόμενοι ὁμοῦ τῷ βασιλεῖ ἢ κατὰ πόληας ὅσαι αὐτόνομοι σὺν τῇσιν ἀρχῇσι.

[7] πλήθει μὲν ὀλίγον τὸ γένος τοῦτό ἐστι, σοφίῃ δὲ καὶ δικαιότητι ἐκ πάντων προκεκριμένον. ἔνθεν οἵ τε ἄρχοντες αὐτοῖσιν ἐπιλέγονται καὶ ὅσοι νομάρχαι καὶ ὕπαρχοι καὶ θησαυροφύλακές τε καὶ στρατοφύλακες, ναύαρχοί τε καὶ ταμίαι καὶ τῶν κατὰ γεωργίην ἔργων ἐπιστάται. [8] γαμέειν δὲ ἐξ ἑτέρου γένεος οὐ θέμις, οἷον τοῖσι γεωργοῖσιν ἐκ τοῦ δημιουργικοῦ ἢ ἔμπαλιν. οὐδὲ δύο τέχνας ἐπιτηδεύειν τὸν αὐτὸν οὐδὲ τοῦτο θέμις, οὐδὲ ἀμείβειν ἐξ ἑτέρου γένεος εἰς ἕτερον, οἷον γεωργικὸν ἐκ νομέως γενέσθαι ἢ νομέα ἐκ δημιουργικοῦ. [9] μοῦνόν σφισιν ἀνεῖται σοφιστὴν ἐκ παντὸς γένεος γενέσθαι, ὅτι οὐ μαλθακὰ τοῖσι σοφιστῇσίν εἰσι τὰ πρήγματα ἀλλὰ πάντων ταλαιπωρότατα.

que son, hacen su vida en las montañas, teniendo que pagar también un canon como tributo por sus animales. Éstos se dedican también a cazar por el campo aves y todo tipo de animales salvajes.

12 La cuarta casta la componen los artesanos y los comerciantes. También tienen éstos obligación de tributar por los beneficios de su propia actividad, excepción hecha de los fabricantes de armas para la guerra. Éstos, al contrario, reciben un sueldo del gobierno. En esta casta se encuadran los que trabajan en los astilleros y los marineros de los barcos que trafican por el río.

[2] Los guerreros componen la quinta casta en la India; por su número es la segunda, a continuación de los agricultores, y son los que disfrutan de mayor libertad y comodidades. Éstos están dedicados exclusivamente a la práctica de los ejercicios propios de la milicia. [3] Son otros los que les fabrican sus armas, otros los que les proporcionan los caballos y otros los que les atienden en las servidumbres de campaña: les cuidan los caballos, les limpian sus armas, les guían sus elefantes, les ponen a punto sus carros y les sirven como sus aurigas.

[4] Estos guerreros, en cambio, luchan llegado el momento del combate, mas restablecida la paz, disfrutan, de nuevo, de las mayores comodidades; es más, se les asigna del Estado un sueldo más que suficiente para poder mantener holgadamente con él a otros familiares.

En sexto lugar están los indios llamados inspectores. [5] Éstos supervisan todo lo que sucede por el país y en cada ciudad, y dan de ello noticia al rey (allá donde se rigen por un sistema monárquico) o a las autoridades donde son autónomos.

Les está a éstos estrictamente prohibido dar informaciones calumniosas, y de hecho nunca se ha comprobado que ningún indio haya mentido.

[6] La séptima casta es la de los que deliberan sobre los asuntos de la comunidad con el rey o, en las ciudades que son autónomas, con sus magistrados. [7] Son pocos en número, pero, en sabiduría y en ser justos, los más selectos de todos los indios. De esta casta se eligen los magistrados, nomarcos, gobernadores, tesoreros, generales, navarcos, intendentes y los capataces de las labores del campo.

[8] No está permitido el matrimonio entre miembros de castas distintas: por ejemplo, un agricultor no puede casarse con una mujer de la clase de los artesanos o viceversa. Tampoco puede practicar dos profesiones una misma persona, ni cambiar de una actividad a otra (por ejemplo, pasar de pastor a agricultor, o a pastor de artesano). [9] Sólo se consiente el paso a la clase de los sofistas, sea cual sea la casta de la que se proceda, y ello, porque el tipo de vida de éstos, lejos de ser cómoda y muelle, es la más penosa de todas.

13. θηρῶσι δὲ Ἰνδοὶ τὰ μὲν ἄλλα ἄγρια θηρια κατάπερ καὶ Ἕλληνες, ἡ δὲ τῶν ἐλεφάντων σφιν θήρα οὐδέν τι ἄλλη ἔοικεν, ὅτι καὶ ταῦτα τὰ θηρία οὐδαμοῖσιν ἄλλοισι θηρίοις ἐπέοικεν. [2] ἀλλὰ τόπον γὰρ ἐπιλεξάμενοι ἄπεδον καὶ καυματώδεα ἐν κύκλῳ τάφρον ὀρύσσουσιν, ὅσον μεγάλῳ στρατοπέδῳ ἐπαυλίσασθαι. τῆς δὲ τάφρου τὸ εὖρος ἐς πέντε ὀργυιὰς ποιέονται, βάθος τε ἐς τεσσαρας. [3] τὸν δὲ χοῦν ὅντινα ἐκβάλλουσιν ἐκ τοῦ ὀρύγματος, ἐπὶ τὰ χείλεα ἑκάτερα τῆς τάφρου ἐπιφορήσαντες ἀντὶ τείχεος διαχρέονται, [4] αὐτοὶ δὲ ὑπὸ τῷ χώματι τῷ ἐπὶ τοῦ χείλεος τοῦ ἔξω τῆς τάφρου σκηνάς σφιν ὀρυκτὰς ποιέονται, καὶ διὰ τουτέων ὀπὰς ὑπολείπονται, δι᾽ ὧν φῶς τε αὐτοῖσιν εἰσέρχεται καὶ τὰ θηρία προσάγοντα καὶ ἐσελαύνοντα ἐς τὸ ἕρκος σκέπτονται.
[5] ἐνταῦθα ἐντὸς τοῦ ἕρκεος καταστήσαντες τῶν τινας θηλέων τρεῖς ἢ τέσσαρας, ὅσαι μάλιστα τὸν θυμὸν χειροήθεες, μίαν εἴσοδον ἀπολιμπάνουσι κατὰ τὴν τάφρον, γεφυρώσαντες τὴν τάφρον· καὶ ταύτῃ χοῦν τε καὶ πόαν πολλὴν ἐπιφέρουσι τοῦ μὴ ἀρίδηλον εἶναι τοῖσι θηρίοισι τὴν γέφυραν, μή τινα δόλον ὀισθῶσιν. [6] αὐτοὶ μὲν οὖν ἐκποδὼν σφᾶς <ποι>έουσι κατὰ τῶν σκηνέων τῶν ὑπὸ τῇ τάφρῳ δεδυκότες, οἱ δὲ ἄγριοι ἐλέφαντες ἡμέρης μὲν οὐ πελάζουσι τοῖσιν οἰκουμένοισι, νύκτωρ δὲ πλανῶνταί τε πάντῃ καὶ ἀγεληδὸν νέμονται τῷ μεγίστῳ καὶ γενναιοτάτῳ σφῶν ἑπόμενοι, κατάπερ αἱ βόες τοῖσι ταύροισιν. [7] ἐπεὰν ὦν τῷ ἕρκει πελάσωσι, τήν τε φωνὴν ἀκούοντες τῶν θηλέων καὶ τῇ ὀδμῇ αἰσθόμενοι, δρόμῳ ἵενται ὡς ἐπὶ τὸν χῶρον τὸν πεφραγμένον· ἐκπεριελθόντες δὲ τῆς τάφρου τὰ χείλεα εὖτ᾽ ἂν τῇ γεφύρῃ ἐπιτύχωσιν, κατὰ ταύτην ἐς τὸ ἕρκος ὠθέονται. [8] οἱ δὲ ἄνθρωποι αἰσθόμενοι τὴν ἔσοδον τῶν ἐλεφάντων τῶν ἀγρίων, οἱ μὲν αὐτῶν τὴν γέφυραν ὀξέως ἀφεῖλον, οἱ δὲ ἐπὶ τὰς πέλας κώμας ἀποδραμόντες ἀγγέλλουσι τοὺς ἐλέφαντας ὅτι ἐν τῷ ἕρκει ἔχονται·
[9] οἱ δὲ ἀκούσαντες ἐπιβαίνουσι τῶν κρατίστων τε τὸν θυμὸν καὶ [τῶν] χειροηθεστάτων ἐλεφάντων, ἐπιβάντες δὲ ἐλαύνουσιν ὡς ἐπὶ τὸ ἕρκος, ἐλάσαντες δὲ οὐκ αὐτίκα μάχης ἅπτονται, ἀλλ᾽ ἐῶσι γὰρ λιμῷ τε ταλαιπωρηθῆναι τοὺς ἀγρίους ἐλέφαντας καὶ ὑπὸ τῷ δίψει δουλωθῆναι. [10] εὖτ᾽ ἂν δέ σφισι κακῶς ἔχειν δοκέωσι, τηνικαῦτα ἐπιστήσαντες αὖθις τὴν γέφυραν ἐλαύνουσί τε ὡς ἐς τὸ ἕρκος, καὶ τὰ μὲν πρῶτα μάχη ἵσταται κρατερὴ τοῖσιν ἡμέροισι τῶν ἐλεφάντων πρὸς

Caza de elefantes.

13 Los indios cazan animales salvajes al igual que los griegos, aunque su peculiar manera de cazar elefantes [483] no se asemeja a ningún otro tipo de cacería, y ello se debe a que estos animales son muy distintos a todos los demás. [2] Comienzan por elegir un lugar llano y expuesto al sol, y socavan un foso circular de tamaño tal que en él pudiera acampar un gran ejército. La anchura del foso es de unas cinco orguias [484] por unas cuatro de profundidad. [3] La tierra extraída del foso la extienden a ambos lados del borde del foso, formando una especie de muro. [4] Luego hacen unas galerías para ellos guarecerse, excavadas bajo el montón que se halla al borde del foso y, en ellas, dejan unos respiraderos por donde les entra la luz y por donde ellos pueden ver cómo se acercan los animales y se aproximan al lugar cercado.
[5] Después de haber metido las tres o cuatro hembras de elefantes más dóciles y mejor domadas en el recinto cerrado del foso, dejan un solo pasillo de acceso a él por medio de un puente; luego recubren todo aquello con tierra y abundante yerba a fin de disimular el puente y que las bestias no se percaten de la trampa. [6] Los indios se quitan de en medio guarecidos en las galerías de debajo del montón de arena al borde del foso.

Es bien sabido que los elefantes salvajes no se acercan durante el día a lugares habitados, es, en cambio, de noche cuando van de un lado a otro en manada buscando alimento tras el que suele ser el animal de mayor tamaño y más respetado por los demás, al igual que las vacas con los toros.
[7] Pues bien, una vez que se han acercado al lugar cercado y oyen el barritar de las hembras (además de que hasta ellos les llega su olor), se lanzan a la carrera hacia el recinto vallado y, después de darle la vuelta por su borde y descubrir el pasadizo, se precipitan por él hacia su interior.
[8] Cuando los hombres ven los elefantes salvajes ya en el interior del foso, unos pocos de ellos retiran a toda prisa el puente y el resto se van corriendo a las vecinas aldeas a dar la noticia de que los elefantes están en el vallado.
[9] Al oírles sus vecinos, montan sobre sus elefantes más fuertes de ánimo y más dóciles y se dirigen al lugar de la captura, aunque no se aplican a la lucha según llegan, sino que aguardan a que los elefantes salvajes se debiliten por el hambre y se amansen por la sed.
[10] Cuando les parece que ya están suficientemente debilitados, colocan de nuevo el puente levadizo y conducen al interior del recinto a sus animales domesticados, produciéndose una desigual, aunque dura batalla, entre éstos y los elefantes recién

τοὺς ἑαλωκότας· ἔπειτα κρατέονται μὲν κατὰ τὸ εἰκὸς οἱ ἄγριοι ὑπό τε τῇ ἀθυμίῃ καὶ τῷ λιμῷ ταλαιπωρούμενοι. [11] οἱ δὲ ἀπὸ τῶν ἐλεφάντων καταβάντες παρειμένοισιν ἤδη τοῖσιν ἀγρίοισι τοὺς πόδας ἄκρους συνδέουσιν, ἔπειτα ἐγκελεύονται τοῖσιν ἡμέροισι πληγαῖς σφᾶς κολάζειν πολλαῖς, ἔστ᾽ ἂν ἐκεῖνοι ταλαιπωρεύμενοι ἐς γῆν πέσωσι. παραστάντες δὲ βρόχους περιβάλλουσιν αὐτοῖσι κατὰ τοὺς αὐχένας, καὶ αὐτοὶ ἐπιβαίνουσι κειμένοισι.

[12] τοῦ δὲ μὴ ἀποσείεσθαι τοὺς ἀμβάτας μηδέ τι ἄλλο ἀτάσθαλον ἐργάζεσθαι, τὸν τράχηλον αὐτοῖσιν ἐν κύκλῳ μαχαιρίῳ ὀξεῖ ἐπιτέμνουσι, καὶ τὸν βρόχον κατὰ τὴν τομὴν περιδέουσιν, ὡς ἀτρέμα ἔχειν τὴν κεφαλήν τε καὶ τὸν τράχηλον ὑπὸ τοῦ ἕλκεος. [13] εἰ γὰρ περιστρέφοιντο ὑπὸ ἀτασθαλίης, τρίβεται αὐτοῖσι τὸ ἕλκος ὑπὸ τῷ κάλῳ. οὕτω μὲν ὦν ἀτρέμα ἴσχουσι καὶ αὐτοὶ γνωσιμαχέοντες ἤδη ἄγονται κατὰ τὸν δεσμὸν πρὸς τῶν ἡμέρων.

14. ὅσοι δὲ νήπιοι αὐτῶν ἢ διὰ κακότητα οὐκ ἄξιοι ἐκτῆσθαι, τούτους ἐῶσιν ἀπαλλάττεσθαι ἐς τὰ σφέτερα ἤθεα. [2] ἀγ<αγ>όντες δὲ εἰς τὰς κώμας τοὺς ἁλόντας τοῦ τε χλωροῦ καλάμου καὶ τῆς πόας τὰ πρῶτα ἐμφαγεῖν ἔδοσαν, [3] οἱ δὲ ὑπὸ ἀθυμίης οὐκ ἐθέλουσιν οὐδὲν σιτέεσθαι, τοὺς δὲ περιιστάμενοι οἱ Ἰνδοὶ ᾠδαῖσί τε καὶ τυμπάνοισι καὶ κυμβάλοισιν ἐν κύκλῳ κρούοντές τε καὶ ἐπᾴδοντες κατευνάζουσι.

[4] θυμόσοφον γὰρ εἴπερ τι ἄλλο θηρίον ὁ ἐλέφας, καί τινες ἤδη αὐτῶν τοὺς ἀμβάτας σφῶν ἐν πολέμῳ ἀποθανόντας ἄραντες αὐτοὶ ἐξήνεγκαν ἐς ταφήν, οἱ δὲ καὶ ὑπερήσπισαν κειμένους, οἱ δὲ καὶ πεσόντων προεκινδύνευσαν, ὁ δέ τις πρὸς ὀργὴν ἀποκτείνας τὸν ἀμβάτην ὑπὸ μετανοίης τε καὶ ἀθυμίης ἀπέθανεν. [5] εἶδον δὲ ἔγωγε καὶ κυμβαλίζοντα ἤδη ἐλέφαντα καὶ ἄλλους ὀρχεομένους, κυμβάλοιν τῷ κυμβαλίζοντι πρὸς τοῖν σκελοῖν τοῖν ἔμπροσθεν προσηρτημένοιν, καὶ πρὸς τῇ προβοσκίδι καλεομένῃ ἄλλου κυμβάλου· [6] ὁ δὲ ἐν μέρει τῇ προβοσκίδι ἔκρουε τὸ κύμβαλον ἐν ῥυθμῷ πρὸς ἑκατέροιν τοῖν σκελοῖν, οἱ δὲ ὀρχεόμενοι ἐν κύκλῳ τε ἐχόρευον, καὶ ἐπαίροντές τε καὶ ἐπικάμπτοντες τὰ ἔμπροσθεν σκέλεα ἐν τῷ μέρει ἐν ῥυθμῷ καὶ οὗτοι ἔβαινον, καθότι ὁ κυμβαλίζων σφίσιν ὑφηγέετο. [7] βαίνεται δὲ ἐλέφας ἦρος ὥρῃ, κατάπερ βοῦς ἢ ἵππος, ἐπεὰν τῇσι θηλέῃσιν αἱ παρὰ τοῖσι κροτάφοισιν ἀναπνοαὶ ἀνοιχθεῖσαι ἐκπνέωσιν. κύει δὲ τοὺς

caídos en la trampa. Al poco se imponen, como es natural, los animales domesticados, por estar los otros afectados por el desánimo y el hambre. [11] Los naires descienden de sus elefantes y atan por sus extremos las patas de los salvajes, ya agotados; luego ordenan a los elefantes domesticados la emprendan a golpes para castigar a sus congéneres, hasta que dan con ellos a tierra ya totalmente exánimes.

Luego se acercan a las bestias y les ponen unos lazos en torno a su cuello y, acto seguido, montan sobre ellos cuando aún se hallan éstos postrados en tierra.

[12] Para evitar que los elefantes tiren de su grupa al naire y le causen alguna otra molestia, le hacen en el cuello al animal una incisión con una espada muy aguda, y atan alrededor por el corte una cuerda, con lo que el animal se ve obligado a mantener la cabeza y el cuello inmóviles a causa de la herida. [13] En efecto, si los animales intentan girar la cabeza para deshacerse del naire, la cuerda les produce un fuerte roce contra la herida. Por ello se mantienen tranquilos y, percatándose de que han sido vencidos, se dejan ya conducir de la cuerda por los elefantes domesticados.

14 A los animales aún muy jóvenes, o a los que por algún defecto no merece la pena conservarlos, se les deja escapar a sus refugios.

[2] Conducen, luego, a sus aldeas a los animales capturados y les dan de comer, en seguida, tallos verdes y yerbas. [3] Los animales, sin embargo, totalmente abatidos en su ánimo, se resisten a comer; entonces los indios se ponen a su alrededor cantando al son de sus tambores y címbalos hasta conseguir que los animales se duerman.

[4] El elefante es un animal inteligente [485] donde los haya. En ocasiones, algunos animales han recogido el cuerpo de su naire muerto en el combate para que le dieran sepultura; en otras ocasiones, se ofrecieron como parapetos mientras sus amos bajaban a tierra; otros han combatido defendiéndolos cuando habían caído a tierra. Se cuenta, incluso, de uno que, tras haber dado muerte a su naire en un acceso de cólera, murió luego de arrepentimiento y desconsuelo.

[5] Yo mismo he visto un elefante tocar los címbalos mientras otros danzaban: el animal tenía dos címbalos atados a sus patas delanteras, así como otro en su trompa, [6] y, rítmicamente, hacía golpear el címbalo de su trompa con los de cada pata alternativamente, mientras los demás animales bailaban levantando y doblando sus patas por turno y rítmicamente, y de este modo desfilaban según el ritmo que les tocaba el de los címbalos.

[7] El apareamiento de estos animales tiene lugar en primavera, como ocurre con lo vaca y la yegua, cuando se abren unos poros que la hembra tiene junto a sus sienes despidiendo un penetrante olor. Paren las

ἐλαχίστους μὲν ἑκκαίδεκα μῆνας, τοὺς πλείστους δὲ ὀκτωκαίδεκα. τίκτει δὲ ἕν, κατάπερ ἵππος, καὶ τοῦτο ἐκτρέφει τῷ γάλακτι ἐς ἔτος ὄγδοον. [8] ζῶσι δὲ ἐλεφάντων οἱ πλεῖστα ἔτεα ζῶντες ἐς διηκόσια, πολλοὶ δὲ νόσῳ προτελευτῶσιν αὐτῶν· γήρᾳ δὲ ἐς τόσον ἔρχονται.

[9] καὶ ἔστιν αὐτοῖσι τῶν μὲν ὀφθαλμῶν ἴαμα τὸ βόειον γάλα ἐγχεόμενον, πρὸς δὲ τὰς ἄλλας νόσους ὁ μέλας οἶνος πινόμενος, ἐπὶ δὲ τοῖσιν ἕλκεσι τὰ ὕεια κρέα ὀπτώμενα καὶ καταπλασσόμενα· ταῦτα παρ᾽ Ἰνδοῖσίν ἐστιν αὐτοῖσι ἰάματα.

15. τοῦ δὲ ἐλέφαντος τὴν τίγριν πολλόν τι ἀλκιμωτέρην Ἰνδοὶ ἄγουσι. τίγριος δὲ δορὴν μὲν ἰδεῖν λέγει Νέαρχος, αὐτὴν δὲ τίγριν οὐκ ἰδεῖν· ἀλλὰ τοὺς Ἰνδοὺς γὰρ ἀπηγέεσθαι, τίγριν εἶναι μέγεθος μὲν ἡλίκον τὸν μέγιστον ἵππον, τὴν δὲ ὠκύτητα καὶ ἀλκὴν οἵην οὐδενὶ ἄλλῳ εἰκάσαι· [2] τίγριν γὰρ ἐπεὰν ὁμοῦ ἔλθῃ ἐλέφαντι, ἐπιπηδᾶν τε ἐπὶ τὴν κεφαλὴν τοῦ ἐλέφαντος καὶ ἄγχειν εὐπετέως. [3] ταύτας δέ, ἅστινας καὶ ἡμεῖς ὁρέομεν καὶ τίγριας καλέομεν, θῶας εἶναι αἰόλους καὶ μέζονας ἤπερ τοὺς ἄλλους θῶας. [4] ἐπεὶ καὶ ὑπὲρ τῶν μυρμήκων λέγει Νέαρχος μύρμηκα μὲν αὐτὸς οὐκ ἰδέειν, ὁποῖον δή τινα μετεξέτεροι διέγραψαν γίνεσθαι ἐν τῇ Ἰνδῶν γῇ, δορὰς δὲ καὶ τούτων ἰδεῖν πολλὰς ἐς τὸ στρατόπεδον κατακομισθείσας τὸ Μακεδονικόν. [5] Μεγασθένης δὲ καὶ ἀτρεκέα εἶναι ὑπὲρ τῶν μυρμήκων τὸν λόγον ἱστορέει τούτους εἶναι τοὺς τὸν χρυσὸν ὀρύσσοντας, οὐκ αὐτοῦ τοῦ χρυσοῦ ἕνεκα, ἀλλὰ φύσι γὰρ κατὰ τῆς ὀρύσσουσιν, ἵνα φωλεύσαιεν, κατάπερ οἱ ἡμέτεροι οἱ σμικροὶ μύρμηκες ὀλίγον τῆς γῆς ὀρύσσουσιν. [6] ἐκείνους δέ—εἶναι γὰρ ἀλωπεκέων μέζονας—πρὸς λόγον τοῦ μεγέθεος σφῶν καὶ τὴν γῆν ὀρύσσειν· τὴν δὲ γῆν χρυσῖτιν εἶναι, καὶ ἀπὸ ταύτης γίνεσθαι Ἰνδοῖσι τὸν χρυσόν. [7] ἀλλὰ Μεγασθένης τε ἀκοὴν ἀπηγέεται, καὶ ἐγὼ ὅτι οὐδὲν τούτου ἀτρεκέστερον ἀναγράψαι ἔχω, ἀπίημι ἑκὼν τὸν ὑπὲρ τῶν μυρμήκων λόγον. [8] σιττακοὺς δὲ Νέαρχος μὲν ὡς δή τι θαῦμα ἀπηγέεται ὅτι γίνονται ἐν τῇ Ἰνδῶν γῇ, καὶ ὁποῖος ὄρνις ἐστὶν ὁ σιττακός, καὶ ὅπως φωνὴν ἵει ἀνθρωπίνην. [9] ἐγὼ δὲ ὅτι αὐτός τε πολλοὺς ὀπώπεα καὶ ἄλλους ἐπισταμένους ἤδεα τὸν ὄρνιθα, οὐδὲν ὡς <ὑπὲρ> ἀτόπου δῆθεν ἀπηγήσομαι· οὐδὲ ὑπὲρ τῶν πιθήκων τοῦ μεγέθεος, ἢ ὅτι καλοὶ παρ᾽ Ἰνδοῖς πίθηκοί εἰσιν, οὐδὲ ὅπως θηρῶνται ἐρέω. καὶ γὰρ ταῦτα γνώριμα ἐρῶ, πλήν γε δὴ ὅτι καλοί που πίθηκοι

hembras al cabo de dieciséis meses o, lo más, a los dieciocho y tienen una sola cría, como la yegua, y la alimentan con su propia leche hasta que tiene ocho años.

[8] Estos animales viven, los que más, unos doscientos años, aunque la mayoría mueren antes por enfermedad [486].

[9] Si enferman de los ojos se les aplica como remedio leche de vaca y, para otras enfermedades, se les da a beber vino tinto, y si resultan heridos, se les prepara una cataplasma de carne de cerdo cocido. Así es como los indios cuidan a sus elefantes enfermos.

Hormigas que extraen oro de la tierra. Otros animales.

15 Los indios consideran al tigre [487] un animal mucho más fuerte que el elefante.

Nearco afirma haber visto la piel de un tigre, pero no un animal vivo. Los indios cuentan que el tigre es de tamaño no menor que el mayor caballo y, en velocidad y fuerza, no admiten comparación con ningún otro animal. [2] Si se topa un tigre con un elefante, salta al punto sobre su cabeza y lo estrangula sin mayor esfuerzo. [3] Las especies que nosotros conocemos y llamamos tigres son, en realidad, chacales moteados, bien que mayores que los chacales ordinarios.

[4] A propósito de las hormigas [488], también reconoce Nearco no haber visto ninguna de ésas que otros historiadores han descrito como originarias de la India, aunque sí los caparazones que de algunas de ellas alguien llevó al campamento macedonio. [5] Megástenes admite como hecho histórico lo que se cuenta de que estas hormigas extraen el oro bajo tierra, no porque busquen el oro en sí mismo, sino porque ellas por instinto horadan la tierra para acurrucarse debajo, al igual que nuestras pequeñas hormigas hacen en la tierra sus pequeños agujeros. [6] Estas hormigas de la India, en cambio, son de tamaño mayor que el de las zorras y, proporcionalmente, las galerías que bajo la tierra excavan son enormes, y, dado que la tierra es aquí aurífera, los indios obtienen de ella el oro fácilmente.

[7] En verdad, Megástenes narra este relato como cosa que le han contado, mas yo, como no puedo decir nada con mayor certeza a propósito, de buen grado dejo esta cuestión de las hormigas.

[8] Nearco cuenta como maravilloso el hecho de que en la India existan loros [489]. Nos describe qué clase de ave es ésta y cómo es capaz de emitir una voz como la humana. [9] Como se trata de un animal que yo ya he visto y que mucha gente conoce, no voy a hablar de él como si fuera algo extraordinario. Tampoco contaré nada de la envergadura de los monos [490], ni de lo hermosos que son algunos monos de la India, ni de qué manera los cazan aquí, pues considero que todo esto son cosas conocidas, menos eso de que haya monos hermosos en alguna parte.

εἰσιν. [10] καὶ ὄφιας δὲ λέγει Νέαρχος θηρευθῆναι αἰόλους μὲν καὶ ταχέας, μέγαθος δέ, ὃν μὲν λέγει ἑλεῖν Πείθωνα τὸν Ἀντιγένεος, πήχεων ὡς ἑκκαίδεκα. αὐτοὺς δὲ τοὺς Ἰνδοὺς πολὺ μείζονας τούτων λέγειν εἶναι τοὺς μεγίστους ὄφεας. [11] ὅσοι δὲ ἰητροὶ Ἕλληνες, τούτοισιν οὐδὲν ἄκος ἐξεύρητο ὅστις ὑπὸ ὄφεως δηχθείη Ἰνδικοῦ· ἀλλ᾽ αὐτοὶ γὰρ οἱ Ἰνδοὶ ἰῶντο τοὺς πληγέντας. καὶ ἐπὶ τῷδε Νέαρχος λέγει <ὅτι> συλλελεγμένους ἀμφ᾽ αὑτὸν εἶχεν Ἀλέξανδρος Ἰνδῶν ὅσοι ἰητρικὴν σοφώτατοι, καὶ κεκήρυκτο ἀνὰ τὸ στρατόπεδον, ὅστις δηχθείη, ἐπὶ τὴν σκηνὴν φοιτᾶν τὴν βασιλέως. [12] οἱ δὲ αὐτοὶ οὗτοι καὶ τῶν ἄλλων νούσων τε καὶ παθέων ἰητροὶ ἦσαν. οὐ πολλὰ δὲ ἐν Ἰνδοῖσι πάθεα γίνεται, ὅτι αἱ ὧραι σύμμετροί εἰσιν αὐτόθι· εἰ δέ τι μεῖζον καταλαμβάνοι, τοῖσι σοφιστῇσιν ἀνεκοινοῦντο· καὶ ἐκεῖνοι οὐκ ἄνευ θεοῦ ἐδόκεον ἰῆσθαι ὅ τι περ ἰήσιμον.

16. ἐσθῆτι δὲ Ἰνδοὶ λινέῃ χρέονται, κατάπερ λέγει Νέαρχος, λίνου τοῦ ἀπὸ τῶν δενδρέων, ὑπὲρ ὅτων μοι ἤδη λέλεκται. τὸ δὲ λίνον τοῦτο ἢ λαμπρότερον τὴν χροιήν ἐστιν ἄλλου λίνου παντός, ἢ μέλανες αὐτοὶ ἐόντες λαμπρότερον τὸ λίνον φαίνεσθαι ποιέουσιν. [2] ἔστι δὲ κιθὼν λίνεος αὐτοῖς ἔστε ἐπὶ μέσην τὴν κνήμην, εἷμα δὲ τὸ μὲν περὶ τοῖσιν ὤμοισι περιβεβλημένον, τὸ δὲ περὶ τῇσι κεφαλῇσιν εἱλιγμένον. [3] καὶ ἐνώτια Ἰνδοὶ φορέουσιν ἐλέφαντος ὅσοι κάρτα εὐδαίμονες· οὐ γὰρ πάντες Ἰνδοὶ φορέουσι. [4] τοὺς δὲ πώγωνας λέγει Νέαρχος ὅτι βάπτονται Ἰνδοί, χροιὴν δὲ ἄλλην καὶ ἄλλην <βάπτονται>, οἱ μὲν ὡς λευκοὺς φαίνεσθαι οἵους λευκοτάτους, οἱ δὲ κυανέους, τοῖς δὲ φοινικέους εἶναι, τοῖς δὲ καὶ πορφυρέους, ἄλλοις πρασοειδέας· [5] καὶ σκιάδια ὅτι προβάλλονται τοῦ θέρεος ὅσοι οὐκ ἠμελημένοι Ἰνδῶν. ὑποδήματα δὲ λευκοῦ δέρματος φορέουσι, περιττῶς καὶ ταῦτα ἠσκημένα· καὶ τὰ ἴχνη τῶν ὑποδημάτων αὐτοῖσι ποικίλα καὶ ὑψηλά, τοῦ μέζονας φαίνεσθαι. [6] ὁπλίσιος δὲ τῆς Ἰνδῶν οὐκ ὡυτὸς εἷς τρόπος ἀλλ᾽ οἱ μὲν πεζοὶ αὐτοῖσι τόξον τε ἔχουσι, ἰσόμηκες τῷ φορέοντι τὸ τόξον, καὶ τοῦτο κάτω ἐπὶ τὴν γῆν θέντες καὶ τῷ ποδὶ τῷ ἀριστερῷ ἀντιβάντες, οὕτως ἐκτοξεύουσι, τὴν νευρὴν ἐπὶ μέγα ὀπίσω ἀπαγαγόντες· [7] ὁ γὰρ ὀιστὸς αὐτοῖσιν ὀλίγον ἀποδέων τριπήχεος, οὐδέ τι ἀντέχει τοξευθὲν πρὸς Ἰνδοῦ ἀνδρὸς τοξικοῦ, οὔτε ἀσπὶς οὔτε θώρηξ οὔτε <εἴ> τι <τὸ κάρτα> καρτερὸν ἐγένετο. [8] ἐν δὲ τῇσιν

[10] Afirma Nearco que en la India cazan también serpientes moteadas que son muy veloces y de gran tamaño (dice él que Pitón, el hijo de Antigenes, cazó una de once codos, aunque los indios afirman que las hay mucho mayores). [11] Los médicos griegos aún no han encontrado ningún remedio contra la mordedura de estas serpientes indias, aunque los indios sí saben curar a los mordidos. Sobre esto, añade Nearco que Alejandro llevaba consigo [491] a un grupo de médicos selectos entre los más famosos de la India, y que había mandado pregonar por el ejército que si alguno de sus hombres resultaba mordido por una serpiente debía presentarse inmediatamente ante la tienda del rey.

[12] Estos médicos entendían también de las demás enfermedades y padecimientos. No obstante, en la India no son frecuentes las enfermedades, pues allí las estaciones del año son benignas y suaves. Además, si sobre el pueblo caía la amenaza de alguna calamidad, se comunicaba ello a los sofistas, quienes, no sin cierto concurso divino, subsanaban lo que de ella fuera subsanable.

Indumentaria y otras costumbres de los indios.

16 Los indios se visten, según dice Nearco, con vestidos de lino, que procede de los árboles de los que ya ha tenido ocasión de hablar. Este lino, o es más brillante de color que los demás, o al ser la piel de los indios más negra le da ese aspecto al lino.

[2] Su vestido es una túnica de lino que les llega a cubrir media pierna y un manto que se echan por los hombros y que también va recogido en torno a la cabeza.

[3] No todos los indios, pero sí los más acomodados se adornan sus orejas con pendientes de marfil.

[4] También dice Nearco que los indios se tiñen la barba cada cual de un color; así, unos de blanco para hacerla más brillante, otros de azul oscuro, otros de color granate, otros púrpura y otros, incluso, de color verde [492].

[5] Los indios de buena extracción social se protegen del sol en verano con una sombrilla que alguien le sujeta, y llevan zapatos de piel blanca muy refinadamente trabajada, y de suelas de colores y con tacones para aparentar mayor estatura.

[6] El armamento de los indios no es de tipo uniforme, sino que sus infantes van equipados con un arco [493] tan grande como el arquero. Para dispararlo lo apoyan en tierra y lo sujetan con su pie izquierdo, tensando hacia atrás fuertemente la cuerda. [7] Las flechas que disparan miden casi tres codos, y no hay nada que resista el disparo de un arquero indio, ni escudo ni coraza, ni nada por muy resistente que sea. [8] En su mano

ἀριστερῇσι πέλται εἰσὶν αὐτοῖσιν ὠμοβόιναι, στεινότεραι μὲν ἢ κατὰ τοὺς φορέοντας, μήκει δὲ οὐ πολλὸν ἀποδέουσι. τοῖσι δὲ ἄκοντες ἀντὶ τόξων εἰσί. [9] μάχαιραν δὲ πάντες φορέουσι, πλατείην δὲ καὶ τὸ μῆκος οὐ μείω τριπήχεος· καὶ ταύτην, ἐπεὰν συστάδην καταστῇ αὐτοῖσιν ἡ μάχη—τὸ δὲ οὐκ εὐμαρέως Ἰνδοῖσιν ἐς ἀλλήλους γίνεται—ἀμφοῖν τοῖν χεροῖν καταφέρουσιν ἐς τὴν πληγήν, τοῦ καρτερὴν τὴν πληγὴν γενέσθαι. [10] οἱ δὲ ἱππέες ἀκόντια δύο αὐτοῖσιν ἔχουσιν, οἷα τὰ σαύνια ἀκόντια, καὶ πέλτην [τὴν] μικροτέρην τῶν πεζῶν. οἱ δὲ ἵπποι αὐτοῖσιν οὐ σεσαγμένοι εἰσίν, οὐδὲ χαλινοῦνται τοῖσιν Ἑλληνικοῖσι χαλινοῖσιν ἢ τοῖσι Κελτικοῖσιν ἐμφερέως, [11] ἀλλὰ περὶ ἄκρῳ τῷ στόματι τοῦ ἵππου ἐν κύκλῳ ἔχουσι δέρμα ὠμοβόινον ῥαπτὸν περιηρτημένον, καὶ ἐν τούτῳ χάλκεα κέντρα ἢ σιδήρεα, οὐ κάρτα ὀξέα, ἔσω ἐστραμμένα· τοῖσι δὲ πλουσίοισιν ἐλεφάντινα κέντρα ἐστίν. [12] ἐν δὲ τῷ στόματι σίδηρον αὐτοῖσιν οἱ ἵπποι ἔχουσιν, οἷόν περ ὀβελόν, ἔνθεν ἐξηρτημένοι εἰσὶν αὐτοῖσιν οἱ ῥυτῆρες· ἐπεὰν ὦν ἐπαγάγωσι τὸν ῥυτῆρα, ὅ τε ὀβελὸς κρατέει τὸν ἵππον, καὶ τὰ κέντρα, οἷα δὴ ἐξ αὐτοῦ ἠρτημένα, κεντέοντα οὐκ ἐᾷ ἄλλο τι ἢ πείθεσθαι τῷ ῥυτῆρι.

17. τὰ δὲ σώματα ἰσχνοί τέ εἰσιν Ἰνδοὶ καὶ εὐμήκεες, καὶ κοῦφοι πολλόν τι ὑπὲρ τοὺς ἄλλους ἀνθρώπους. ὀχήματα δὲ τοῖς μὲν πολλοῖς Ἰνδῶν κάμηλοί εἰσιν καὶ ἵπποι καὶ ὄνοι, τοῖς δὲ εὐδαίμοσιν ἐλέφαντες.

[2] βασιλικὸν γὰρ ὄχημα ἐλέφας παρ᾽ Ἰνδοῖς ἐστι, δεύτερον δὲ τιμῇ ἐπὶ τούτῳ τὰ τέθριππα, τρίτον δὲ αἱ κάμηλοι. τὸ δὲ ἐφ᾽ ἑνὸς ἵππου ὀχέεσθαι ἄτιμον. [3] αἱ γυναῖκες δὲ αὐτοῖσιν, ὅσαι κάρτα σώφρονες, ἐπὶ μὲν ἄλλῳ μισθῷ οὐκ ἄν τι διαμάρτοιεν, ἐλέφαντα δὲ λαβοῦσα γυνὴ μίσγεται τῷ δόντι· οὐδὲ αἰσχρὸν Ἰνδοὶ ἄγουσι τὸ ἐπὶ ἐλέφαντι μιγῆναι, ἀλλὰ καὶ σεμνὸν δοκέει τῇσι γυναιξὶν ἀξίην τὸ κάλλος φανῆναι ἐλέφαντος. [4] γαμέουσι δὲ οὔτε τι διδόντες οὔτε λαμβάνοντες, ἀλλὰ ὅσαι ἤδη ὡραῖαι γάμου, ταύτας οἱ πατέρες προάγοντες ἐς τὸ ἐμφανὲς καθιστᾶσιν ἐκλέξασθαι τῷ νικήσαντι πάλην ἢ πὺξ ἢ δρόμον ἢ κατ᾽ ἄλλην τινὰ ἀνδρείαν προκριθέντι. [5] σιτοφάγοι δὲ καὶ ἀροτῆρες Ἰνδοί εἰσιν, ὅσοι γε μὴ ὄρειοι αὐτῶν· οὗτοι δὲ τὰ θήρεια κρέα σιτέονται.

[6] ταῦτά μοι ἀπόχρη δεδηλῶσθαι ὑπὲρ Ἰνδῶν, ὅσα γνωριμώτατα Νέαρχός τε καὶ Μεγασθένης, δοκίμω ἄνδρε, ἀνεγραψάτην, [7] ἐπεὶ οὐδὲ ἡ ὑπόθεσίς μοι τῇσδε τῆς συγγραφῆς τὰ Ἰνδῶν νόμιμα ἀναγράψαι

derecha llevan un pequeño escudo de piel de buey, algo más estrecho que el cuerpo del que lo lleva, pero casi de su misma altura. Otros infantes tienen, en vez de un arco, una jabalina.

[9] Todos llevan una especie de cimitarra de ancha hoja y no menor de tres codos de larga. Cuando el combate tiene lugar cuerpo a cuerpo (lo que raramente ocurre entre indios), golpean de arriba abajo con ambas manos esta cimitarra a fin de conferir mayor violencia al golpe.

[10] Sus jinetes llevan dos pequeñas jabalinas, parecidas a las llamadas saunias [494], y un escudo algo más pequeño que el que llevan los de infantería. Sus caballos no tienen silla de montar, ni van embridados con riendas como los griegos o los celtas, [11] sino que, en el extremo de la boca del caballo, ajustan una correa de piel de buey cosida y bien encajada en la que van cogidas unas puntas de bronce o de hierro, romas y levemente dobladas hacia adelante (los ricos emplean estas correas con dientes de marfil). [12] Los caballos muerden un bocado en forma de broche en cuyos extremos se encajan las riendas, y así, cuando se tira de la rienda, el broche sujeta al caballo y los clavos allí fijados se le clavan en la boca, sin permitirle hacer otra cosa que ser obediente a las riendas .

17 Los indios son de complexión delgada [495], de buena estatura y mucho más ágiles que los demás hombres. Utilizan para sus viajes camellos, caballos y asnos, aunque los más ricos viajan en elefantes. [2] El elefante es el vehículo por excelencia de los reyes indios, a continuación es de gran estima el carro de cuatro caballos y, en tercer lugar, se aprecia el camello. Viajar a lomos de un solo caballo es propio de la gente de baja condición.

[3] Las mujeres más recatadas no se dejan comprar por ningún regalo, pero están dispuestas a entregarse a quien les ofrezca un elefante, y, con esta condición, no ven mal los indios que una mujer se entregue, antes al contrario, es un verdadero honor para una mujer el que su belleza sea evaluada en lo que vale un elefante. [4] El matrimonio se celebra sin que el novio reciba ni tenga que aportar dote alguna, sino que cuando las chicas jóvenes llegan a la edad núbil, sus padres las llevan a la plaza para que cualquiera que haya sido vencedor en una prueba de lucha, boxeo o en alguna carrera, o se distinga por cualquier otra cualidad típicamente masculina, elija la que prefiera. [5] Los indios se alimentan de pan y saben cultivar la tierra, excepto los que vivenen las montañas, que se alimentan de la carne de animales salvajes.

[6] Con lo dicho, tengo para mí que es más que suficiente acerca de los indios. Éstas son informaciones que recopilaron dos hombres famosos, Nearco y Megástenes, [7] mas como el propósito de esta narración mía no es describir las costumbres de los indios,

ἦν, ἀλλ᾽ ὅπως γὰρ παρεκομίσθη Ἀλεξάνδρῳ ἐς Πέρσας ἐξ Ἰνδῶν ὁ στόλος· ταῦτα δὲ ἐκβολή μοι ἔστω τοῦ λόγου.

18. Ἀλέξανδρος γάρ, ἐπειδή οἱ παρεσκεύαστο τὸ ναυτικὸν ἐπὶ τοῦ Ὑδάσπεω τῇσιν ὄχθῃσιν, ἐπιλεγόμενος ὅσοι τε Φοινίκων καὶ ὅσοι Κύπριοι ἢ Αἰγύπτιοι εἵποντο ἐν τῇ ἄνω στρατηλασίῃ, ἐκ τούτων ἐπλήρου τὰς νέας, ὑπηρεσίας τε αὐτῇσι καὶ ἐρέτας ἐπιλεγόμενος ὅσοι τῶν θαλασσίων ἔργων δαήμονες. [2] ἦσαν δὲ καὶ νησιῶται ἄνδρες οὐκ ὀλίγοι ἐν τῇ στρατιῇ οἷς ταῦτα ἔμελε, καὶ Ἴωνες καὶ Ἑλλησπόντιοι.

[3] τριήραρχοι δὲ αὐτῷ ἐπεστάθησαν ἐκ Μακεδόνων μὲν Ἡφαιστίων τε Ἀμύντορος καὶ Λεόννατος ὁ Εὔνου[I] καὶ Λυσίμαχος ὁ Ἀγαθοκλέους καὶ Ἀσκληπιόδωρος ὁ Τιμάνδρου καὶ Ἄρχων ὁ Κλεινίου καὶ Δημόνικος ὁ Ἀθηναίου καὶ Ἀρχίας ὁ Ἀναξιδότου καὶ Ὀφέλλας Σειληνοῦ καὶ Τιμάνθης Παντιάδου. οὗτοι μὲν Πελλαῖοι· ἐκ δὲ Ἀμφιπόλεως ἦγον οἵδε· [4] [ἐκ Κρήτης] Νέαρχος Ἀνδροτίμου, ὃς τὰ ἀμφὶ τῷ παράπλῳ ἀνέγραψε, καὶ Λαομέδων Λαρίχου, καὶ Ἀνδροσθένης Καλλιστράτου· [5] ἐκ δὲ Ὀρεστίδος Κράτερός τε ὁ Ἀλεξάνδρου καὶ Περδίκκας ὁ Ὀρόντεω· Ἐορδαῖοι δὲ Πτολεμαῖός τε ὁ Λάγου καὶ Ἀριστόνους ὁ Πεισαίου. ἐκ Πύδνης δὲ Μήτρων τε ὁ Ἐπιχάρμου καὶ Νικαρχίδης ὁ Σίμου. [6] ἐπὶ δὲ Ἄτταλός τε ὁ Ἀνδρομένεος Τυμφαῖος καὶ Πευκέστας Ἀλεξάνδρου Μιεζεὺς καὶ Πείθων Κρατεύα Ἀλκομενεὺς καὶ Λεόννατος Ἀντιπάτρου Αἰγαῖος καὶ Πάνταυχος Νικολάου Ἀλωρίτης καὶ Μυλλέας Ζωΐλου Βεροιαῖος. οὗτοι μὲν οἱ σύμπαντες Μακεδόνες· [7] Ἑλλήνων δὲ Μήδιος μὲν Ὀξυθέμιδος Λαρισαῖος, Εὐμένης δὲ Ἱερωνύμου ἐκ Καρδίης, Κριτόβουλος δὲ Πλάτωνος Κῷος, καὶ Θόας Μανδροδώρου[II] καὶ Μαίανδρος Μανδρογένεος Μάγνητες, [8] Ἄνδρων δὲ Καβήλεω Τήιος. Κυπρίων δὲ Νικοκλέης Πασικράτεος Σόλιος καὶ Νιθάφων Πνυταγόρεω Σαλαμίνιος. ἦν δὲ δὴ καὶ Πέρσης αὐτῷ τριήραρχος, Βαγώας ὁ Φαρνούχεος. [9] τῆς δὲ αὐτοῦ Ἀλεξάνδρου νεὼς κυβερνήτης ἦν Ὀνησίκριτος Ἀστυπαλαιεύς, γραμματεὺς δὲ τοῦ στόλου παντὸς Εὐαγόρας Εὐκλέωνος Κορίνθιος. [10] ναύαρχος δὲ αὐτοῖσιν ἐπεστάθη

sino describir cómo pudo pasar la flota de Alejandro desde la India a Persia, considérese lo hasta aquí dicho como una simple digresión de mi relato.

Comienzos de la expedición del periplo de Nearco.

18 En efecto, Alejandro, una vez dispuesta para la marcha ya su flota a orillas del Hidaspes, reunió a los fenicios, chipriotas y egipcios que le habían acompañado en su expedición tierras adentro y, de entre ellos, seleccionó a los más expertos marineros para dotar sus naves de marineros y remeros.

[2] Además de éstos, había también en la flota no pocos marineros de las islas, hombres también muy duchos en asuntos de mar, especialmente jonios y gente del Helesponto.

[3] Eligió trierarcos a los siguientes macedonios: Hefestión, hijo de Amintor; Leónato, hijo de Anteas; Lisímaco, hijo de Agatocles; Asclepiodoro, hijo de Timandro; Arconte, hijo de Clinias; Demónico, hijo de Ateneo; Arquias, hijo de Anaxídoto; Ofelas, hijo de Sileno, y Timantes, hijo de Pantíades, todos ellos de Pela; por su parte, eran de Anfípolis los siguientes: [4] Nearco, hijo de Andrótimo, que fue quien narró el periplo; Laomedonte, hijo de Lárico, y Andróstenes, hijo de Calístrato. [5] De la Oréstide eran Crátero, hijo de Alejandro, y Perdicas, hijo de Orontes; de Eordea eran Tolomeo, hijo de Lago, y Aristobulo, hijo de Piseo; de Pidna, Metrón, hijo de Epicarmo, y Nicarquides, hijo de Simo. [6] Además, Átalo, hijo de Andrómeno, natural de Estinfea; Peucestas, hijo de Alejandro, natural de Mieza; Pitón, hijo de Crátevas, natural de Alcómeno; Leónato, hijo de Antípatro, que era de Egas; Pantauco, hijo de Nicolao, natural de Aloro; Mílea, hijo de Zoilo, natural de Berea. Todos ellos macedonios.

[7] De otra parte, estaban también los siguientes griegos: Medio, hijo de Oxítemis, que era de Larisa; Éumenes, hijo de Jerónimo, natural de Cardia; Critobulo, hijo de Platón, originario de Cos; Toante, hijo de Menodoro, y Meandro, hijo de Mandrógenes, ambos de Magnesia. [8] De Teos era originario Andrón, el hijo de Cabele, así como el chipriota Nicocles, hijo de Pasícrates (natural de Solo), y Nitafón, hijo de Pnitágoras, natural de Salamina. También había un trierarco persa llamado Bagoas, hijo de Farnuces.

[9] El timonel de la propia nave de Alejandro era Onesícrito, natural de Astipalea, y el intendente de toda la flota era Evágoras, el hijo de Eucleón, de Corinto. [10] Alejandro nombró navarco a

[I] Ver nota al texto Anab. iii 5, 5. Jacoby propone ὁ < . . . καὶ Ἀσκληπιόδωρος ὁ> Εὐ<νί>κου.

[II] [1]Μηνοδώρου codd., Roos, but cf. Anab. vi 23 , 2 ; Berve ii 181 n. 1 .

Νέαρχος Ἀνδροτίμου, τὸ γένος μὲν Κρὴς ὁ Νέαρχος, ᾤκει δὲ ἐν Ἀμφιπόλει τῇ ἐπὶ Στρυμόνι. [11] ὡς δὲ ταῦτα ἐκεκόσμητο Ἀλεξάνδρῳ, ἔθυε τοῖς θεοῖσιν ὅσοι τε πάτριοι ἢ μαντευτοὶ αὐτῷ καὶ Ποσειδῶνι καὶ Ἀμφιτρίτῃ καὶ Νηρηίσι καὶ αὐτῷ τῷ Ὠκεανῷ, καὶ τῷ Ὑδάσπῃ ποταμῷ, ἀπ᾽ ὅτου ὡρμᾶτο, καὶ τῷ Ἀκεσίνῃ, ἐς ὅντινα ἐκδιδοῖ ὁ Ὑδάσπης, καὶ τῷ Ἰνδῷ, ἐς ὅντινα ἄμφω [12] ἐκδιδοῦσιν· ἀγῶνές τε αὐτῷ μουσικοὶ καὶ γυμνικοὶ ἐποιεῦντο, καὶ ἱερεῖα τῇ στρατιῇ πάσῃ κατὰ τέλεα ἐδίδοτο.

19. ὡς δὲ πάντα ἐξήρτυτο αὐτῷ ἐς ἀναγωγήν, Κράτερον μὲν τὰ ἐπὶ θάτερα τοῦ Ὑδάσπεω ἰέναι σὺν στρατιῇ [πεζῇ] ἐκέλευσε πεζικῇ τε καὶ ἱππικῇ· ἐς τὸ ἐπὶ θάτερα <δὲ> Ἡφαιστίων αὐτῷ παρεπορεύετο σὺν ἄλλῃ στρατιῇ πλείονι ἔτι τῆς Κρατέρῳ συντεταγμένης. καὶ τοὺς ἐλέφαντας Ἡφαιστίων αὐτῷ ἦγεν, ὄντας ἐς διακοσίους. [2] αὐτὸς δὲ τούς τε ὑπασπιστὰς καλεομένους ἅμα οἷ ἦγε καὶ τοὺς τοξότας πάντας καὶ τῶν ἱππέων τοὺς ἑταίρους καλεομένους, τοὺς πάντας ἐς ὀκτακισχιλίους. [3] τοῖσι μὲν δὴ ἀμφὶ Κράτερον καὶ Ἡφαιστίωνα ἐτέτακτο ἵνα προπορευθέντες ὑπομένοιεν τὸν στόλον. [4] Φίλιππον δέ, ὃς αὐτῷ σατράπης τῆς χώρης ταύτης ἦν, ἐπὶ τοῦ Ἀκεσίνου ποταμοῦ τὰς ὄχθας πέμπει, ἅμα στρατιῇ πολλῇ καὶ τοῦτον· [5] ἤδη γὰρ καὶ δώδεκα μυριάδες αὐτῷ μάχιμοι εἵποντο σὺν οἷς ἀπὸ θαλάσσης τε αὐτὸς ἀνήγαγε καὶ αὖθις οἱ ἐπὶ συλλογὴν αὐτῷ στρατιᾶς πεμφθέντες ἧκον ἔχοντες, παντοῖα ἔθνεα βαρβαρικὰ ἅμα οἷ ἄγοντι καὶ πᾶσαν ἰδέην ὡπλισμένα. [6] αὐτὸς δὲ ἄρας ταῖς ναυσὶ κατέπλει κατὰ τὸν Ὑδάσπεα ἔστε ἐπὶ τοῦ Ἀκεσίνου τε καὶ τοῦ Ὑδάσπεω τὰς συμβολάς. [7] νῆες δὲ αἱ σύμπασαι αὐτῷ ὀκτακόσιαι ἦσαν, αἵ τε μακραὶ καὶ ὅσα στρογγύλα πλοῖα καὶ ἄλλαι ἱππαγωγοὶ καὶ σιτία ἅμα τῇ στρατιῇ ἄγουσαι.

[8] ὅπως μὲν δὴ κατὰ τοὺς ποταμοὺς κατέπλευσεν αὐτῷ ὁ στόλος, καὶ ὅσα ἐν τῷ παράπλῳ ἔθνεα κατεστρέψατο, καὶ ὅπως διὰ κινδύνου αὐτὸς ἐν Μαλλοῖς ἧκε, καὶ τὸ τρῶμα ὃ ἐτρώθη ἐν Μαλλοῖς, καὶ Πευκέστας τε καὶ Λεόννατος ὅπως ὑπερήσπισαν αὐτὸν πεσόντα, πάντα ταῦτα λέλεκταί μοι ἤδη ἐν τῇ ἄλλῃ τῇ Ἀττικῇ ξυγγραφῇ. [9] ὁ δὲ λόγος ὅδε τοῦ παράπλου μοι ἀφήγησίς ἐστιν, ὃν Νέαρχος σὺν τῷ στόλῳ παρέπλευσεν ἀπὸ τοῦ Ἰνδοῦ τῶν ἐκβολέων ὁρμηθεὶς κατὰ τὴν θάλασσαν τὴν μεγάλην ἔστε ἐπὶ τὸν κόλπον τὸν Περσικόν, ἣν δὴ Ἐρυθρὴν θάλασσαν μετεξέτεροι καλέουσι.

Nearco, hijo de Andrótimo, que era de familia cretense, aunque se había domiciliado en Anfípolis a orillas del río Estrimón.

[11] Una vez todo en regla, Alejandro ofreció un sacrificio a los dioses (a los familiares y a los que los adivinos indicaron), además a Posidón, Anfitrite, a las Nereidas, al propio Océano, al Hidaspes, de donde iba a partir la expedición, al Acesines (del que el Hidaspes es un afluente), así como al Indo, al que van a parar las aguas de aquellos dos. Se celebraron certámenes musicales y gimnásticos y se repartieron las víctimas del sacrificio por los destacamentos de todo el ejército.

19 Una vez hechos todos los preparativos para el viaje [496], ordenó a Crátero que pasara a la otra orilla del Hidaspes con la infantería y la caballería. En paralelo por la otra orilla iría Hefestión con un contingente aún mayor que el que acompañaba a Crátero [497]. Los elefantes fueron con Hefestión, en numero de doscientos.

[2] Por su parte, quedaron con Alejandro los llamados hipaspistas, todos los arqueros, y de la caballería los batallones de los llamados Compañeros, lo que hacían un total de ocho mil hombres [498].

[3] El cometido de Crátero, Hefestión y sus respectivos hombres era componer una avanzadilla que esperara [4] a la flota. Alejandro dispuso, igualmente, que Filipo, el sátrapa de esta región, marchara a la orilla del río Acesines, acompañado también de un numeroso ejército. [5] El contingente de combatientes con que contaba era de ciento veinte mil hombres, sumados los que él mismo había traído desde la costa, los que se habían incorporado en la leva hecha últimamente por sus oficiales; hay que decir, sin embargo, que en este ejército tan numeroso había gente de todas las tribus bárbaras y que su equipo militar era de lo más variado.

[6] Levó, pues, anclas Alejandro y navegó río abajo por el Hidaspes hasta la confluencia del Hidaspes y el Acesines. [7] El número total de naves era de ochocientas, entre las largas naves de guerra, cargueros, naves de transporte de animales y víveres, en las que también se embarcaban las tropas.

[8] Cómo efectuó la travesía río abajo su flota, a cuántos pueblos sometió a su paso por las riberas, el grave peligro que les sobrevino en territorio de los malios donde él mismo resultó herido, cómo le salvaron la vida protegiéndole con el escudo Peucestas y Leónato cuando él se hallaba abatido por tierra; todas estas circunstancias ya las he narrado en mi obra [499] escrita en ático.

[9] Mi objetivo en este relato es el periplo que realizó Nearco con la flota, partiendo de la desembocadura del Indo a través del Océano, hasta alcanzar el golfo Pérsico, llamado por otros mar Rojo [500].

20. Νεάρχῳ δὲ λέλεκται ὑπὲρ τούτων ὅδε ὁ λόγος. πόθον μὲν εἶναι Ἀλεξάνδρῳ ἐκπεριπλῶσαι τὴν θάλασσαν τὴν ἀπὸ Ἰνδῶν ἔστε ἐπὶ τὴν Περσικήν, [2] ὀκνέειν δὲ αὐτὸν τοῦ τε πλόου τὸ μῆκος καὶ μή τινι ἄρα χώρῃ ἐρήμῳ ἐγκύρσαντες ἢ ὅρμων ἀπόρῳ ἢ οὐ ξυμμέτρως ἐχούσῃ τῶν ὡραίων, οὕτω δὴ διαφθαρῇ αὐτῷ ὁ στόλος, καὶ οὐ φαύλη κηλὶς αὕτη τοῖς ἔργοισιν αὐτοῦ τοῖσι μεγάλοισιν ἐπιγενομένη τὴν πᾶσαν εὐτυχίην αὐτῷ ἀφανίσῃ· ἀλλὰ ἐκνικῆσαι γὰρ αὐτῷ τὴν ἐπιθυμίην τοῦ καινόν τι αἰεὶ καὶ ἄτοπον ἐργάζεσθαι. [3] ἀπόρως δὲ ἔχειν ὅντινα οὐκ ἀδύνατόν τε ἐς τὰ ἐπινοούμενα ἐπιλέξαιτο καὶ ἅμα τῶν ἐν νηὶ ἀνδρῶν, ὡς καὶ [τῶν] τοιοῦτον στόλον στελλομένων, ἀφελεῖν τὸ δεῖμα τοῦ δὴ ἠμελημένως αὐτοὺς ἐς προῦπτον κίνδυνον ἐκπέμπεσθαι. [4] λέγει δὴ ὁ Νέαρχος ἑωυτῷ ξυνοῦσθαι τὸν Ἀλέξανδρον ὅντινα προχειρίσηται ἐξηγέεσθαι τοῦ στόλου. ὡς δὲ ἄλλου καὶ ἄλλου ἐς μνήμην ἰόντα τοὺς μὲν ὡς οὐκ ἐθέλοντας κινδυνεύειν ὑπὲρ οὗ ἀπολέγειν, τοὺς δὲ ὡς μαλακοὺς τὸν θυμόν, τοὺς δὲ ὡς πόθῳ τῆς οἰκηίης κατεχομένους, [5] τοῖς δὲ ἄλλο καὶ ἄλλο ἐπικαλέοντα, τότε δὴ αὐτὸν ὑποστάντα εἰπεῖν ὅτι "ὦ βασιλεῦ, ἐγώ τοι ὑποδέκομαι ἐξηγήσεσθαι τοῦ στόλου, καὶ εἰ τὰ ἀπὸ τοῦ θείου ξυνεπιλαμβάνοι, περιάξω τοι σῶας τὰς νέας καὶ τοὺς ἀνθρώπους ἔστε ἐπὶ τὴν Περσίδα γῆν, εἰ δὴ πλωτός τέ ἐστιν ὁ ταύτῃ πόντος καὶ τὸ ἔργον οὐκ ἄπορον γνώμῃ ἀνθρωπηίῃ." [6] Ἀλέξανδρον δὲ λόγῳ μὲν οὐ φάναι ἐθέλειν ἐς τοσήνδε ταλαιπωρίην καὶ τοσόνδε κίνδυνον τῶν τινα ἑαυτοῦ φίλων ἐμβάλλειν, αὐτὸν δὲ ταύτῃ δὴ καὶ μᾶλλον οὐκ ἀνιέναι ἀλλὰ λιπαρεῖν. [7] οὕτω δὴ ἀγαπῆσαί τε Ἀλέξανδρον τοῦ Νεάρχου τὴν προθυμίην, καὶ ἐπιστῆσαι αὐτὸν ἄρχειν τοῦ στόλου παντός. [8] καὶ τότε δὴ ἔτι μᾶλλον τῆς στρατιῆς ὅ τι περ ἐπὶ τῷ παράπλῳ τῷδε ἐτάσσετο καὶ τὰς ὑπηρεσίας ἵλεω ἔχειν τὴν γνώμην, ὅτι δὴ Νέαρχόν γε οὔποτε ἂν Ἀλέξανδρος προήκατο ἐς κίνδυνον καταφανέα, εἰ μή σφι σωθήσεσθαι ἔμελλεν. [9] λαμπρότης τε πολλὴ τῇ παρασκευῇ ἐποῦσα καὶ κόσμος τῶν νεῶν καὶ σπουδαὶ τῶν τριηράρχων ἀμφὶ τὰς ὑπηρεσίας τε καὶ τὰ πληρώματα ἐκπρεπέες καὶ τοὺς πάντ᾽ ἤδη πάλαι κατοκνέοντας ἐς ῥώμην ἅμα καὶ ἐλπίδας χρηστοτέρας ὑπὲρ τοῦ παντὸς ἔργου ἐπηρκότα ἦν. [10] πολὺ δὲ δὴ συνεπιλαβέσθαι ἐς εὐθυμίην τῇ στρατιῇ τὸ δὴ αὐτὸν Ἀλέξανδρον ὁρμηθέντα κατὰ τοῦ Ἰνδοῦ τὰ στόματα ἀμφότερα ἐκπλῶσαι ἐς τὸν πόντον σφάγιά τε τῷ Ποσειδῶνι

20 El propio Nearco nos da este relato de la expedición. Alejandro tuvo un vivo interés [501] por bordear la franja de mar que va desde la desembocadura del Indo hasta el golfo Pérsico.

[2] Al propio tiempo tenía sus prevenciones ante una travesía tan larga, no fuera a ocurrir que sus hombres quedaran encallados en algún paraje desierto, sin fondeaderos o sin víveres suficientes, sobreviniendo así la destrucción de su flota, y, con esta no pequeña desgracia, temía que quedara echada por tierra la actual felicidad que le embargaba tras la ejecución de tan grandes hazañas. Ante tal dilema, se impuso su deseo de llevar a cabo siempre algo nuevo e inusitado.

[3] Indeciso estuvo acerca de a quién elegir que estuviera capacitado para tan penosa empresa y que supiera eliminar de los marineros el miedo de pensar que aquella expedición tan ciegamente les conduciría a un evidente peligro.

[4] Cuenta Nearco que se entrevistó, él mismo, con Alejandro para elegir a quién se pondría al frente de la flota y que, haciendo el recuento de tales y tales nombres, iban quedando descartados una serie de ellos: unos, porque no querían correr tal riesgo en beneficio de Alejandro; otros, porque eran en exceso pusilánimes; a otros, se lo impedía su añoranza por regresar a su casa, [5] y así, para cada cual, fue surgiendo algún inconveniente. Fue entonces cuando Nearco se ofreció a sí mismo diciendo: «Señor, te sugiero que sea yo mismo quien conduzca tu flota y, si la divinidad me ayuda en la empresa, te he de conducir tus naves y tus hombres sanos y salvos hasta la tierra de Persia, si este mar es hasta allí navegable y la empresa no es imposible a una humana inteligencia.»

[6] Alejandro le contesto diciendo que no quería exponer a una tan penosa travesía y de tan grandes peligros a uno de sus amigos, pero, ante esto, Nearco no cedió, [7] sino que se lo suplicó encarecidamente, hasta que Alejandro, elogiando el arrojo de Nearco, le designó responsable máximo de toda la flota.

[8] Fue entonces cuando la mayor parte de los hombres designados para formar parte de la expedición, a más de la marinería, sintieron mayor contento en sus espíritus, pues se decían: «A Nearco nunca lo hubiera Alejandro lanzado a un evidente peligro, si no hubiera posibilidad de escapar de él.»

[9] El nuevo esplendor de los preparativos, el aparejo de las naves y los extremados desvelos de los trierarcos por su marinería y el equipamiento habían bastado para levantar el ánimo de los que, desde el principio, estaban más recelosos y sin optimismo por toda la empresa.

[10] Contribuyó también, en gran manera, a levantar los ánimos del ejército la circunstancia de que Alejandro había bajado y explorado las dos bocas del Indo hasta el mar, que había ofrecido sacrificios a Posidón

ἐντεμεῖν καὶ ὅσοι ἄλλοι θεοὶ θαλάσσιοι, καὶ δῶρα μεγαλοπρεπέα τῇ θαλάσσῃ χαρίσασθαι. [11] τῇ τε ἄλλῃ τῇ Ἀλεξάνδρου παραλόγῳ εὐτυχίῃ πεποιθότας οὐδὲν ὅ τι οὐ τολμητόν τε ἐκείνῳ καὶ ἐρκτὸν ἡγέεσθαι.

21. ὡς δὲ τὰ ἐτήσια πνεύματα ἐκοιμήθη, ἃ δὴ τοῦ θέρεος τὴν ὥρην πᾶσαν κατέχει ἐκ τοῦ πελάγεος ἐπιπνέοντα ἐπὶ τὴν γῆν καὶ ταύτῃ ἄπορον τὸν πλοῦν ποιέοντα, τότε δὴ ὡρμῶντο ἐπὶ ἄρχοντος Ἀθήνῃσι Κηφισοδώρου, εἰκάδι τοῦ Βοηδρομιῶνος μηνός καθότι Ἀθηναῖοι ἄγουσιν, ὡς δὲ Μακεδόνες τε καὶ Ἀσιανοὶ ἦγον <μηνὸς Ὑπερβερεταίου, ἔτος> τὸ ἑνδέκατον βασιλεύοντος Ἀλεξάνδρου.

[2] θύει δὲ καὶ Νέαρχος πρὸ τῆς ἀναγωγῆς Διὶ Σωτῆρι καὶ ἀγῶνα ποιέει καὶ οὗτος γυμνικόν. ἄραντες δὲ ἀπὸ τοῦ ναυστάθμου τῇ πρώτῃ ἡμέρῃ κατὰ τὸν Ἰνδὸν ποταμὸν ὁρμίζονται πρὸς διώρυχι μεγάλῃ, καὶ μένουσιν αὐτοῦ δύο ἡμέρας· Στοῦρα δὲ ὄνομα ἦν τῷ χώρῳ· στάδιοι ἀπὸ τοῦ ναυστάθμου ἐς ἑκατόν. [3] τῇ τρίτῃ δὲ ἄραντες ἔπλεον ἔστε ἐπὶ διώρυχα ἄλλην σταδίους τριάκοντα, ἁλμυρὴν ἤδη ταύτην τὴν διώρυχα· ἀνῄει γὰρ ἡ θάλασσα ἐς αὐτήν, μάλιστα μὲν τῇσι πλημμυρίῃσιν, ὑπέμενε δὲ καὶ ἐν τῇ<σιν> ἀμπώτεσι τὸ ὕδωρ μεμιγμένον τῷ ποταμῷ· Καύμανα δὲ οὔνομα ἦν τῷ χώρῳ. [4] ἐνθένδε εἴκοσι σταδίους καταπλώσαντες ἐς Κορέεστιν ὁρμίζονται ἔτι κατὰ τὸν ποταμόν. ἐνθένδε ὁρμηθέντες ἔπλεον οὐκ ἐπὶ πολλόν· [5] ἕρμα γὰρ ἐφάνη αὐτοῖσι κατὰ τὴν ἐκβολὴν τὴν ταύτῃ τοῦ Ἰνδοῦ καὶ τὰ κύματα ἐρρόχθει πρὸς τῇ ἠιόνι, καὶ ἡ ἠιὼν αὕτη τραχεῖα ἦν. [6] ἀλλὰ ἵναπερ μαλθακὸν ἦν τοῦ ἕρματος, ταύτῃ διώρυχα ποιήσαντες ἐπὶ σταδίους πέντε, διῆγον τὰς νέας, ἐπειδὴ ἡ πλήμμυρα ἐπῆλθεν ἡ ἐκ τοῦ πόντου.

[7] ἐκπεριπλώσαντες δὲ σταδίους πεντήκοντα καὶ ἑκατὸν ὁρμίζονται ἐς Κρώκαλα νῆσον ἀμμώδεα καὶ μένουσιν αὐτοῦ τὴν ἄλλην ἡμέραν.

[8] προσοικέει δὲ ταύτῃ ἔθνος Ἰνδικόν, οἱ Ἀράβιες καλεόμενοι, ὧν καὶ ἐν τῇ μέζονι ξυγγραφῇ μνήμην ἔσχον, καὶ ὅτι εἰσὶν ἐπώνυμοι ποταμοῦ Ἀράβιος, ὃς διὰ τῆς γῆς αὐτῶν ῥέων ἐκδιδοῖ ἐς θάλασσαν, ὁρίζων τούτων τε τὴν χώρην καὶ τὴν Ὠρειτέων. [9] ἐκ δὲ Κρωκάλων ἐν δεξιᾷ μὲν ἔχοντες ὄρος τὸ καλεόμενον αὐτοῖσιν Εἶρον, ἐν ἀριστερᾷ δὲ νῆσον ἁλιτενέα ἔπλεον· ἡ δὲ νῆσος παρατεταμένη τῇ ἠιόνι κόλπον στεινὸν ποιέει. [10] διεκπλεύσαντες δὲ ταύτην ὁρμίζονται ἐν λιμένι εὐόρμῳ.

y otras divinidades marinas, y se había congraciado con el mar mediante estupendos regalos.

[11] Confiados, además, en la perenne y, a veces, incomprensible buena suerte de Alejandro, pensaban que no habría riesgos que aquél no se atreviera a correr y llevar a buen término.

21 Cuando se calmaron los vientos etesios [502], que soplan durante el verano del mar tierra adentro (haciendo por completo imposible la navegación por la zona), se puso en marcha la expedición, siendo arconte en Atenas Cefisodoro, el día veinte del mes Boedromión según el cómputo ateniense. Según el cómputo macedonio y asiático *** [503] del décimo-primer año del reinado de Alejandro [504].

[2] También Nearco ofreció un sacrificio a Zeus Salvador antes de emprender la marcha y celebró, también, un certamen gimnástico. Levaron anclas, pues, en el puerto y, durante el primer día, bajaron por el río Indo cerca de un gran canal, donde aguardaron dos días. Este lugar se llamaba Estura y distaba unos cien estadios del fondeadero. [3] Al tercer día reemprendieron la marcha hasta alcanzar un canal, a unos treinta estadios de distancia, que era ya de agua salada, pues el agua del mar remonta la corriente del río en la pleamar, y el agua salada permanece allí mezclada con el agua dulce incluso cuando la marea baja. Este lugar se llamaba Caumana.

[4] Bajaron desde aquí unos veinte estadios más y anclaron en Corestis, todavía en el cauce del río. Partieron de aquí para bajar tan sólo un corto trayecto, [5] pues apareció ante su vista una barra en la desembocadura del Indo, en la que las olas rompían contra la costa, que era en aquel lugar muy rocosa.

[6] Por una parte, la barra parecía menos compacta, lo que fue aprovechado para abrir por allí un canal de cinco estadios por donde las naves pudieron cruzar al subir la marea. [7] Dando un pequeño rodeo de unos ciento cincuenta estadios echaron anclas en una isla, de playas arenosas, llamada Crócala, donde permanecieron el día siguiente. [8] En esta región habitan unos indios del pueblo llamado arabeo, de los que ya he hecho mención en mi obra mayor [505], y es su río Arabeo el que da nombre a sus habitantes, riega sus tierras antes de llegar al mar y sirve de frontera con el país de los oritas.

[9] Desde Crócala y, dejando a su derecha el llamado monte Iro y a su izquierda una isla muy llana, se pusieron de nuevo en marcha. Esta isla se extiende paralela a la costa formando un estrecho golfo.[10] Pues bien, una vez rebasaron esta isla, fondearon en un acogedor puerto,

ὅτι δὲ μέγας τε καὶ καλὸς ὁ λιμήν, Νεάρχῳ ἔδοξεν ἐπονομάζειν αὐτὸν Ἀλεξάνδρου λιμένα. [11] νῆσος δέ ἐστιν ἐπὶ τῷ στόματι τοῦ λιμένος ὅσον σταδίους δύο ἀπέχουσα· Βίβακτα ὄνομα τῇ νήσῳ, ὁ δὲ χῶρος ἅπας Σάγγαδα. ἡ δὲ νῆσος καὶ τὸν λιμένα, προκειμένη πρὸ τοῦ πελάγεος, αὐτὴ ἐποίεεν. [12] ἐνταῦθα πνεύματα μεγάλα ἐκ τοῦ πόντου ἔπνεε καὶ συνεχέα, καὶ Νέαρχος δείσας τῶν βαρβάρων μή τινες συνταχθέντες ἐφ᾽ ἁρπαγὴν τοῦ στρατοπέδου τραποίατο, ἐκτειχίζει τὸν χῶρον λιθίνῳ τείχει. [13] τέσσαρες δὲ καὶ εἴκοσιν ἡμέραι τῇ μονῇ ἐγένοντο. καὶ λέγει ὅτι μύας τε ἐθήρων τοὺς θαλασσίους οἱ στρατιῶται, καὶ ὄστρεια δὲ καὶ τοὺς σωλῆνας καλεομένους, ἄτοπα τὸ μέγεθος, ὡς τοῖσιν ἐν τῇδε τῇ ἡμετέρῃ θαλάσσῃ συμβαλέειν· καὶ ὕδωρ ὅτι ἁλμυρὸν ἐπίνετο.

22. ἅμα τε ὁ ἄνεμος ἐπαύσατο καὶ οἳ ἀνήγοντο. καὶ περαιωθέντες σταδίους ἐς ἑξήκοντα ὁρμίζονται πρὸς αἰγιαλῷ ψαμμώδεϊ· νῆσος δὲ ἐπῆν τῷ αἰγιαλῷ ἐρήμη. ταύτην δὲ πρόβλημα ποιησάμενοι ὡρμίσθησαν· Δόμαι οὔνομα τῇ νήσῳ. [2] ὕδωρ δὲ οὐκ ἦν ἐν τῷ αἰγιαλῷ, ἀλλὰ προελθόντες ἐς τὴν μεσογαίην ὅσον εἴκοσι σταδίους ἐπιτυγχάνουσιν ὕδατι καλῷ. [3] τῇ δὲ ὑστεραίῃ ἐς νύκτα αὐτοῖς ὁ πλόος ἐγίνετο ἐς Σάραγγα σταδίους τριακοσίους, καὶ ὁρμίζονται πρὸς αἰγιαλῷ, καὶ ὕδωρ ἦν ἀπὸ τοῦ αἰγιαλοῦ ὅσον ὀκτὼ σταδίους.

[4] ἐνθένδε πλώσαντες ὁρμίζονται ἐν Σακάλοισι, τόπῳ ἐρήμῳ. καὶ διεκπλώσαντες σκοπέλους δύο, οὕτω τι ἀλλήλοις πελάζοντας, ὥστε τοὺς ταρσοὺς τῶν νεῶν ἅπτεσθαι ἔνθεν καὶ ἔνθεν τῶν πετρέων, καθορμίζονται ἐν Μοροντοβάροις, σταδίους διελθόντες ἐς τριακοσίους· [5] ὁ δὲ λιμὴν μέγας καὶ εὔκυκλος καὶ βαθὺς καὶ ἄκλυστος, ὁ δὲ ἔσπλους ἐς αὐτὸν στεινός. τοῦτον τῇ γλώσσῃ τῇ ἐπιχωρίῃ Γυναικῶν λιμένα ἐκάλεον, ὅτι γυνὴ τοῦ χώρου τούτου πρώτη ἐπῆρξεν. [6] ὡς δὲ διὰ τῶν σκοπέλων διεξέπλεον, κύμασι τε μεγάλοις ἐνέκυρσαν καὶ τῇ θαλάσσῃ ῥοώδει. ἀλλὰ ἐκπεριπλῶσαι γὰρ ὑπὲρ τοὺς σκοπέλους μέγα ἔργον ἐφαίνετο. [7] ἐς δὲ τὴν ὑστεραίην ἔπλεον νῆσον ἐν ἀριστερᾷ ἔχοντες πρὸ τοῦ πελάγεος οὕτω τι τῷ αἰγιαλῷ συναφέα ὥστε εἰκάσαι ἂν διώρυχα εἶναι τὸ μέσον τοῦ τε αἰγιαλοῦ καὶ τῆς νήσου· στάδιοι οἱ πάντες ἑβδομήκοντα τοῦ διέκπλου. καὶ ἐπί τε τοῦ αἰγιαλοῦ δένδρεα ἦν πολλὰ καὶ δασέα, καὶ ἡ νῆσος ὕλῃ παντοίῃ σύσκιος. [8] ὑπὸ δὲ τὴν ἕω ἔπλεον ἔξω τῆς νήσου κατὰ ῥηχίην στενήν· ἔτι γὰρ ἡ ἀνάπωτις κατεῖχε.

amplio y precioso, lo cual llevó a Nearco a darle el nombre de «Puerto de Alejandro» [506].

[11] En la embocadura del puerto se halla una isla, a una distancia de dos estadios, llamada Bibacta, que pertenece a la región de Sangada. La propia isla era la que formaba el puerto, pues abrigaba la costa al estar situada en pleno mar.

[12] Allá soplan violentos y constantes los vientos del mar, y Nearco, temiendo que algunas tribus bárbaras se reunieran para saquear el campamento, rodeó el emplazamiento con un muro de piedra. [13] Allí estuvieron fondeados veinticuatro días, durante los cuales los hombres de Nearco se dedicaron a pescar mejillones, ostras y las llamadas navajas; enormes todos ellos de tamaño, si los comparamos con los que se hallan en nuestras playas. Dice Nearco que sus hombres bebían el agua salada del lugar.

22 Una vez cesó el viento, levaron anclas y, después de recorrer unos sesenta estadios, se detuvieron de nuevo en una costa de playas muy cerca de una isla desierta llamada Domai, que les sirvió de refugio donde anclar. [2] En la costa no había agua, mas se adentraron unos veinte estadios y encontraron agua potable en abundancia. [3] Al día siguiente navegaron hasta que se hizo de noche y llegaron a Saranga, que se hallaba a unos trescientos estadios [507], y allí sí pudieron encontrar agua a unos ocho estadios de la playa en la que habían echado anclas.

[4] Se hicieron luego desde allí a la mar y recalaron en Sacalas, un paraje desértico. Pasaron entre dos peñascos, tan próximos el uno del otro que los remos de los barcos tocaban ya a uno ya a otro lado de las rocas; al cabo de poco anclaron en Morontobara, después de haber recorrido trescientos estadios.

[5] Se encuentra allí un puerto grande, circular, de buen calado y de aguas tranquilas aunque sus accesos son muy angostos. Su nombre en lengua indígena es «Puerto de las Mujeres», en honor a que fue una mujer la primera que gobernó esta región. [6] Una vez que consiguieron escapar de los escollos se las tuvieron que ver con las enormes olas de un mar turbulento, pues querían evitar el peligro de los acantilados por parecerle esto un trabajo ímprobo.

[7] Al día siguiente se hicieron a la mar dejando a su izquierda una isla delante del mar abierto y tan próxima a la playa que más bien daba la impresión de ser aquel paso un canal entre la isla y la playa. Este trayecto medía unos setenta estadios en total. Al borde de la playa había muchos y frondosos árboles y la isla estaba cubierta por una selva muy tupida.

[8] Al alba zarparon de la isla por una angostura entre escollos con la marea medio vacía, y después de navegar unos ciento veinte estadios recalaron en la desembocadura del río Arabeo, donde había un puerto amplio y cómodo en su misma desembocadura. El agua de allí no era

πλώσαντες δὲ ἐς ἑκατὸν καὶ εἴκοσι σταδίους ὁρμίζονται ἐν τῷ στόματι τοῦ Ἀράβιος ποταμοῦ· καὶ λιμὴν μέγας καὶ καλὸς πρὸς τῷ στόματι, ὕδωρ δὲ οὐκ ἦν πότιμον· τοῦ γὰρ Ἀράβιος αἱ ἐκβολαὶ ἀναμεμιγμέναι τῷ πόντῳ ἦσαν. [9] ἀλλὰ τεσσαράκοντα σταδίους ἐς τὸ ἄνω προχωρήσαντες λάκκῳ ἐπιτυγχάνουσι, καὶ ἔνθεν ὑδρευσάμενοι ὀπίσω ἀπενόστησαν. [10] νῆσος δὲ ἐπὶ τῷ λιμένι ὑψηλὴ καὶ ἔρημος, καὶ περὶ ταύτην ὀστρείων τε καὶ ἰχθύων παντοδαπῶν θήρα. μέχρι μὲν τοῦδε Ἀράβιες, ἔσχατοι Ἰνδῶν ταύτῃ ᾠκισμένοι, τὰ δὲ ἀπὸ τοῦδε Ὠρεῖται ἐπεῖχον.

23. ὁρμηθέντες δὲ ἐκ τῶν ἐκβολῶν τοῦ Ἀράβιος παρέπλεον τῶν Ὠρειτέων τὴν χώρην. καὶ ὁρμίζονται ἐν Παγάλοισι, πλώσαντες σταδίους ἐς διακοσίους, πρὸς ῥηχίῃ. ἀλλὰ ἀγκύρῃσι γὰρ ἐπήβολος ἦν ὁ χῶρος. τὰ μὲν οὖν πληρώματα ἀπεσάλευον ἐν τῇσι νηυσίν, οἱ δὲ ἐφ᾽ ὕδωρ ἐκβάντες ὑδρεύοντο. [2] τῇ δ᾽ ὑστεραίῃ ἀναχθέντες ἅμα ἡμέρῃ καὶ πλώσαντες σταδίους ἐς τριάκοντα καὶ τετρακοσίους κατάγονται ἑσπέριοι ἐς Κάβανα, καὶ ὁρμίζονται πρὸς αἰγιαλῷ ἐρήμῳ. καὶ ἐνταῦθα ῥηχίη τραχείη ἦν, καὶ ἐπὶ τῷδε μετεώρους τὰς νέας ὡρμίσαντο. [3] κατὰ τοῦτον τὸν πλόον πνεῦμα ὑπολαμβάνει τὰς νέας μέγα ἐκ πόντου, καὶ νέες δύο μακραὶ διαφθείρονται ἐν τῷ πλόῳ, καὶ κέρκουρος· οἱ δὲ ἄνθρωποι σῴζονται απονηξάμενοι, ὅτι οὐ πόρρω τῆς γῆς ὁ πλόος ἐγίνετο. [4] ἀμφὶ δὲ μέσας νύκτας ἀναχθέντες πλέουσιν ἔστε ἐπὶ Κώκαλα, <ἃ> τοῦ αἰγιαλοῦ, ἔνθεν ὡρμήθησαν, ἀπεῖχε σταδίους διακοσίους· καὶ αἱ μὲν νῆες σαλεύουσαι ὥρμεον, τὰ πληρώματα δὲ ἐκβιβάσας Νέαρχος πρὸς τῇ γῇ ηὐλίσθη, ὅτι ἐπὶ πολλὸν τεταλαιπωρηκότες ἐν τῇ θαλάσσῃ ἀναπαύσασθαι ἐπόθεον· στρατόπεδον δὲ περιεβάλετο τῶν βαρβάρων τῆς φυλακῆς ἕνεκα. [5] ἐν τούτῳ τῷ χώρῳ Λεόννατος, ὅτῳ τὰ Ὠρειτῶν ἐξ Ἀλεξάνδρου ἐπετέτραπτο, μάχῃ μεγάλῃ νικᾷ Ὠρείτας τε καὶ ὅσοι Ὠρείταις συνεπέλαβον τοῦ ἔργου. καὶ κτείνει αὐτῶν ἑξακισχιλίους, καὶ τοὺς ἡγεμόνας πάντας· τῶν δὲ σὺν Λεοννάτῳ ἱππεῖς μὲν ἀποθνήσκουσι πεντεκαίδεκα, τῶν δὲ πεζῶν ἄλλοι τε οὐ πολλοὶ καὶ Ἀπολλοφάνης ὁ Γαδρωσίων σατράπης. [6] ταῦτα μὲν δὴ ἐν τῇ ἄλλῃ ξυγγραφῇ ἀναγέγραπται, καὶ ὅπως Λεόννατος ἐπὶ τῷδε ἐστεφανώθη πρὸς Ἀλεξάνδρου χρυσῷ στεφάνῳ ἐν Μακεδόσιν.

dulce, pues en la misma boca del río el agua del mar se mezcla con la que baja del Arabeo. [9] Penetraron, sin embargo, unos cuarenta estadios tierra adentro y encontraron una charca de donde recogieron agua, y con ella regresaron a su base.

[10] Al otro lado del puerto se alzaba una isla de considerable altura, desierta, en la que pudieron coger todo tipo de ostras y peces. Hasta aquí se extienden los dominios de los indios arabios, que son el último de los pueblos de la India por Occidente; a partir de aquí comienza ya el país de los oritas.

23 Levaron, pues, anclas desde la desembocadura del río Arabeo y costearon el territorio de los oritas para recalar en Págala, después de haber recorrido doscientos estadios entre un mar de escollos en el que tan sólo la maniobra de anclar resultaba cómoda.

La tripulación se quedó, en esta ocasión, trajinando en los barcos, mientras unos pocos bajaron a buscar agua. [2] Al día siguiente partieron y, después de recorrer unos cuatrocientos estadios [508], llegaron por la tarde a Cábana, donde se detuvieron en una playa desierta. Había también allí un peligroso rompiente, por lo que echaron anclas un poco distantes de la playa. [3] Durante esta travesía les había sorprendido un fuerte viento que soplaba desde alta mar contra las naves y que les había ocasionado la pérdida de dos largas naves de guerra, así como la de un bajel, aunque sus hombres consiguieron ponerse a salvo nadando, ya que se marchaba no lejos de la costa.

[4] A eso de media noche reemprendieron la marcha, ahora en dirección a Cócala que distaba unos doscientos estadios de la playa de donde salieron. Las naves quedaron fondeadas en alta mar, aunque sus tripulaciones desembarcaron por orden de Nearco y vivaquearon en la costa, pues estaban ansiosos por tomarse un respiro después de haber sufrido tanto en el mar; también en esta ocasión se cercó el campamento con un vallado como protección contra los bárbaros.

[5] En este lugar, Leónato, a quien Alejandro había encargado las operaciones contra los oritas, derrotó a éstos y a sus aliados en una gran batalla, dando muerte a unos seis mil y, entre ellos, a todos sus jefes. De parte de Leónato murieron quince jinetes y algunos infantes, aunque allí encontró la muerte el sátrapa de Gadrosia, Apolófanes.

[6] Todo esto ya lo he contado yo en mi otra obra [509], así como que Leónato recibió, como recompensa de Alejandro por esta acción, una corona de oro en presencia de los macedonios.

[7] ἐνταῦθα σῖτος ἦν νενημένος κατὰ πρόσταγμα Ἀλεξάνδρου ἐς ἐπισιτισμὸν τῷ στρατῷ, καὶ ἐμβάλλονται σιτία ἡμερέων δέκα ἐς τὰς νέας. [8] καὶ τῶν νεῶν ὅσαι πεπονήκεσαν κατὰ τὸν πλόον μέχρι τοῦδε ἐπεσκεύασαν, καὶ τῶν ναυτέων ὅσοι ἐν τῷ ἔργῳ βλακεύειν ἐφαίνοντο Νεάρχῳ, τούτους μὲν πεζῇ ἄγειν Λεοννάτῳ ἔδωκεν, αὐτὸς δὲ ἀπὸ τῶν σὺν Λεοννάτῳ στρατιωτῶν συμπληροῖ τὸ ναυτικόν.

24. ἐνθένδε ὁρμηθέντες ἔπλεον ἀκραεί, καὶ διελθόντες σταδίους ἐς πεντακοσίους ὡρμίζοντο πρὸς ποταμῷ χειμάρρῳ· Τόμηρος ὄνομα ἦν τῷ ποταμῷ. [2] καὶ λίμνη ἦν ἐπὶ ταῖς ἐκβολαῖς τοῦ ποταμοῦ, τὰ δὲ βράχεα τὰ πρὸς τῷ αἰγιαλῷ ἐπῴκεον ἄνθρωποι ἐν καλύβαις πνιγηραῖς. καὶ οὗτοι ὡς προσπλέοντας εἶδον, ἐθάμβησάν τε καὶ παρατείναντες σφᾶς παρὰ τὸν αἰγιαλὸν ἐτάχθησαν ὡς ἀπομαχούμενοι πρὸς τοὺς ἐκβαίνοντας. [3] λόγχας δὲ ἐφόρεον παχέας, μέγεθος ὡς ἑξαπήχεας· ἀκωκὴ δὲ οὐκ ἐπῆν σιδηρέη, ἀλλὰ τὸ ὀξὺ αὐτῇσι πεπυρακτωμένον ταὐτὸ ἐποίεε. πλῆθος δὲ ἦσαν ὡς ἑξακόσιοι. [4] καὶ τούτους Νέαρχος ὡς ὑπομένοντάς τε καὶ παρατεταγμένους κατεῖδε, τὰς μὲν νέας ἀνακωχεύειν κελεύει ἐντὸς βέλους, ὡς τὰ τοξεύματα ἐς τὴν γῆν ἀπ᾽ αὐτῶν ἐξικνεῖσθαι· αἱ γὰρ τῶν βαρβάρων λόγχαι παχέαι φαινόμεναι ἀγχέμαχοι μέν, ἄφοβοι δὲ ἐς τὸ ἐσακοντίζεσθαι ἦσαν. [5] αὐτὸς δὲ τῶν στρατιωτῶν ὅσοι αὐτοί τε κουφότατοι καὶ κουφότατα ὡπλισμένοι τοῦ τε νεῖν δαημονέστατοι, τούτους δὲ ἐκνήξασθαι κελεύει ἀπὸ ξυνθήματος. [6] πρόσταγμα δέ σφισιν ἦν, ὅπως τις ἐκνηξάμενος σταίη ἐν τῷ ὕδατι, προσμένειν τὸν παραστάτην οἱ ἐσόμενον, μηδὲ <ἐμ>βάλλειν πρόσθεν ἐς τοὺς βαρβάρους, πρὶν ἐπὶ τριῶν ἐς βάθος ταχθῆναι τὴν φάλαγγα, τότε <δὲ> δρόμῳ ἤδη ἰέναι ἐπαλαλάξαντας.

[7] ἅμα δὲ ἐρρίπτουν ἑωυτοὺς οἱ ἐπὶ τῷδε τεταγμένοι ἐκ τῶν νεῶν ἐς τὸν πόντον, καὶ ἐνήχοντο ὀξέως, καὶ ἵσταντο ἐν κόσμῳ, καὶ φάλαγγα ἐκ σφῶν ποιησάμενοι δρόμῳ ἐπήεσαν αὐτοί τε ἀλαλάζοντες τῷ Ἐνυαλίῳ καὶ οἱ ἐπὶ τῶν νεῶν ξυνεπήχεον, τοξεύματά τε καὶ ἀπὸ μηχανῶν βέλεα ἐφέροντο ἐς τοὺς βαρβάρους. [8] οἱ δὲ τήν τε λαμπρότητα τῶν ὅπλων ἐκπλαγέντες καὶ τῆς ἐφόδου τὴν ὀξύτητα καὶ πρὸς τῶν τοξευμάτων τε καὶ τῶν ἄλλων βελῶν βαλλόμενοι, οἷα δὴ ἡμίγυμνοι ἄνθρωποι, οὐδὲ ὀλίγον ἐς ἀλκὴν τραπέντες ἐγκλίνουσι. καὶ οἱ μὲν αὐτοῦ φεύγοντες ἀποθνήσκουσιν, οἱ δὲ καὶ ἁλίσκονται· ἔστι δὲ

[7] Por orden de Alejandro habían reunido aquí un gran contingente de trigo que sedestinaría a subvenir las necesidades del ejército, por lo que ahora se procedió a embarcarlo en las naves. Se trataba de un cargamento con el que podrían abastecerse por unos diez días.

[8] Procedieron, acto seguido, a reparar las naves que habían sufrido algún dañohasta llegar aquí. A todo el marinero que Nearco observaba que flaqueaba en su trabajo lo cedió a Leónato para que con él marcharan a pie y reclutó, a cambio, algunos nuevos tripulantes para sus barcos de entre los hombres de Leónato.

24 De nuevo reemprendieron la marcha y, navegando con viento favorable, llegaron, después de haber recorrido unos quinientos estadios, al desagüe de un torrente llamado Tomero. [2] En la desembocadura de éste se había formado una laguna y, en una depresión junto a la playa, vivían unos hombres en unas sofocantes cabañas. Al ver éstos cómo se acercaban las naves de Nearco, estupefactos, formaron alineados en paralelo a la playa para defenderse en caso de que los otros intentaran un desembarco.

[3] Estaban armados con gruesas lanzas, de unos seis codos de largo, cuya punta no era de hierro, aunque su extremo era puntiagudo y tenía el mismo efecto que el hierro por haber sido endurecido al fuego. Eran, aproximadamente, unos seiscientos hombres. [4] Al ver Nearco que le estaban esperando en la orilla en perfecta formación, mandó detener las naves, una vez que alcanzaron una distancia tal que los enemigos caían dentro del campo de tiro de los disparos que desde las naves se les hacía, mientras que las lanzas del enemigo resultaban inofensivas, pues eran armas para un combate cuerpo a cuerpo y no a esa distancia. [5] A una señal dada, mandó Nearco que se echaran al agua un grupo de sus hombres, los más ágiles, más levemente armados y más diestros en nadar. [6] Sus órdenes eran que, una vez que llegaran a una distancia de la orilla donde pudieran hacer pie, esperaran a sus compañeros sin atacar a los nativos hasta que ellos pudieran formar de tres en fondo como una falange, y que entonces se lanzaran al ataque a la carrera entonando el grito de guerra. [7] Al punto, los hombres seleccionados saltaron de los barcos al agua y nadaron a toda velocidad hasta formar a pie en perfecto orden y, tras adoptar la formación de falange, se lanzaron al ataque corriendo al son de los gritos a Enialio. Los que habían quedado en las naves les coreaban con sus gritos el canto guerrero, disparando sus dardos y proyectiles con las máquinas hacia los bárbaros. [8] Los indígenas, asustados por el esplendor de las armas y la celeridad del ataque y alcanzados por los dardos y demás proyectiles (semidesnudos como ellos estaban), sin aguardar para hacerles frente se dieron la vuelta. Algunos de ellos murieron en la huida y otros fueron hechos prisioneros;

οἳ καὶ διέφυγον ἐς τὰ ὄρεα. [9] ἦσαν δὲ οἱ ἁλόντες τά τε ἄλλα σώματα δασέες καὶ τὰς κεφαλάς, καὶ τοὺς ὄνυχας θηριώδεες· τοῖς γὰρ δὴ ὄνυξιν ὅσα σιδήρῳ διαχρᾶσθαι ἐλέγοντο καὶ τοὺς ἰχθύας τούτοισι παρασχίζοντες κατεργάζεσθαι καὶ τῶν ξύλων ὅσα μαλακώτερα. τὰ δὲ ἄλλα τοῖς λίθοισι τοῖσιν ὀξέσιν ἔκοπτον· σίδηρος γὰρ αὐτοῖσιν οὐκ ἦν. ἐσθῆτα δὲ ἐφόρεον δέρματα θήρεια, οἱ δὲ καὶ ἰχθύων τῶν μεγάλων [τε] τὰ παχέα.

25. ἐνταῦθα νεωλκοῦσι τὰς νέας, καὶ ὅσαι πεπονηκυῖαι αὐτῶν ἐπισκευάζουσι. τῇ δὲ ἕκτῃ ἡμέρῃ ἐστέλλοντο, καὶ πλώσαντες σταδίους ἐς τριακοσίους ἀφικνέονται ἐς χῶρον, ὃς δὴ ἔσχατος ἦν τῆς Ὠρειτῶν γῆς· Μάλανα τῷ χώρῳ ὄνομα. [2] Ὠρεῖται δὲ ὅσοι ἄνω ἀπὸ θαλάσσης οἰκέουσιν, ἐσταλμένοι μὲν κατάπερ Ἰνδοί εἰσι, καὶ τὰ ἐς πόλεμον ὡσαύτως παραρτέονται· γλῶσσα δὲ ἄλλη αὐτοῖσι καὶ ἄλλα νόμαια.

[3] μῆκος τοῦ παράπλου παρὰ μὲν χώρην τὴν Ἀραβίων ἐς χιλίους μάλιστα σταδίους, ἔνθενπερ ὡρμήθησαν, παρὰ δὲ τὴν Ὠρειτῶν γῆν ἑξακόσιοι καὶ χίλιοι. [4] παραπλεόντων δὲ τὴν Ἰνδῶν γῆν (τὸ ἐντεῦθεν γὰρ οὐκέτι Ἰνδοί εἰσι) λέγει Νέαρχος ὅτι αἱ σκιαὶ αὐτοῖσιν οὐ ταὐτὸ ἐποίεον· [5] ἀλλὰ ὅπου μὲν ἐπὶ πολὺ τοῦ πόντου ὡς πρὸς μεσημβρίαν προχωρήσειαν, αἳ δὲ καὶ αὐταὶ [αἱ σκιαὶ] πρὸς μεσημβρίην τετραμμέναι ἐφαίνοντο· ὁπότε δὲ τὸ μέσον τῆς ἡμέρης ἐπέχοι ὁ ἥλιος, ἤδη δὲ καὶ ἔρημα σκιῆς πάντα ὤφθη αὐτοῖσι. [6] τῶν τε ἀστέρων ὅσους πρόσθεν μετεώρους κατεώρων, οἱ μὲν ἀφανέες πάντη ἦσαν, οἱ δὲ πρὸς αὐτῇ τῇ γῇ ἐφαίνοντο, καταδύνοντές τε καὶ αὐτίκα ἀνατέλλοντες οἱ πάλαι ἀειφανέες. [7] καὶ ταῦτα οὐκ ἀπεικότα δοκέει μοι ἀναγράψαι Νέαρχος· ἐπεὶ καὶ ἐν Συήνῃ τῇ Αἰγυπτίῃ, ἐπεὰν τροπὰς ἄγῃ θέρεος ὥρῃ ὁ ἥλιος, φρέαρ ἀποδεδειγμένον ἐστί, καὶ τοῦτο ἄσκιον ἐν μεσημβρίῃ φαίνεται· ἐν Μερόῃ δὲ πάντα ἄσκια τῇ αὐτῇ ὥρῃ. [8] εἰκὸς ὦν καὶ ἐν Ἰνδοῖσιν, ἅτε πρὸς μεσαμβρίην ᾠκισμένοισι, τὰ αὐτὰ δὴ πάθεα ἐπέχειν, καὶ μάλιστα δὴ κατὰ τὸν πόντον τὸν Ἰνδικόν, ὅσῳ μᾶλλον αὐτοῖσιν ἡ θάλασσα πρὸς μεσαμβρίην κέκλιται. ταῦτα μὲν δὴ ὧδε ἐχέτω.

26. ἐπὶ δὲ Ὠρείτῃσι κατὰ μὲν μεσογαίην Γαδρώσιοι ἐπεῖχον, ὧν τὴν χώρην χαλεπῶς διεξῆλθεν ἅμα τῇ στρατιῇ Ἀλέξανδρος, καὶ κακὰ τοσαῦτα ἔπαθεν, ὅσα οὐδὲ τὰ σύμπαντα τῆς συμπάσης στρατηλασίης.

otros, en cambio, consiguieron refugiarse en los montes. [9] En sus prisioneros vieron que el cuerpo de estos hombres era especialmente velludo, y no sólo en su cabeza; tenían también garras al modo de las fieras y las usaban como si fuera un instrumento de hierro, según se decía, para abrir el pescado y cortar las maderas menos duras; todo lo demás lo chascaban con piedras puntiagudas, ya que no usan el hierro. Como vestidos utilizaban las pieles de los animales salvajes y algunos, incluso, los caparazones de grandes peces [510].

25 Arrastraron las naves a tierra y repararon las que estaban necesitadas de ello. Al sexto día de estar allí se hicieron a la mar y, después de recorrer unos trescientos estadios, llegaron al límite del país de los oritas, a un lugar llamado Málana [511]. [2] Los oritas que viven lejos del mar, tierra adentro, se visten como los indios y van a la guerra equipados de manera similar, aunque su lengua y demás costumbres son distintas.

[3] La distancia que la expedición recorrió desde su salida costeando el territorio delos arabitas es de unos mil estadios [512], y la franja costera correspondiente al país de los oritas mide unos mil seiscientos estadios.

[4] Al pasar en su navegación a lo largo de las costas de la India (a partir de donde ahora estaban ya no es aquello territorio indio), dice Nearco que podía observarse que las sombras que los cuerpos proyectaban

[5] ofrecían un aspecto particular y no el ordinario, sino que cuando se adentraban en el mar en dirección Sur las sombras se proyectaban también hacia el mar, y cuando el sol alcanzaba el cenit al mediodía veían que ningún objeto proyectaba sombra de sí mismo [513]. [6] Y si miraban al cielo veían que los astros que antes divisaban en lo alto, o no eran ya ahora visibles por ninguna parte, o aparecían casi en la misma línea del horizonte: de modo que por estos parajes podían observar cómo se ocultaban y cómo se alzaban luego en el cielo los astros que en otras latitudes siempre están bien visibles en el firmamento.

[7] Estos relatos de Nearco no me parecen inverosímiles, pues por ejemplo en Siene (allá en Egipto) se enseña al visitante un pozo que cuando el sol alcanza el solsticio de verano [514], uno no encuentra que en él se proyecte a mediodía sombra alguna; y, en Méroe, todos los objetos carecen de sombra en estas fechas del verano. [8] Es lógico, por tanto, que entre los indios [515] (que viven en el Sur) ocurran los mismos fenómenos y, en particular, en las regiones del mar de la India que están orientadas más hacia el Sur. Quede, con todo, esto así.

Los ictiófagos.

26 Más al interior de los territorios de los oritas se encuentra la región de Gadrosia [516]. Cuando Alejandro hizo la travesía de esta región con su ejército sufrió todo tipo de calamidades, mayores que las hasta entonces Soportadas en todas sus expediciones anteriores. Todo esto yo lo he

ταῦτά μοι ἐν τῇ μέζονι συγγραφῇ ἀναγέγραπται. [2] κάτω δὲ Γαδρωσίων παρὰ τὴν θάλασσαν αὐτὴν οἱ Ἰχθυοφάγοι καλεόμενοι οἰκοῦσι· παρὰ τούτων τὴν γῆν ἔπλεον. τῇ μὲν πρώτῃ ἡμέρῃ περὶ τὴν δευτέρην φυλακὴν ἀναχθέντες καταίρουσιν εἰς Βαγίσαρα· στάδιοι τοῦ παράπλου ἑξακόσιοι. [3] λιμήν τε ἔνι αὐτόθι εὔορμος, καὶ κώμη Πάσιρα, ἀπέχουσα ἀπὸ θαλάσσης ἑξήκοντα σταδίους, καὶ οἱ πρόσοικοι αὐτῆς Πασιρέες. [4] ἐς δὲ τὴν ὑστεραίαν πρωΐτερον τῆς ὥρης ἀναχθέντες περιπλέουσιν ἄκρην ἐπὶ πολύ τε ἀνέχουσαν ἐς τὸν πόντον καὶ αὐτὴν ὑψηλὴν καὶ κρημνώδεα. [5] φρέατα δὲ ὀρύξαντες, ὕδωρ [οὐκ] ὀλίγον καὶ πονηρὸν ἀρυσάμενοι ταύτῃ μὲν τῇ ἡμέρᾳ ἐπὶ ἀγκυρέων ὥρμεον, ὅτι ῥηχίη κατὰ τὸν αἰγιαλὸν ἀνεῖχεν· [6] ἐς δὲ τὴν ὑστεραίην καταίρουσιν ἐς Κόλτα, σταδίους ἐλθόντες διακοσίους. ἐνθένδε ἕωθεν πλεύσαντες σταδίους ἑξακοσίους ἐν Καλίμοισιν ὁρμίζονται. κώμη πρὸς τῷ αἰγιαλῷ, φοίνικες δὲ περὶ αὐτὴν ὀλίγοι πεφύκεσαν, καὶ βάλανοι ἐπ᾽ αὐτοῖσι χλωραὶ ἐπῆσαν. καὶ νῆσος ὡς ἑκατὸν σταδίους ἀπὸ τοῦ αἰγιαλοῦ ἀπέχουσα, Καρνίνη ὄνομα. [7] ἐνταῦθα ξένια Νεάρχῳ προσφέρουσιν οἱ κωμῆται πρόβατα καὶ ἰχθύας· καὶ τῶν προβάτων τὰ κρέα λέγει ὅτι ἦν ἰχθυώδεα, ἴσα τοῖς τῶν ὀρνίθων τῶν πελαγίων, ὅτι καὶ αὐτὰ ἰχθύων σιτέεται· πόα γὰρ οὐκ ἔνι ἐν τῇ χώρῃ. [8] ἀλλὰ τῇ ὑστεραίῃ πλεύσαντες ἐς σταδίους διακοσίους ὁρμίζονται πρὸς αἰγιαλῷ καὶ κώμῃ ἀπὸ θαλάσσης ἐς σταδίους τριάκοντα ἀπεχούσῃ· ἡ μὲν κώμη Κύσα ἐκαλέετο, Καρβὶς δὲ τῷ αἰγιαλῷ ὄνομα ἦν. [9] ἐνταῦθα πλοίοις ἐπιτυγχάνουσι σμικροῖσιν, οἷα ἁλιέων εἶναι πλοῖα οὐκ εὐδαιμόνων· αὐτοὺς δὲ οὐ καταλαμβάνουσιν, ἀλλ᾽ ἔφυγον γὰρ καθορμιζομένας κατιδόντες τὰς νέας. σῖτός τε αὐτόθι οὐκ ἐνῆν, καὶ ἐπιλελοίπει τὴν στρατιὴν ὁ πολλός· ἀλλὰ αἶγας ἐμβαλόμενοι ἐς τὰς νέας, οὕτω δὴ ἀπέπλεον. [10] καὶ περιπλώσαντες ἄκρην ὑψηλὴν ὅσον πεντήκοντα καὶ ἑκατὸν σταδίους ἀνέχουσαν ἐς τὸν πόντον, κατάγονται ἐν λιμένι ἀκλύστῳ. καὶ ὕδωρ αὐτόθι ἦν, καὶ ἁλιέες ᾤκεον· Μόσαρνα ὄνομα ἦν τῷ λιμένι.

27. ἐνθένδε καὶ ἡγεμὼν τοῦ πλόου λέγει Νέαρχος ὅτι συνέπλωσεν αὐτοῖσιν, Ὑδράκης ὄνομα, Γαδρώσιος· ὑπέστη δὲ Ὑδράκης καταστήσειν αὐτοὺς μέχρι Καρμανίης. τὸ δὲ ἀπὸ τοῦδε οὐκέτι χαλεπὰ ἦν, ἀλλὰ μᾶλλόν τι † ὀνομαζόμενα, ἔστε ἐπὶ τὸν κόλπον τὸν Περσικόν.

contado ya en mi otra obra más extensa. [2] Pues bien, al Sur de los gadrosios y a lo largo del mar viven los ictiófagos [517]. La flota de Nearco recaló a lo largo de su costa en diversos puntos. Al primer día, después de haber levado anclas, a eso del cambio de la segunda guardia, hicieron un alto en Bagísara, habiendo recorrido unos seiscientos estadios.

[3] Existía allí un puerto, de cómodo refugio, y una aldea llamada Pasira a unos sesenta estadios del mar, cuyos habitantes [4] se llaman pasíreos. Al día siguiente se hicieron a la mar muy temprano y bordearon un cabo que se adentra considerablemente en el mar, todo él escarpado y de notable altura.

[5] Excavaron unos pozos en los que encontraron abundante agua [518], aunque de mala calidad, y echaron el ancla ese día en alta mar, pues en la orilla se veían peligrosos escollos. [6] Al día siguiente se detuvieron en Colta, tras recorrer doscientos estadios, y desde allí se hicieron a la mar al alba y, tras una marcha de seiscientos estadios, fondearon en Caliba. En la misma playa se hallaba una aldea donde crecían algunas palmeras que tenían sus dátiles verdes. A unos cien estadios de la playa había una isla llamada Carnina. [7] Los habitantes de la aldea trajeron a Nearco, en señal de hospitalidad, unas ovejas y pescado; dice Nearco que la carne de oveja en esta zona tenía gusto a pescado, lo mismo que el de las aves marinas, por alimentarse de peces, ya que en esta región no hay yerba.

[8] Al siguiente día y después de un trayecto de unos doscientos estadios, anclaronjunto a una playa, en las proximidades de una aldea que distaba unos treinta estadios del mar. La aldea se llamaba Cisa, y Carbis era el nombre de esta costa.

[9] Encontraron allí unas barquichuelas que parecían ser de pequeños pescadores, a los que no consiguieron ver, ya que éstos, al ver aproximarse la flota a tierra, echaron a correr. Allá no había trigo y el ejército carecía por completo de provisiones, por lo que subieron a bordo unas pocas cabras y, con ellas, se hicieron de nuevo a la mar.

[10] Bordearon con sus naves un elevado cabo que se adentraba en el mar unos ciento cincuenta estadios, para llegar a un puerto muy bien guarecido en el que había agua y donde se asentaba una colonia de pescadores. El nombre del puerto era Mosarna.

27 Nos dice Nearco que a partir de este punto fue un gadrosio, de nombre Hidraces, quien sirvió como piloto de la expedición. Éste se había comprometido a guiarles hasta Carmania, ya que a partir de aquí la costa no ofrecía peligro alguno y resultaba, además, mejor conocida hasta el extremo occidental del golfo pérsico.

[2] ἐκ δὲ Μοσάρνων νυκτὸς ἐπάραντες πλώουσι σταδίους ἑπτακοσίους καὶ πεντήκοντα ἐς Βάλωμον αἰγιαλόν· ἐνθένδε ἐς Βάρνα κώμην σταδίους τετρακοσίους, ἵνα φοίνικές τε πολλοὶ ἐνῆσαν καὶ κῆπος, καὶ ἐν τῷ κήπῳ μύρριναι ἐπεφύκεσαν καὶ ἄλλα ἄνθεα, ἀφ᾽ ὅτων στεφανώματα τοῖσι κωμήτῃσιν ἐπλέκοντο· ἐνταῦθα πρῶτον δένδρεά τε εἶδον ἥμερα, καὶ ἀνθρώπους οὐ πάντῃ θηριώδεας ἐποικέοντας.

[3] ἐνθένδε ἐς διακοσίους σταδίους περιπλώσαντες καταίρουσιν ἐς Δενδρόβοσα, καὶ αἱ νέες ἐπ᾽ ἀγκυρέων ἐσάλευσαν. [4] ἐνθένδε ἀμφὶ μέσας νύκτας ἄραντες ἐς Κώφαντα λιμένα ἀπίκοντο, τετρακοσίους μάλιστα σταδίους διεκπλώσαντες· [5] ἐνταῦθα ἁλιέες τε ᾤκεον, καὶ πλοῖα αὐτοῖσιν ἦν μικρὰ καὶ πονηρά· καὶ ταῖς κώπαις οὐ κατὰ σκαλμὸν ἤρεσσον ὡς ὁ Ἑλλήνων νόμος, ἀλλ᾽ ὥσπερ ἐν ποταμῷ [I] τὸ ὕδωρ ἐπιβάλλοντες ἔνθεν καὶ ἔνθεν, κατάπερ οἱ σκάπτοντες τὴν γῆν. ὕδωρ δὲ πολύ τε ἦν ἐν τῷ λιμένι καὶ καθαρόν. [6] περὶ δὲ πρώτην φυλακὴν ἄραντες καταίρουσιν ἐς Κύιζα, ἐς ὀκτακοσίους σταδίους διεκπλώσαντες, ἵνα αἰγιαλός τε ἔρημος ἦν καὶ ῥαχίη. αὐτόθι ὦν ἐπ᾽ ἀγκυρέων ὥρμεον, κατὰ ναῦν τε ἐδειπνοποιέοντο. [7] ἐνθένδε διεκπλώσαντες σταδίους πεντακοσίους ἀπίκοντο ἔς τινα πόλιν μικρήν, οἰκεομένην ἐπὶ γηλόφου οὐ πόρρω τοῦ αἰγιαλοῦ. [8] καὶ Νέαρχος ἐπιφρασθεὶς ὅτι σπείρεσθαι τὴν χώρην εἰκός, λέγει πρὸς Ἀρχίην, ὃς ἦν Ἀναξιδότου μὲν παῖς, Πελλαῖος, συνέπλει δὲ Νεάρχῳ, τῶν ἐν αἴνῃ ὢν Μακεδόνων—πρὸς τοῦτον λέγει ὅτι καταληπτέον σφίσιν εἴη τὸ χωρίον· [9] ἑκόντας τε γάρ οὐκ ἂν οἴεσθαι δοῦναι τῇ στρατιῇ σιτία, βίῃ τε οὐχ οἷόν τε εἶναι ἐξαιρέειν, πολιορκίης δὲ καὶ τριβῆς δεήσειν, σφᾶς δὲ ἐπιλελοιπέναι τὰ σιτία. ὅτι δὲ ἡ γῆ σιτοφόρος, τῇ καλάμῃ τεκμηριοῦσθαι, ἥντινα οὐ πόρρω τοῦ αἰγιαλοῦ ἀφεώρων βαθέην.

[10] ταῦτα ἐπεί σφισιν ἐδόκεε, τὰς μὲν ἄλλας νέας κελεύει παραρτέεσθαι ὡς ἐς πλόον, καὶ ὁ Ἀρχίης αὐτῷ ἐξήρτυε τὰ ἐς τὸν πλόον· αὐτὸς δὲ ὑπολειφθεὶς μετὰ μιῆς νεὼς ἐπὶ θέαν δῆθεν τῆς πόλιος ᾔει.

28. προσάγοντι δὲ αὐτῷ πρὸς τὰ τείχεα φιλίως ξένια ἔφερον ἐκ τῆς πόλιος θύννους τε ἐν κριβάνοισιν ὀπτούς—οὗτοι γὰρ ἔσχατοι τῶν Ἰχθυοφάγων οἰκέοντες πρῶτοι ἐν αὐτοῖσιν ὤφθησαν οὐκ

[I] No veo razón alguna para sospechar de la lectura, en contra de Roos.

[2] Se hicieron, pues, a la mar durante la noche y, desde Mosarna, recorrieron setecientos cincuenta estadios para llegar a la costa de Balomo. A continuación navegaron unos cuatrocientos estadios, hasta la aldea de Barna, donde abundaban las palmeras y había un hermoso jardín. Crecían en este jardín flores de mirto y otras variedades con las que los nativos trenzaban coronas. Fue allí donde por primera vez se encontraron árboles cultivados y hombres que no vivían como salvajes.

[3] Tras un nuevo cabotaje de unos doscientos estadios arribaron a Dendróbosa, aunque las naves quedaron fondeadas en pleno mar. [4] De nuevo partieron a eso de media noche hasta llegar al puerto de Cofas, después de haber dejado atrás unos cuatrocientos estadios. [5] Vivían allí unos pescadores que poseían unos pequeños y pobres barquichuelos. Remaban en ellos no como los griegos con los remos sujetos al escálamo, sino igual que en un río, propulsando el agua a uno y otro lado alternativamente, como los que cavan la tierra. En este puerto había agua abundante y limpia. [6] A la primera guardia levaron nuevamente anclas y recalaron en Cuiza, después de recorrer unos ochocientos estadios, un lugar desierto y lleno de escollos, por lo cual detuvieron sus naves en alta mar y se prepararon la cena a bordo. [7] Recorrieron a continuación unos quinientos estadios y llegaron a un pequeño pueblo construido sobre un cerro a poca distancia de la playa. [8] Supuso Nearco que ésta debía ser una tierra cultivada, por lo que encargó a Arquias, hijo de Anaxidoto, natural de Pela (era éste un macedonio de importancia que acompañaba a Nearco en su periplo), que era preciso capturar esa plaza por sorpresa, [9] pues sospechaba que los indígenas no iban a querer abastecer de provisiones al ejército de buen grado y, por la fuerza, no les resultaría fácil tomar la ciudad, ya que ello requeriría un largo asedio y desgaste de sus propias tropas, para lo cual no estaban preparados por carecer ellos mismos de víveres. Dedujo Nearco que aquéllas eran tierras de cereales, pues había visto cerca de la playa unos espesos rastrojos.

[10] Una vez planeado todo, dio órdenes de que las naves se prepararan como si fueran a enfilar proa a alta mar, de retirada, y fue Arquias quien se encargó de que se hicieran los preparativos para partir, mientras él quedó con una sola nave, y, con ella, se dirigió como de visita a la ciudad.

Estratagema de Nearco.

28 Al acercarse Nearco a los muros, los del pueblo le trajeron de la ciudad como presente, en señal de amistad, atunes cocidos en unas cazuelas (son éstos los últimos integrantes de una tribu de los ictiófagos y los primeros que vieron los griegos que cocían sus alimentos y que no

ὠμοφαγέοντες—καὶ πέμματα ὀλίγα καὶ βαλάνους τῶν φοινίκων. [2] ὁ δὲ ταῦτα μὲν ἀσμένως δέκεσθαι ἔφη, ἐθέλειν δὲ θεήσασθαι τὴν πόλιν· οἱ δὲ εἴων παρελθεῖν. [3] ὡς δὲ εἴσω πυλῶν παρῆλθε, δύο μὲν τῶν τοξοτῶν κατέχειν κελεύει τὴν πυλίδα, αὐτὸς δὲ μετὰ δύο ἄλλων καὶ τοῦ ἑρμηνέως ἐπὶ τὸ τεῖχος τὸ ταύτῃ ἀνελθὼν ἐσήμηνε τοῖς ἀμφὶ τὸν Ἀρχίην ὅπως συνέκειτο. συνέκειτο γὰρ τὸν μὲν σημῆναι, τὸν δὲ συμβαλόντα ποιέειν τὸ τεταγμένον. [4] ἰδόντες δὲ τὸ σημήιον οἱ Μακεδόνες ἐπώκελλόν τε κατὰ τάχος τὰς νέας καὶ ἐξεπήδων σπουδῇ ἐς τὴν θάλασσαν, οἱ δὲ βάρβαροι ἐκπλαγέντες τοῖς γινομένοις ἐπὶ τὰ ὅπλα ἔθεον. [5] ὁ δὲ ἑρμηνεὺς ὁ σὺν Νεάρχῳ ἐκήρυσσε σῖτον διδόναι τῇ στρατιῇ, εἰ σώαν ἐθέλουσιν ἔχειν τὴν πόλιν· οἱ δὲ ἠρνοῦντο εἶναι σφίσι, καὶ ἅμα προσέβαλλον τῷ τείχει. ἀλλὰ ἀνέστελλον αὐτοὺς οἱ τοξόται οἱ ἀμφὶ τὸν Νέαρχον, ἐξ ὑπερδεξίου τοξεύοντες. [6] ὡς δὲ ἔμαθον ἐχομένην τε ἤδη καὶ ὅσον οὔπω ἀνδραποδισθησομένην σφίσι τὴν πόλιν, τότε δὲ δὴ ἐδέοντο τοῦ Νεάρχου τὸν μὲν σῖτον ὅσπερ ἦν αὐτοῖσι λαβόντα ἀπάγειν, τὴν πόλιν δὲ μὴ διαφθεῖραι. [7] Νέαρχος δὲ τὸν μὲν Ἀρχίην κελεύει καταλαβεῖν τὰς πύλας καὶ τὸ κατ᾽ αὐτὰς τεῖχος, αὐτὸς δὲ συμπέμπει τοὺς κατοψομένους τὸν σῖτον εἰ ἀδόλως δεικνύουσιν. [8] οἱ δὲ τὸ μὲν ἀπὸ τῶν ἰχθύων τῶν ὀπτῶν ἀληλεσμένον ἄλευρον πολὺ ἐδείκνυσαν, πυροὺς δὲ καὶ κριθὰς ὀλίγας· καὶ γὰρ καὶ ἐτύγχανον σίτῳ μὲν τῷ ἀπὸ τῶν ἰχθύων, τοῖσι δὲ ἄρτοισιν ὅσα ὄψῳ διαχρεόμενοι.
[9] ὡς δὲ τὰ ὄντα ἐπεδείκνυον, οὕτω δὴ ἐκ τῶν παρόντων ἐπισιτισάμενοι ἀνήγοντο, καὶ ὁρμίζονται πρὸς ἄκρην, ἥντινα οἱ ἐπιχώριοι ἱρὴν Ἡλίου ἦγον· οὔνομα τῇ ἄκρῃ Βάγεια.

29. ἐνθένδε ἀμφὶ μέσας νύκτας ἄραντες διεκπλώουσι σταδίους ἐς χιλίους ἐς Τάλμενα λιμένα [I] εὔορμον. ἐνθένδε ἐς Κανασίδα πόλιν ἐρήμην σταδίους ἐς τετρακοσίους, ἵνα τινὶ φρέατι ὀρυκτῷ ἐπιτυγχάνουσι, καὶ φοίνικες ἄγριοι ἐπεφύκεσαν. τούτων τοὺς ἐγκεφάλους κόπτοντες ἐσιτέοντο· σῖτος γὰρ ἐπελελοίπει τὴν στρατιήν. [2] καὶ κακῶς ἤδη ὑπὸ λιμοῦ ἔχοντες ἔπλεον τήν τε ἡμέρην καὶ τὴν νύκτα, καὶ ὁρμίζονται πρὸς αἰγιαλῷ ἐρήμῳ. [3] Νέαρχος δὲ καταδείσας μὴ ἄρα ἐς τὴν γῆν ἐκβάντες ἀπολίποιεν τὰς νέας ὑπὸ ἀθυμίης, ἐπὶ τῷδε

[I] Tomaschek propone ἐς Τεῖσα λιμένα, cf. Ptolem. vi 8, p. 414, 7 W.

los comían crudos), unos pocos pasteles y dátiles de sus palmeras. Nearco les dijo que aceptaba de muy buen grado [2] aquellos presentes y que le gustaría visitar la ciudad, cosa que ellos consintieron encantados. [3] Una vez traspasó Nearco el umbral de la puerta, ordenó a dos arqueros que le acompañaban que controlaran la portezuela, mientras él, con otros dos arqueros y un intérprete, subió por aquella parte del muro desde donde hizo una señal a Arquias, según habían convenido. Dada esta contraseña, Arquias la captó perfectamente e hizo lo que se le había encomendado. [4] En efecto, los macedonios, al percatarse de la señal de Nearco, enfilaron a toda velocidad sus naves hacia la playa y, con igual celeridad, se lanzaron al agua, mientras los indígenas, atemorizados ante lo sucedido, echaban a correr en busca de sus armas. [5] El intérprete que acompañaba a Nearco les gritaba desde el muro que debían abastecer de provisiones al ejército, si querían conservar su ciudad. A ello contestaron los nativos diciendo que no tenían provisiones, y se pusieron a atacar los muros. Pero los arqueros, que con Nearco estaban, les disparaban desde arriba y los hicieron retroceder fácilmente.
[6] Al comprender que su ciudad estaba prácticamente tomada y a punto de ser reducida a esclavitud, pidieron a Nearco que retirara todo el trigo que hubiera y que se marchara sin arrasar la ciudad.
[7] Ordenó Nearco a Arquias que ocupara las puertas y el muro que entre ellas quedaba, mientras él enviaba a unos soldados a que averiguaran si los de la ciudad les mostraban todos los depósitos de trigo sin escamotear nada. [8] Los nativos les enseñaron buena cantidad de harina de pescado cocido y secado, pero muy poca cantidad de trigo y cebada, debido a que ellos se alimentan de esta harina de pescado que les servía como pan, y el pan de trigo era para ellos como fina repostería. [9] Una vez les enseñaron todo lo que tenían, recogieron provisiones de todo lo que había y se reembarcaron para echar anclas cerca de un promontorio que los nativos del lugar consideraban consagrado al sol. El nombre del cabo era Bagía.

29 Se hicieron luego a la mar a eso de media noche y recorrieron unos mil estadios hasta llegar al cómodo puerto de Tálmena, y desde él avanzaron unos cuatrocientos estadios para recalar en una aldea abandonada llamada Canasida, donde encontraron un pozo abierto y abundantes palmeras silvestres; cortaron sus espádices [519] y se los comieron, pues la tripulación tenía el pan racionado. [2] Sufriendo verdadera hambre, navegaron todo un día y una noche y se detuvieron en una playa desierta. [3] Nearco llegó a temer que, si autorizaba el desembarco a sus hombres, abandonarían éstos sus barcos ya

μετεώρους ἔσχε τὰς νέας ἐπ᾽ ἀγκυρέων. [4] ἐνθένδε ἀναχθέντες ἐς Κανάτην ὁρμίζονται, σταδίους ὡς ἑπτακοσίους καὶ πεντήκοντα διεκπλώσαντες. ἔστι δὲ καὶ αἰγιαλὸς ἐνταῦθα καὶ διώρυχες βραχεῖαι. [5] ἐνθένδε σταδίους ὀκτακοσίους πλώσαντες ἐν Ταοῖσιν ὁρμίζονται, κῶμαι δὲ μικραὶ καὶ πονηραὶ ἐπῆσαν. καὶ οἱ μὲν ἄνθρωποι ἐκλείπουσι τὰ οἰκία, αὐτοὶ δὲ σίτῳ τινὶ ὀλίγῳ ἐπιτυγχάνουσι, καὶ βαλάνοις ἐκ φοινίκων. καὶ καμήλους ἑπτὰ ὅσαι ἐγκατελήφθησαν κατακόψαντες, ἀπὸ τούτων τὰ κρέα ἐσιτέοντο. [6] ὑπὸ δὲ τὴν ἕω ἀναχθέντες σταδίους τριακοσίους πλώουσι, καὶ καθορμίζονται ἐς Δαγάσειρα· ἔνθα νομάδες τινὲς ἄνθρωποι ᾤκεον. [7] ἐνθένδε ἄραντες τήν τε νύκτα καὶ τὴν ἡμέρην οὐδέν τι ἐλινύοντες ἔπλεον, ἀλλὰ διελθόντες γὰρ σταδίους χιλίους τε καὶ ἑκατὸν ἐξέπλωσαν τὸ ἔθνος τῶν Ἰχθυοφάγων, πολλὰ κακὰ ταύτῃ παθόντες ἀπορίῃ τῶν ἀναγκαίων. [8] ὁρμίζονται δὲ οὐ πρὸς τῇ γῇ—ῥηχίη γὰρ ἦν ἐπὶ πολλὸν ἀνέχουσα—, ἀλλὰ μετέωροι ἐπ᾽ ἀγκυρέων· μῆκος τοῦ παράπλου τῶν Ἰχθυοφάγων τῆς χώρης ὀλίγῳ πλεῦνες στάδιοι μύριοι. [9] οὗτοι οἱ Ἰχθυοφάγοι σιτέονται, κατ᾽ ὅ τι περ καὶ κληίζονται, ἰχθύας, ὀλίγοι μὲν αὐτῶν ἁλιεύοντες τοὺς ἰχθύας—ὀλίγοισι γὰρ καὶ πλοῖα ἐπὶ τῷδε πεποίηται καὶ τέχνη ἐξεύρηται ἐπὶ τῇ θήρῃ τῶν ἰχθύων—, τὸ πολὺ δὲ ἡ ἀνάπωτις αὐτοῖσι παρέχει. [10] οἱ δὲ δίκτυα ἐπὶ τῷδε πεποίηνται, μέγαθος καὶ ἐς δύο σταδίους τὰ πολλὰ αὐτῶν. πλέκουσι δὲ αὐτὰ ἐκ τοῦ φλοιοῦ τῶν φοινίκων, στρέφοντες τὸν φλοιὸν ὥσπερ λίνον. [11] ἐπεὰν δὲ ἡ θάλασσα ὑπονοστήσῃ καὶ γῆ ὑπολειφθῇ, ἵνα μὲν ξηρὴ ἡ γῆ ὑπολείπεται, ἐρήμη τὸ πολύ ἐστιν ἰχθύων· ἔνθα δὲ βαθέα ἐστίν, ὑπολείπεταί τι τοῦ ὕδατος καὶ ἐν τῷδε κάρτα πολλοὶ ἰχθύες, οἱ μὲν πολλοὶ σμικροὶ αὐτῶν, οἱ δὲ καὶ μέζονες· τούτοις περιβάλλοντες τὰ δίκτυα αἱρέουσι. [12] σιτέονται δὲ ὠμοὺς μέν, ὅπως ἀνειρύουσιν ἐκ τοῦ ὕδατος, τοὺς ἁπαλωτάτους αὐτῶν· τοὺς δὲ μέζονάς τε καὶ σκληροτέρους ὑπὸ ἡλίῳ αὐαίνοντες, εὖτ᾽ ἂν ἀφαυανθῶσι, καταλοῦντες ἄλευρα ἀπ᾽ αὐτῶν ποιέονται καὶ ἄρτους, οἱ δὲ μάζας ἐκ τούτων τῶν ἀλεύρων πέσσουσι. [13] καὶ τὰ βοσκήματα αὐτοῖσι τοὺς ἰχθύας ξηροὺς σιτέονται· ἡ γὰρ χώρη ἔρημος λειμώνων οὐδὲ ποίην φέρει. [14] θηρεύουσι δὲ καὶ καράβους πολλαχῇ καὶ ὄστρεια καὶ τὰ κογχύλια· ἅλες δὲ αὐτόματοι γίνονται ἐν τῇ χώρῃ· ἀπὸ τούτων ἔλαιον ποιέουσιν. [15] οἱ μὲν δὴ αὐτῶν ἐρήμους τόπους οἰκέουσιν ἄδενδρόν τε

desesperados como estaban, y por ello optó por mantener sus naves ancladas en alta mar.

[4] Puestos de nuevo en marcha, llegaron a Cánate, a unos setecientos cincuenta estadios, donde hay una playa y unos estrechos canales.

[5] Desde aquí recorrieron unos ochocientos estadios y arribaron a Taesis, donde encontraron muchas y pobres aldehuelas diseminadas por los alrededores. Sus habitantes las abandonaron, y en sus casas encontraron ellos trigo, aunque no en cantidad, y dátiles de palmera. Mataron siete camellos abandonados por sus dueños y se los comieron.

[6] A la hora del alba levaron anclas, recorrieron trescientos estadios y arribaron a Dagasira, habitada por gente nómada. [7] Se hicieron de nuevo a la mar y, durante la noche y el día siguiente, navegaron sin descanso, recorrieron unos mil cien estadios hasta rebasar el territorio de los ictiófagos, donde tanto habían sufrido por la escasez de alimentos. [8] No se acercaron a la playa (pues era una zona de acantilados), sino que echaron el ancla en pleno mar.

El cabotaje paralelo a la costa donde viven los ictiófagos fue de algo más de diez mil estadios. [9] Estos ictiófagos se alimentan, y de ahí les viene su nombre, de peces, aunque muy pocos de ellos son pescadores (pues no tienen barcos para ello, ni tampoco conocen las artes de pesca), sino que cogen los peces durante la marea baja.

[10] Algunos, sin embargo, se fabrican unas redes que alcanzan, muchas de ellas, los dos estadios de largo y las hacen con las hilachas de las palmeras que ellos trenzan como si fuera lino.

[11] Al bajar la marea y quedar al descubierto la playa, no hay peces donde el agua ha bajado por completo y deja la playa en seco, pero, donde existe alguna poza, se remansa allí un poco de agua, abundando en ella extraordinariamente los peces, muchos de ellos pequeños, pero también algunos grandes que pescan lanzándoles la red.

[12] Se comen crudos los más pequeños, tal como los sacan del agua, y exponen al sol para que se sequen los mayores y de espinas más duras, y una vez secos los machacan hasta hacer con ellos harina y pan. Algunos, incluso, hacen pastelillos con esta harina. [13] También sus animales se alimentan de pescado seco, ya que el país carece de prados y en él no crece la yerba. [14] Cogen, igualmente, en abundancia cangrejos, ostras y almejas. Hay también en este país salinas naturales *** [520], de los que extraen aceite. [15] Los que habitan zonas desiertas de

τὴν χώρην καὶ ἄφορον καρπῶν ἡμέρων, τούτοισιν ἀπὸ τῶν ἰχθύων ἡ πᾶσα δίαιτα πεποίηται· ὀλίγοι δὲ αὐτῶν σπείρουσιν ὅσον τῆς χώρης, καὶ τούτῳ κατάπερ ὄψῳ, χρῶνται πρὸς τοὺς ἰχθύας· ὁ γὰρ σῖτος αὐτοῖσίν εἰσιν οἱ ἰχθύες. [16] οἰκία δὲ πεποίηνται οἱ μὲν εὐδαιμονέστατοι αὐτῶν ὅσα κήτεα ἐκβάλλει ἡ θάλασσα τούτων τὰ ὀστᾶ ἐπιλεγόμενοι <καὶ> τούτοισιν ἀντὶ ξύλων χρεόμενοι, καὶ θύρας τὰ ὀστέα ὅσα πλατέα αὐτῶν ἁλίσκεται ἀπὸ τούτων ποιέονται· τοῖσι δὲ πολλοῖς καὶ πενεστέροισιν ἀπὸ τῶν ἀκανθῶν τῶν ἰχθύων τὰ οἰκία ποιέεται.

30. Κήτεα δὲ μεγάλα ἐν τῇ ἔξω θαλάσσῃ βόσκεται, καὶ ἰχθύες πολὺ μέζονες ἢ ἐν τῇδε τῇ εἴσω. [2] καὶ λέγει Νέαρχος, ὁπότε ἀπὸ Κυΐζων παρέπλεον, ὑπὸ τὴν ἕω ὀφθῆναι ὕδωρ ἄνω ἀναφυσώμενον τῆς θαλάσσης οἷά περ ἐκ πρηστήρων βίᾳ ἀναφερόμενον, [3] ἐκπλαγέντας δὲ σφᾶς πυνθάνεσθαι τῶν κατηγεομένων τοῦ πλόου ὅ τι εἴη καὶ ἀπ᾽ ὅτου τὸ πάθημα· τοὺς δὲ ὑποκρίνασθαι ὅτι κήτεα ταῦτα φερόμενα κατὰ τὸν πόντον ἀναφυσᾷ ἐς τὸ ἄνω τὸ ὕδωρ. καὶ τοῖσι ναύτῃσιν ἐκπλαγεῖσιν ἐκ τῶν χειρῶν τὰ ἐρετμὰ ἐκπεσεῖν, [4] αὐτὸς δὲ ἐπιὼν παρακαλεῖν τε καὶ θαρσύνειν, καὶ κατ᾽ οὕστινας παραπλέων ἐγένετο, ἐς μέτωπόν τε κελεῦσαι καταστῆσαι ὡς ἐπὶ ναυμαχίῃ τὰς νέας, καὶ ἐπαλαλάζοντας ὁμοῦ τῷ ῥοθίῳ πυκνήν τε καὶ ξὺν κτύπῳ πολλῷ τὴν εἰρεσίην ποιέεσθαι. οὕτως ἀναθαρσήσαντας ὁμοῦ δὴ πλέειν ἀπὸ ξυνθήματος. [5] ὡς δὲ ἐπέλαζον ἤδη τοῖσι θηρίοισιν, ἐνταῦθα αὐτοὺς μὲν ὅσον αἱ κεφαλαὶ αὐτοῖσιν ἐχώρεον ἐπαλαλάξαι, τὰς δὲ σάλπιγγας σημῆναι, καὶ τὸν κτύπον ἀπὸ τῆς εἰρεσίης ὡς ἐπὶ μήκιστον κατασχεῖν. [6] οὕτω δὴ ὁρώμενα ἤδη κατὰ τὰς πρῴρας τῶν νεῶν τὰ κήτεα ἐς βυθὸν δῦναι ἐκπλαγέντα, καὶ οὐ πολλῷ ὕστερον κατὰ τὰς πρύμνας ἀναδύντα ἀνασχεῖν καὶ τῆς θαλάσσης αὖθις ἀναφυσῆσαι ἐπὶ μέγα. [7] ἔνθεν κρότον τε ἐπὶ τῇ παραλόγῳ σωτηρίᾳ γενέσθαι τῶν ναυτέων, καὶ αἶνον ἐς τὸν Νέαρχον τῆς τε τόλμης καὶ τῆς σοφίης. [8] τούτων μετεξέτερα τῶν κητέων ἐποκέλλειν πολλαχοῦ τῆς χώρης, ἐπειδὰν ἀνάπωτις κατάσχῃ, ἐν τοῖσι βράχεσιν ἐχόμενα, τὰ δὲ καὶ ὑπὸ χειμώνων σκληρῶν ἐς τὴν χέρσον ἐξωθέεσθαι, καὶ οὕτω δὴ καὐτὰ σηπόμενα ἀπόλλυσθαί τε καὶ τὰς σάρκας αὐτοῖσι περιρρεούσας ὑπολείπειν τὰ ὀστέα χρῆσθαι τοῖσιν ἀνθρώποισιν ἐς τὰ οἰκία. [9] εἶναι ὦν τὰ μὲν ἐν τῇσι πλευρῇσιν αὐτῶν ὀστέα δοκοὺς τοῖσιν οἰκήμασιν ὅσα μεγάλα, τὰ δὲ μικρότερα

este país, sin árboles ni frutos comestibles, tienen un régimen alimenticio a base de pescado; otros, en cambio, cultivan parte de sus tierras y toman pan como acompañamiento del pescado [521], aunque el pescado sigue siendo su plato fuerte.

[16] Los más ricos entre ellos edifican sus casas de la siguiente manera: recogen huesos de los cetáceos que el mar arroja a la costa y los utilizan como tablones, y para las puertas les sirven los huesos planos. Pero la gente del pueblo y los más pobres se hacen sus casas con las raspas de los pescados.

Fauna marina de estos mares.

30 Este extenso Océano alimenta grandes cetáceos [522], y en él viven peces mucho mayores que los de nuestro mar Mediterráneo. [2] Cuenta Nearco que, cuando ellos salieron de Cuiza, vieron al amanecer una masa de agua proyectada a presión por encima del mar, como lanzada por una violenta tempestad, [3] y que, llenos de miedo, preguntaron a los pilotos qué era aquello y a qué se debía. Contestaron éstos que se trataba de cetáceos que nadan por el mar lanzando chorros de agua al cielo, y tanto asustó esto a los marineros, que los remos cayeron de sus manos.

[4] Nearco pensó que lo mejor era animar y dar confianza a sus hombres, por lo que, a aquellos junto a los cuales navegaba su barco, les ordenó que colocaran sus naves de frente como para una batalla naval y que entonaran su grito de guerra para sumarlo al estruendo del mar y avanzar, así, a todo batir de remos en medio del mayor estrépito. [5] Recuperados, pues, los ánimos, pusieron así rumbo a las bestias a una señal dada y, al acercarse a ellas, gritaron con todas las fuerzas de su garganta [523], hicieron sonar sus trompetas, lanzando lo más lejos posible este estrépito y el ruido de sus remos. [6] Los monstruos, bien visibles ya por las proas de las naves, aterrados se sumergieron en las profundidades y, al cabo de poco, emergieron por la popa, reaparecieron y volvieron a resoplar a gran altura columnas de agua.

[7] Ante esta inesperada salvación los marineros aplaudieron, felicitando a Nearco por su sabiduría y su osadía.

[8] Ocurre, a veces, que estos monstruos salen a algún lugar de la costa próximo a la playa y, cuando la marea baja, quedan cogidos en algún bajo fondo o son expulsados por el oleaje en el curso de una violenta tempestad, y allí en la arena de la playa se pudre y descompone su carne, y se desmembra el animal para dejar sólo sus huesos, que, más tarde, los nativos aprovechan para sus construcciones. [9] Los grandes huesos de los costados se emplean como travesaños de las casas y los pequeños,

στρωτῆρας· τὰ δὲ ἐν τῇσι σιαγόσι, ταῦτα δὲ εἶναι τὰ θύρετρα, οἷα δὴ πολλῶν καὶ εἰς εἴκοσι καὶ πέντε ὀργυιὰς ἀνηκόντων τὸ μέγεθος.

31. εὖτε δὲ παρέπλεον τὴν χώρην τῶν Ἰχθυοφάγων, λόγον ἀκούουσι περὶ νήσου τινός, ἣ κεῖται μὲν ἀπέχουσα τῆς ταύτῃ ἠπείρου σταδίους ἐς ἑκατόν, ἐρήμη δέ ἐστιν οἰκητόρων. [2] ταύτην ἱρὴν Ἡλίου ἔλεγον εἶναι οἱ ἐπιχώριοι καὶ Νόσαλα καλέεσθαι, οὐδέ τινα ἀνθρώπων καταίρειν ἐθέλειν ἐς αὐτήν· ὅστις δ᾽ ἂν ἀπειρίῃ προσχῇ, γίνεσθαι ἀφανέα. [3] ἀλλὰ λέγει Νέαρχος κέρκουρόν σφι ἕνα πλήρωμα ἔχοντα Αἰγυπτίων οὐ πόρρω τῆς νήσου ταύτης γενέσθαι ἀφανέα, καὶ ὑπὲρ τούτου τοὺς ἡγεμόνας τοῦ πλόου ἰσχυρίζεσθαι ὅτι ἄρα κατάραντες ὑπ᾽ ἀγνοίης εἰς τὴν νῆσον γένοιντο ἀφανέες. [4] Νέαρχος δὲ πέμπει κύκλῳ περὶ τὴν νῆσον τριηκόντορον, κελεύσας μὴ κατασχεῖν μὲν ἐς τὴν νῆσον, ἐμβοᾶν δὲ τοῖς ἀνθρώποις ὡς μάλιστα ἐν χρῷ παραπλέοντας, καὶ τὸν κυβερνήτην ὀνομάζοντας καὶ ὅτου ἄλλου οὐκ ἀφανὲς τὸ οὔνομα. [5] ὡς δὲ οὐδένα ὑπακούειν, τότε δὲ αὐτὸς λέγει πλεῦσαι ἐς τὴν νῆσον καὶ κατασχεῖν δὴ προσαναγκάσαι τοὺς ναύτας οὐκ ἐθέλοντας, καὶ ἐκβῆναι αὐτὸς καὶ ἐλέγξαι κενὸν μῦθον ἐόντα τὸν περὶ τῆς νήσου λόγον.

[6] ἀκοῦσαι δὲ καὶ ἄλλον λόγον ὑπὲρ τῆς νήσου ταύτης λεγόμενον, οἰκῆσαι τὴν νῆσον ταύτην μίαν τῶν Νηρηίδων· τὸ δὲ οὔνομα οὐ λέγεσθαι τῆς Νηρηίδος. ταύτῃ δὲ ὅστις πελάσειε τῇ νήσῳ, τούτῳ συγγίνεσθαι μέν, ἰχθὺν δὲ αὐτὸν ἐξ ἀνθρώπου ποιέουσαν ἐμβάλλειν ἐς τὸν πόντον. [7] Ἥλιον δὲ ἀχθεσθέντα τῇ Νηρηίδι κελεύειν μετοικίζεσθαι αὐτὴν ἐκ τῆς νήσου· τὴν δὲ ὁμολογεῖν μὲν ὅτι ἐξοικισθήσεται, δεῖσθαι δέ οἱ τὸ πάθημα <παυθῆναι>. καὶ τὸν Ἥλιον ὑποδέξασθαι, [8] τοὺς δὲ δὴ ἀνθρώπους οὕστινας [ἂν] ἰχθύας ἐξ ἀνθρώπων πεποιήκει κατελεήσαντα ἀνθρώπους αὖθις ἐξ ἰχθύων ποιῆσαι, καὶ ἀπὸ τούτων τῶν Ἰχθυοφάγων τὸ γένος καὶ εἰς Ἀλέξανδρον κατελθεῖν. [9] καὶ ταῦτα ὅτι ψεύδεα ἐξελέγχει Νέαρχος, οὐκ ἐπαινῶ αὐτὸν ἔγωγε τῆς σχολῆς τε καὶ σοφίης, οὔτε κάρτα χαλεπὰ ἐξελεγχθῆναι ἐόντα, ταλαίπωρόν τε ὂν γιγνώσκων τοὺς παλαιοὺς λόγους ἐπιλεγόμενον ἐξελέγχειν ὄντας ψευδέας.

32. ὑπὲρ τοὺς Ἰχθυοφάγους Γαδρώσιοι ἐς τὸ ἄνω οἰκέουσι γῆν πονηρὴν καὶ ψαμμώδεα, ἔνθεν καὶ τὰ πολλὰ κακὰ ἥ στρατιή τε Ἀλεξάνδρῳ ἔπαθεν καὶ αὐτὸς Ἀλέξανδρος, ὥς μοι ἤδη ἐν τῷ ἄλλῳ

como cabríos, y los de la mandíbula se utilizan como jambas de las puertas, ya que estos animales alcanzan, en algunos casos, hasta veinticinco orguias de largo.

Leyendas sobre islas fantásticas.

31 Cuando costeaban el país de los ictiófagos, oyeron hablar de una isla [524] que se halla a unos cien estadios de la tierra firme y en la que no vive nadie. [2] Los nativos del lugar decían que estaba dedicada al Sol y que se llamaba Nosala, y que nadie quería acercarse hasta ella, ya que, si alguien ponía el pie en ella por no saberlo, desaparecía al punto.

[3] Dice Nearco que uno de sus bajeles con una tripulación egipcia desapareció no lejos de esta isla, y que los pilotos del resto de sus naves afirmaban que había ocurrido ello por haberse acercado sin saberlo en exceso a la isla.

[4] Ante estos rumores, Nearco ordenó que un triecóntoro diera una vuelta alrededorde toda la isla sin tocar en ella y que sus tripulantes llamaran a gritos a sus compañeros (al timonel y a los que fueran conocidos, por sus propios nombres) cuando pasaran lo más cerca posible de la isla. [5] Mas como nadie les contestara, dicen que él mismo puso rumbo a la isla y obligó a su tripulación a aproximarse a ella, cosa que aquéllos de muy mala gana hicieron. Él mismo desembarcó, demostrando así que aquel relato era una patraña en lo que al carácter de la isla se refería.

[6] Le llegaron también noticias de otra leyenda sobre esta isla, según la cual vivíaen ella en soledad una nereida (nadie conocía su nombre) que hacía, de cualquiera que a la isla se acercaba, su amante, a quien, acto seguido, metamorfoseaba en pez y lo arrojaba al mar.

[7] El Sol se molestó con ella, por lo que ordenó cambiara su residencia a otra isla, alo que ella accedió pidiéndole a cambio que desapareciera el embrujo que sobre ella pesaba, a lo que también accedió el Sol.

[8] Se compadeció, entonces, la nereida de aquellos hombres a los que había metamorfoseado en peces y y les devolvió a su estado primigenio, y de ellos descienden, precisamente, la raza de los ictiófagos que hasta tiempos de Alejandro vivieron.

[9] Nearco nos probó así, definitivamente, que estos tales relatos eran falsos, aunque a mí no me parece bien que se tomara tanto trabajo y erudición, ya que eran bien fáciles de rebatir por completo. Entiendo que es una laboriosa e inútil tarea reunir una serie de antiguas anécdotas para, acto seguido, probar su falsedad.

Continúa la expedición por costas de Carmania.

32 Más al interior que los ictiófagos habitan los gadrosios, en un territorio pobre y de arenas por todas partes. Fue allí donde el propio Alejandro y su ejército sufrieron incontables calamidades, según ya he tenido ocasión

λόγῳ ἀπήγηται. [2] ὡς δὲ ἐς τὴν Καρμανίην ἀπὸ τῶν Ἰχθυοφάγων κατῆρεν ὁ στρατός, ἐνταῦθα ἵνα πρῶτον τῆς Καρμανίης ὡρμίσαντο, ἐπ᾽ ἀγκυρέων ἐσάλευσαν, ὅτι ῥηχίη παρετέτατο ἐς τὸ πέλαγος τρηχείη. [3] ἐνθένδε οὐκέτι ὡσαύτως πρὸς ἡλίου δυομένου ἔπλωον, ἀλλὰ τὸ μεταξὺ δύσιός τε ἡλίου καὶ τῆς ἄρκτου μᾶλλόν τι αἱ πρῷραι αὐτοῖσιν ἐπεῖχον, [4] καὶ ἡ Καρμανίη[I] τῶν Ἰχθυοφάγων τῆς γῆς καὶ τῶν Ὠρειτῶν εὐδενδροτέρη τε καὶ εὐκαρποτέρη ἐστὶ καὶ ποιώδης μᾶλλόν τι καὶ ἔνυδρος. [5] ὁρμίζονται δὲ ἐν Βάδει χώρῳ τῆς Καρμανίης οἰκουμένῳ, δένδρεά τε πολλὰ ἥμερα πεφυκότα ἔχοντι πλὴν ἐλαίης, καὶ ἀμπέλους ἀγαθάς, καὶ σιτοφόρῳ. [6] ἐνθένδε ὁρμηθέντες καὶ διεκπλώσαντες σταδίους ὀκτακοσίους πρὸς αἰγιαλῷ ὁρμίζονται ἐρήμῳ, καὶ καθορῶσιν ἄκρην μακρὴν ἀνέχουσαν ἐπὶ πολλὸν ἐς τὸ πέλαγος· ἀπέχειν δὲ ἐφαίνετο ἡ ἄκρη πλόον ὡς ἡμέρης. [7] καὶ οἱ τῶν χώρων ἐκείνων δαήμονες τῆς Ἀραβίης ἔλεγον τὴν ἀνίσχουσαν ταύτην ἄκρην, καλέεσθαι <δὲ> Μάκετα· ἔνθεν τὰ κιννάμωμά τε καὶ ἄλλα τοιουτότροπα ἐς Ἀσσυρίους ἀγινέεσθαι. [8] καὶ ἀπὸ τοῦ αἰγιαλοῦ τούτου, ἵναπερ ὁ στόλος ἐσάλευε, καὶ τῆς ἄκρης, ἥντινα καταντικρὺ ἀφεώρων ἀνέχουσαν ἐς τὸ πέλαγος, ὁ κόλπος —ἐμοί τε δοκεῖ καὶ Νεάρχῳ ὡσαύτως ἐδόκεεν—ἐς τὸ εἴσω ἀναχεῖται, ὅπερ εἰκὸς ἡ Ἐρυθρὴ θάλασσα. [9] ταύτην τὴν ἄκρην ὡς κατεῖδον, Ὀνησίκριτος μὲν ἐπέχοντας ἐπ᾽ αὐτὴν πλέειν ἐκέλευεν, ὡς μὴ κατὰ τὸν κόλπον ἐλαστρέοντας ταλαιπωρέεσθαι. [10] Νέαρχος δὲ ὑποκρίνεται νήπιον εἶναι Ὀνησίκριτον, εἰ ἀγνοέει ἐπ᾽ ὅτῳ ἐστάλη πρὸς Ἀλεξάνδρου ὁ στόλος. [11] οὐ γὰρ ὅτι ἀπορίη ἦν πεζῇ διασωθῆναι πάντα αὐτῷ τὸν στρατόν, ἐπὶ τῷδε ἄρα ἐκπέμψαι τὰς νέας, ἀλλὰ ἐθέλοντα αἰγιαλούς τε τοὺς κατὰ τὸν παράπλουν κατασκέψασθαι καὶ ὅρμους καὶ νησῖδας, καὶ ὅστις κόλπος ἐσέχοι ἐκπεριπλῶσαι τοῦτον, καὶ πόλιας ὅσαι ἐπιθαλάσσιαι, καὶ εἴ τις ἔγκαρπος γῆ καὶ εἴ τις ἐρήμη. [12] σφᾶς ὦν οὐ χρῆναι ἀφανίσαι τὸ ἔργον, πρὸς τέρματι ἤδη ἐόντας τῶν πόνων, ἄλλως τε οὐδὲ ἀπόρως ἔτι τῶν ἀναγκαίων ἐν τῷ παράπλῳ ἔχοντας. δεδιέναι τε, ὅτι ἡ ἄκρη ἐς μεσημβρίην ἀνέχει, μὴ ἐρήμῳ τε τῇ ταύτῃ γῇ καὶ

[I] οὕτω μᾶλλον . . . οὕτω ἡ Καρμανίη codd. Sigo a Hercher al borrar οὕτω en ambos casos.

de narrar en mi otro libro. [2] Cuando la flota partió por última vez del territorio de los ictiófagos y llegó a Carmania, es decir, en la primera recalada que en la región de Carmania hicieron, tuvieron que echar las anclas a considerable distancia de la playa, pues allí se extendían en dirección al mar unas terribles rompientes.

[3] Al hacerse de nuevo a la mar pusieron rumbo no hacia el Oeste, como de costumbre, sino que enfilaron las proas en sentido Noroeste. [4] Esta región, llamada Carmania, es una tierra más arbolada que la de los ictiófagos y los oritas, y también es más rica en frutales y, en ella, abunda más la yerba y es más rica en agua.

[5] Arribaron, pues, a Badis, villa de Carmania, en la que abundaban toda suerte de árboles cultivados, menos el olivo; en ella se criaban, igualmente, buenas viñas y era muy productora de trigo. [6] Tras salir de allá y después de haber recorrido ochocientos estadios, llegaron a una playa desierta, desde donde divisaban un enorme cabo que se introducía considerablemente mar adentro y que parecía distar de allí un día de navegación.

[7] Los que conocían el país [525] decían que este cabo pertenecía a la Península Arábiga y que se llamaba Maceta [526], y que era de allí de donde los asirios importaban la canela y las demás especias. [8] Pues bien, a partir de este lugar de la costa donde ahora se hallaba la flota y del cabo que frente a sí veían sobresaliendo hacia el mar (en mi opinión y en la de Nearco al menos), comienza el golfo que se interna profundamente formando lo que podemos llamar mar Rojo [527].

[9] Cuando la expedición divisó este cabo, Onesícrito fue partidario de poner proa directamente hacia él a fin de evitarse las molestias de tener que demorarse por todo el perímetro del golfo. [10] A ello le replicó Nearco que Onesícrito era un ingenuo si es que todavía no se había enterado del verdadero motivo por el que Alejandro había despachado esta expedición.

[11] El motivo de la expedición por mar no había sido que a Alejandro le resultara imposible conducir la totalidad de su ejército sano y salvo por tierra, sino porque le interesaba conocer las playas de toda la franja costera, los puertos e islotes que en ella hubiera, recorrer todos los golfos y ciudades costeras, e informarse de qué partes del país eran fértiles y cuáles eran desiertos. [12] Por ello, no debían ahora que ya estaban acabando con tan penosa empresa echarla a perder, precisamente ahora que tenían abundancia de víveres para lo que quedaba de travesía.

Además, tenía Nearco sus prevenciones de que aquel cabo, situado más hacia el Sur, fuera en realidad un paraje desértico,

ἀνύδρῳ καὶ φλογώδει ἐγκύρσειαν. [13] ταῦτα ἐνίκα, καί μοι δοκέει περιφανέως σῶσαι τὴν στρατιὴν τῇδε τῇ βουλῇ Νέαρχος· τὴν γὰρ δὴ ἄκρην ἐκείνην καὶ τὴν πρὸς αὐτῇ χώρην πᾶσαν ἐρήμην τε εἶναι λόγος κατέχει καὶ ὕδατος ἀπορίῃ ἔχεσθαι.

33. ἀλλὰ ἔπλωον γὰρ ἀπὸ τοῦ αἰγιαλοῦ ἄραντες τῇ γῇ προσεχέες, καὶ πλώσαντες σταδίους ὡς ἑπτακοσίους ἐν ἄλλῳ αἰγιαλῷ ὡρμίσαντο· Νεόπτανα ὄνομα τῷ αἰγιαλῷ. [2] καὶ αὖθις ὑπὸ τὴν ἕω ἀνήγοντο, καὶ πλεύσαντες σταδίους ἑκατὸν ὁρμίζονται κατὰ ποταμὸν Ἄναμιν· ὁ δὲ χῶρος Ἁρμόζεια ἐκαλέετο. δαψιλέα δὲ ἤδη καὶ πάμφορα <τὰ> ταύτῃ ἦν, πλὴν ἐλαῖαι οὐ πεφύκεσαν. [3] ἐνταῦθα ἐκβαίνουσί τε ἐκ τῶν νεῶν καὶ ἀπὸ τῶν πολλῶν πόνων ἄσμενοι ἀνεπαύοντο, μεμνημένοι ὅσα κακὰ κατὰ τὴν θάλασσαν πεπονθότες ἦσαν καὶ πρὸς τῇ γῇ τῶν Ἰχθυοφάγων, τήν τε ἐρημίην τῆς χώρης καὶ τοὺς ἀνθρώπους ὅπως θηριώδεες καὶ τὰς σφῶν ἀπορίας ἐπιλεγόμενοι. [4] καί τινες αὐτῶν ἀπὸ θαλάσσης ἐς τὸ πρόσω ἀνῆλθον, ἀποσκεδασθέντες τῆς στρατιῆς κατὰ ζήτησιν ἄλλος ἄλλου. [5] ἐνταῦθα ἄνθρωπός σφισιν ὤφθη χλαμύδα τε φορῶν Ἑλληνικὴν καὶ τὰ ἄλλα ὡς Ἕλλην ἐσκευασμένος, καὶ φωνὴν Ἑλλάδα ἐφώνεε. τοῦτον οἱ πρῶτοι ἰδόντες δακρῦσαι ἔλεγον· οὕτω τι παράλογόν σφισι φανῆναι ἐκ τῶν τοσῶνδε κακῶν Ἕλληνα μὲν ἄνθρωπον ἰδεῖν, Ἑλλάδος δὲ φωνῆς ἀκοῦσαι. [6] ἐπηρώτων τε ὁπόθεν ἥκοι καὶ ὅστις ὤν· ὁ δὲ ἀπὸ τοῦ στρατοπέδου τοῦ Ἀλεξάνδρου ἀποσκεδασθῆναι ἔλεγε, καὶ εἶναι οὐ πόρρω τὸ στρατόπεδον καὶ αὐτὸν Ἀλέξανδρον. [7] τοῦτον τὸν ἄνθρωπον βοῶντές τε καὶ κροτέοντες ἀνάγουσι παρὰ τὸν Νέαρχον· καὶ Νεάρχῳ πάντα ἔφρασε, καὶ ὅτι πέντε ἡμερέων ὁδὸν ἀπέχει τὸ στρατόπεδον καὶ ὁ βασιλεὺς ἀπὸ τῆς θαλάσσης. [8] τὸν τε ὕπαρχον τῆς χώρης ταύτης δείξειν ἔφη Νεάρχῳ, καὶ ἔδειξε· καὶ μετὰ τούτου Νέαρχος γνώμην ποιέεται, ὅπως ἀναβήσεται πρὸς βασιλέα. [9] τότε μὲν δὴ ἐπὶ τὰς νέας ἀπῆλθον· ὑπὸ δὲ τὴν ἕω τὰς νέας ἐνεώλκεεν, ἐπισκευῆς τε εἵνεκα, ὅσαι αὐτῶν κατὰ τὸν πλοῦν πεπονήκεσαν, καὶ ἅμα ὅτι ἐν τῷ χώρῳ τούτῳ ὑπολείπεσθαί οἱ ἐδόκεε τὸν πολλὸν στρατόν. [10] χάρακά τε ὦν περιβάλλεται διπλοῦν περὶ τῷ ναυστάθμῳ, καὶ τεῖχος γήϊνον καὶ τάφρον βαθείην, ἀπὸ τοῦ ποταμοῦ τῆς ὄχθης ἀρξάμενος ἔστε ἐπὶ τὸν αἰγιαλόν, ἵνα αἱ νέες αὐτῷ ἀνειρυσμέναι ἦσαν.

sin agua y quemado por el sol. [13] Al final se impuso su parecer [528] y fue gracias a ello, estoy seguro, por lo que Nearco consiguió salvar su flota, pues tanto aquel promontorio como el territorio colindante constituyen un desierto que carece, según se dice, por completo de agua.

33 Haciéndose de nuevo a la mar sin perder de vista la costa, llegaron, después de haber recorrido setecientos estadios, a las playas de Neóptana. [2] Partieron de nuevo al amanecer y, al cabo de cien estadios, se encontraban en la desembocadura del río Ánamis, en la región de Harmocia. Ésta era ya una tierra acogedora y fértil, a pesar de que en ella no se criaba el olivo.

[3] Una vez desembarcaron, encontraron un respiro a tantas penalidades como habían sufrido; traían ahora a la memoria lo que habían penado por mar y por el país de los ictiófagos, volviendo a acordarse de los sufrimientos del desierto, de aquellos hombres salvajes y de sus propias dificultades.

[4] Algunos hombres se introdujeron tierra adentro, desperdigándose del resto del ejército, cada cual buscando algo. [5] Fue entonces cuando vieron un hombre que llevaba una clámide griega, con aditamentos griegos, y que hablaba su lengua griega. Los primeros que le vieron confesaron que se pusieron a llorar, pues no se creían que, tras tantas desgracias, pudieran estar viendo a un griego y escucharle hablar en griego. [6] Le preguntaron de dónde venía y quién era, y él les contestó que se había alejado un tanto del ejército de Alejandro, aunque el ejército y el propio Alejandro se hallaban a muy corta distancia.

[7] En medio de un tremendo griterío y entre aplausos lo condujeron ante Nearco, a quien éste le contó que el ejército y el propio rey Alejandro estaban a cinco días de marcha desde la costa. [8] Díjole también a Nearco que le iba a presentar al gobernador de esta región, y Nearco llegó con él a un entendimiento para marchar por el interior del país en busca de Alejandro.

[9] A continuación regresó Nearco adonde sus naves y, al amanecer, sacó a tierraalgunas que habían sufrido averías durante el viaje y porque, además, había planeado dejar en este territorio a la mayor parte de sus hombres.

[10] Cerró el recinto donde quedaron las naves con una empalizada doble, así como con un muro de tierra y un profundo foso, comenzándolo desde la orilla del río hasta la zona de playa en que sus naves habían sido arrastradas a la arena.

34. ἐν ᾧ δὲ ὁ Νέαρχος ταῦτα ἐκόσμεε, τῆς χώρης ὁ ὕπαρχος πεπυσμένος ὅπως ἐν μεγάλῃ φροντίδι ἔχοι Ἀλέξανδρος τὰ ἀμφὶ τὸν στόλον τοῦτον, μέγα δή τι ἀγαθὸν ἐξ Ἀλεξάνδρου ἂν ἔγνω πείσεσθαι, εἰ πρῶτός οἱ ἀπαγγείλειε τοῦ στρατοῦ τὴν σωτηρίην καὶ τὸν Νέαρχον ὅτι οὐ πολλῷ ὕστερον ἀφίξεται ἐς ὄψιν τὴν βασιλέος. [2] οὕτω δὴ τὴν βραχυτάτην ἐλάσας ἀπαγγέλλει Ἀλεξάνδρῳ ὅτι Νέαρχος οὗτος προσάγει ἀπὸ τῶν νεῶν. τότε μὲν δὴ καίπερ ἀπιστέων τῷ λόγῳ Ἀλέξανδρος ἀλλὰ ἐχάρη γε κατὰ τὸ εἰκὸς τῇ ἀγγελίῃ· [3] ὡς δὲ ἡμέρη τε ἄλλη ἐξ ἄλλης ἐγίνετο, καὶ ξυντιθέντι αὐτῷ τῆς ἀγγελίης τὸν χρόνον οὐκέτι πιστὰ τὰ ἐξηγγελμένα ἐφαίνετο, [4] πεμπόμενοί τε ἄλλοι ἐπ᾽ ἄλλοισιν ὡς ἐπὶ κομιδῇ τοῦ Νεάρχου οἱ μέν τινες ὀλίγον τῆς ὁδοῦ προελθόντες καὶ οὐδενὶ ἐγκύρσαντες κενοὶ ἐπανῄεσαν, οἱ δὲ καὶ πορρωτέρω ἐλθόντες καὶ διαμαρτόντες τῶν ἀμφὶ τὸν Νέαρχον οὐδὲ αὐτοὶ ἐπανῄεσαν, [5] ἐνταῦθα δὴ τὸν μὲν ἄνθρωπον ἐκεῖνον, ὡς κενά τε ἀγγείλαντα καὶ λυπηρότερά οἱ τὰ πρήγματα ποιήσαντα τῇ ματαίῃ εὐφροσύνῃ, συλλαβεῖν κελεύει Ἀλέξανδρος, αὐτὸς δὲ τῇ τε ὄψει καὶ τῇ γνώμῃ δῆλος ἦν μεγάλῳ ἄχει βεβλημένος. [6] ἐν τούτῳ δὲ τῶν τινες κατὰ ζήτησιν τοῦ Νεάρχου ἐσταλμένων ἵππους τε ἐπὶ κομιδῇ αὐτῶν καὶ ἀπήνας δὲ ἄγοντες ἐντυγχάνουσι κατὰ τὴν ὁδὸν αὐτῷ τε Νεάρχῳ καὶ τῷ Ἀρχίῃ καὶ πέντε ἢ ἓξ ἅμα αὐτοῖσιν· μετὰ τοσούτων γὰρ ἀνῄει. [7] καὶ ἐντυχόντες οὔτε αὐτὸν ἐγνώρισαν οὔτε τὸν Ἀρχίην — οὕτω τοι κάρτα ἀλλοῖοι ἐφάνησαν, κομόωντές τε καί ῥυπόωντες καὶ μεστοὶ ἅλμης καὶ ῥικνοὶ τὰ σώματα καὶ ὠχροὶ ὑπὸ ἀγρυπνίης τε καὶ τῆς ἄλλης ταλαιπωρίης — [8] ἀλλὰ ἐρομένοις γὰρ αὐτοῖς ἵναπερ εἴη Ἀλέξανδρος, ὑποκρινάμενοι τὸν χῶρον οἱ δὲ παρήλαυνον. [9] Ἀρχίης δὲ ἐπιφρασθεὶς λέγει πρὸς Νέαρχον "ὦ Νέαρχε, τούτους τοὺς ἀνθρώπους δι᾽ ἐρημίας ἐλαύνειν τὴν αὐτὴν ἡμῖν ὁδὸν οὐκ ἐπ᾽ ἄλλῳ τινὶ συντίθημι [ἢ] ὅτι μὴ κατὰ ζήτησιν τὴν ἡμετέρην ἀπεσταλμένους. [10] ὅτι δὲ οὐ γιγνώσκουσιν ἡμέας, οὐκ ἐν θώματι ποιέομαι· οὕτω γάρ τι ἔχομεν κακῶς ὡς ἄγνωστοι εἶναι. φράσωμεν αὐτοῖσιν οἵτινές εἰμεν, καὶ αὐτοὺς ἐρώμεθα καθότι ταύτῃ ἐλαύνουσιν." [11] ἔδοξε τῷ Νεάρχῳ ἐναίσιμα λέγειν· καὶ ἤροντο ὅποι ἐλαύνουσιν· οἱ δὲ ὑποκρίνονται ὅτι κατὰ ζήτησιν Νεάρχου τε καὶ τοῦ στρατοῦ τοῦ ναυτικοῦ. [12] ὁ δέ "οὗτος" ἔφη "ἐγώ

Nearco en busca de Alejandro.

34 Mientras Nearco hacía estos preparativos, el gobernador de esta región, que sabía la gran preocupación que Alejandro sentía por la suerte de la flota de Nearco, pensó que obtendría una buena recompensa de Alejandro si le daba noticias él antes que nadie de que el ejército estaba a salvo y de que Nearco acudiría a presencia del rey dentro de muy poco tiempo.

[2] Por ello, se puso en marcha por los caminos más cortos para anunciar a Alejandro que Nearco estaba ya de camino y que venía de la costa. Alejandro, aunque desconfiando un poco del anuncio, se alegró, como es natural, por lo que se le decía. [3] Mas como se sucedieron los días, Alejandro, contando el tiempo en que le había llegado la noticia, creyó que era falso lo que le habían anunciado.

[4] Algunos emisarios que Alejandro había enviado a recibir a Nearco iban regresando uno tras otro de vacío, tras haberse adelantado sólo unos días de marcha; más tarde, un segundo contingente que había continuado por más tiempo la búsqueda de Nearco, al no encontrarle, ni siquiera regresó donde Alejandro.

[5] Mandó entonces Alejandro detener a aquel hombre por haberle traído informaciones falsas que no habían hecho sino aumentar su angustia con el anuncio de esa falsa alegría; en su cara y en sus modales se le veía que estaba profundamente atormentado. [6] En el ínterin, algunos que habían partido a la busca de Nearco con caballos y unos carromatos para recogerle encontraron en el camino a Nearco, Arquias y cinco acompañantes con los que habían emprendido la marcha al interior.

[7] Al primer encuentro no reconocieron a Nearco ni a Arquias (tan cambiados estaban: con los pelos largos, sucios, llenos de salitre, agotados físicamente, pálidos de no dormir y de mil otras penalidades), [8] sino que como éstos sólo les preguntaron por Alejandro, aquéllos les contestaron que Alejandro estaba cerca y así los dejaron seguir su camino.

[9] Entonces Arquias cayó en la cuenta y le dijo a Nearco: «Nearco, estos hombres que llevan el mismo camino que nosotros por el desierto deben estar buscándonos, yo me imagino, a nosotros. [10] Y no es de extrañar, sin embargo, que no nos hayan reconocido, pues nuestro estado es tan lastimero que somos inidentificables. Mostrémosles quiénes somos y preguntémosles a qué han venido por estos parajes.»

[11] A Nearco le pareció perfecto lo que acababa de decirle Arquias, por lo que preguntaron a los soldados adónde se encaminaban. Ellos les contestaron que buscaban a Nearco y su flota; [12] y él dijo: «He aquí que

εἰμι Νέαρχος, καὶ Ἀρχίας οὗτος. ἀλλ᾽ ἄγετε ἡμέας· ἡμεῖς δὲ τὰ ὑπὲρ τῆς στρατιῆς Ἀλεξάνδρῳ ἀπηγησόμεθα."

35. ἀναλαβόντες <ὦν> αὐτοὺς ἐπὶ τὰς ἀπήνας ὀπίσω ἤλαυνον. καί τινες αὐτῶν τούτων ὑποφθάσαι ἐθελήσαντες τὴν ἀγγελίην, προδραμόντες λέγουσιν Ἀλεξάνδρῳ ὅτι "οὗτός τοι Νέαρχος, καὶ σὺν αὐτῷ Ἀρχίης καὶ πέντε ἄλλοι κομίζονται παρὰ σέ," ὑπὲρ δὲ τοῦ στρατοῦ παντὸς οὐδὲν εἶχον ὑποκρίνασθαι. [2] τοῦτο ἐκεῖνο συνθεὶς Ἀλέξανδρος, τοὺς μὲν παραλόγως ἀποσωθῆναι, τὴν στρατιὴν δὲ πᾶσαν διεφάρθαι αὐτῷ, οὐ τοσόνδε τοῦ Νεάρχου τε καὶ τοῦ Ἀρχίου τῇ σωτηρίῃ ἔχαιρεν, ὅσον ἐλύπει αὐτὸν ἀπολομένη ἡ στρατιὴ πᾶσα.

[3] οὔπω πάντα ταῦτα εἴρητο, καὶ ὁ Νέαρχός τε καὶ ὁ Ἀρχίης προσῆγον. τοὺς δὲ μόγις καὶ χαλεπῶς ἐπέγνω Ἀλέξανδρος, ὅτι τε κομόωντας καὶ κακῶς ἐσταλμένους καθεώρα, ταύτῃ μᾶλλόν τι βεβαιότερον αὐτῷ τὸ ἄχος ὑπὲρ τῆς στρατιῆς τῆς ναυτικῆς ἐγίνετο. [4] ὁ δὲ τὴν δεξιὰν τῷ Νεάρχῳ ἐμβαλὼν καὶ ἀπαγαγὼν μόνον αὐτὸν ἀπὸ τῶν ἑταίρων τε καὶ τῶν ὑπασπιστῶν, πολλὸν ἐπὶ χρόνον ἐδάκρυεν· [5] ὀψὲ δὲ ἀνενεγκὼν "ἀλλὰ ὅτι σύγε ἡμῖν ἐπανήκεις σῶος" ἔφη "καὶ Ἀρχίης οὗτος, ἔχοι ἂν ἔμοιγε ὡς ἐπὶ συμφορῇ τῇ ἁπάσῃ μετρίως· αἱ δέ τοι νέες καὶ ἡ στρατιὴ κοίῳ τινὶ τρόπῳ διεφθάρησαν;" [6] ὁ δὲ ὑπολαβὼν "ὦ βασιλεῦ," ἔφη "καὶ αἱ νέες τοι σῷαί εἰσι καὶ ὁ στρατός· ἡμεῖς δὲ οὗτοι ἄγγελοι τῆς σωτηρίας αὐτῶν ἥκομεν." [7] ἔτι μᾶλλον ἐδάκρυεν Ἀλέξανδρος, καθότι ἀνέλπιστός οἱ ἡ σωτηρίη τοῦ στρατοῦ ἐφαίνετο, καὶ ὅπου ὁρμέουσιν αἱ νέες ἀνηρώτα. ὁ δὲ "αὗται" ἔφη "ἐν τῷ στόματι τοῦ Ἀνάμιδος ποταμοῦ ἀνειρυσμέναι ἐπισκευάζονται." [8] Ἀλέξανδρος δὲ τόν τε Δία τὸν Ἑλλήνων καὶ τὸν Ἄμμωνα τὸν Λιβύων ἐπόμνυσιν, ἦ μὴν μειζόνως ἐπί τῇδε τῇ ἀγγελίῃ χαίρειν ἢ ὅτι τὴν Ἀσίην πᾶσαν ἐκτημένος ἔρχεται. καὶ γὰρ καὶ τὸ ἄχος οἱ ἐπί τῇ ἀπωλείῃ τῆς στρατιῆς ἀντίρροπον γενέσθαι τῇ ἄλλῃ πάσῃ εὐτυχίῃ.

36. ὁ δὲ ὕπαρχος τῆς χώρης, ὅντινα συνειλήφει Ἀλέξανδρος ἐπὶ τῆς ἀγγελίης τῇ ματαιότητι, παρόντα κατιδὼν τὸν Νέαρχον, πίπτει τε αὐτῷ πρὸς τὰ γόνατα, [2] καὶ "οὗτός τοι" ἔφη "ἐγώ εἰμι, ὃς ἀπήγγειλα Ἀλεξάνδρῳ ὅτι σῷοι ἥκετε· ὁρᾷς ὅπως διάκειμαι." οὕτω δὴ δεῖται Ἀλεξάνδρου Νέαρχος ἀφεῖναι τὸν ἄνδρα, καὶ ἀφίεται.

[3] Ἀλέξανδρος δὲ σωτήρια τοῦ στρατοῦ ἔθυε Διὶ Σωτῆρι καὶ Ἡρακλεῖ

yo soy Nearco, y Arquias éste. Ea, llevadnos a que informemos a Alejandro de la suerte de la flota» [529].

35 Recogiéronlos, pues, y volvieron con ellos sobre sus carros de regreso. Se adelantaron algunos para llevar la noticia y, a todo correr, se presentaron ante Alejandro: «Aquí viene Nearco, y con él, Arquias y cinco más; a punto están de llegar.» En cambio, del resto del ejército no pudieron anunciar nada.

[2] Ante esta nueva información, Alejandro se figuró que estos amigos se habían salvado de milagro, pero que el resto del ejército se habría perdido, de suerte que fue menor la alegría que le produjo la noticia de la salvación de Nearco y Arquias, que lo que le pesaba saber que el resto del ejército había perecido. [3] No bien habían terminado de hablar los soldados cuando aparecieron Nearco y Arquias en presencia de Alejandro. Apenas los pudo éste reconocer, según los veía con los pelos largos y en tan lamentable estado; todo lo cual no hizo sino aumentar su pesar por considerar cosa hecha la desaparición de su flota.

[4] Ofreció a Nearco su mano derecha, y yendo los dos a un lado, aparte de los Compañeros y los hipaspistas, Alejandro lloró un buen rato.

[5] Al poco se contuvo y le dijo: «Menos mal que tú te has salvado y también Arquias; gracias a ello, puedo soportar medianamente esta desgracia; mas dime, ¿cómo perecieron las naves y el ejército?»

[6] Y Nearco, interrumpiéndole, le dijo: «¡Rey, también tus naves y tu ejército se han salvado! Nosotros mismos hemos querido venir como mensajeros de tan fausta noticia.»

[7] Aún más lloró Alejandro, al oír la noticia no esperada de la salvación de su ejército y, acto seguido, preguntó dónde estaban fondeadas las naves. A ello contestó Nearco: «Están en seco para ser reparadas en la desembocadura del río Ánamis.»

[8] Alejandro puso por testigo al Zeus griego y a Amón el libio de que esta última gran noticia le alegraba más que haber llegado a conquistar el Asia toda. Pues, en efecto [530], el dolor que había sentido al creer perdido su ejército le había amargado la alegría por sus anteriores éxitos.

36 El gobernador de la provincia, a quien Alejandro había detenido por creer falsas sus noticias, viendo que Nearco estaba allí delante se arrojó a sus rodillas diciéndole: [2] «Fui yo, yo, quien anuncié a Alejandro la noticia de que veníais a su encuentro sanos y salvos. Y ya ves cómo me hallo.» Nearco solicitó de Alejandro que liberara a este hombre, cosa que al punto ocurrió. [3] Alejandro ofreció un sacrificio por la salvación del ejército a Zeus Salvador, a Heracles,

καὶ Ἀπόλλωνι Ἀλεξικάκῳ καὶ Ποσειδῶνι τε καὶ ὅσοι ἄλλοι θαλάσσιοι θεοί, καὶ ἀγῶνα ἐποίεε γυμνικόν τε καὶ μουσικόν, καὶ πομπὴν ἔπεμπε· καὶ Νέαρχος ἐν πρώτοισιν ἐπόμπευε ταινίῃσί τε καὶ ἄνθεσι πρὸς τῆς στρατιῆς βαλλόμενος. [4] ὡς δὲ ταῦτά οἱ τέλος εἶχε, λέγει πρὸς Νέαρχον "ἐγώ σε, ὦ Νέαρχε, οὐκέτι θέλω τὸ πρόσω οὔτ᾽ οὖν κινδυνεύειν οὔτε ταλαιπωρέεσθαι, ἀλλὰ ἄλλος γὰρ τοῦ ναυτικοῦ ἐξηγήσεται τὸ ἀπὸ τοῦδε ἔστε καταστῆσαι αὐτὸ ἐς Σοῦσα." [5] Νέαρχος δὲ ὑπολαβὼν λέγει "ὦ βασιλεῦ, ἐγὼ μέν τοι πάντα πείθεσθαι ἐθέλω τε καὶ ἀναγκαίη μοί ἐστιν. ἀλλὰ εἰ δή τι καὶ σὺ ἐμοὶ χαρίζεσθαι ἐθέλοις, μὴ ποιήσῃς ὧδε, ἀλλά με ἔασον ἐξηγήσασθαι ἐς ἅπαν τοῦ στρατοῦ, ἔστε σοι σῴας καταστήσω ἐς Σοῦσα τὰς νέας, [6] μηδὲ τὰ μὲν χαλεπὰ αὐτοῦ τε καὶ ἄπορα ἐμοὶ ἐπιτετραμμένα ἐκ σοῦ ἔστω, τὰ δὲ εὐπετέα τε καὶ κλέους ἤδη ἑτοίμου ἐχόμενα, ταῦτα δὲ ἀφαιρεθέντα ἄλλῳ ἐς χεῖρας διδόσθω." [7] ἔτι λέγοντα παύει αὐτὸν Ἀλέξανδρος, καὶ χάριν προσωμολόγει εἰδέναι. οὕτω δὴ καταπέμπει αὐτόν, στρατιὴν δοὺς ἐς παραπομπὴν ὡς διὰ φιλίας ἰόντι ὀλίγην. [8] τῷ δὲ οὐδὲ τὰ τῆς ὁδοῦ τῆς ἐπὶ θάλασσαν ἔξω πόνου ἐγένετο, ἀλλὰ συλλελεγμένοι γὰρ οἱ κύκλῳ βάρβαροι τὰ ἐρυμνὰ τῆς χώρης τῆς Καρμανίης κατεῖχον, ὅτι καὶ ὁ σατράπης αὐτοῖσι τετελευτήκει κατὰ πρόσταξιν Ἀλεξάνδρου, ὁ δὲ νεωστὶ καθεστηκὼς Τληπόλεμος οὔπω βέβαιον τὸ κράτος εἶχε. [9] καὶ δὶς ὧν καὶ τρὶς τῇ αὐτῇ ἡμέρῃ ἄλλοισι καὶ ἄλλοισι τῶν βαρβάρων ἐπιφαινομένοισιν ἐς χεῖρας ἤεσαν, καὶ οὕτως οὐδέν τι ἐλινύσαντες μόλις καὶ χαλεπῶς ἐπὶ θάλασσαν ἀπεσώθησαν. ἐνταῦθα θύει Νέαρχος Διὶ Σωτῆρι καὶ ἀγῶνα ποιεῖ γυμνικόν.

37. ὡς δὲ αὐτῷ τὰ θεῖα ἐν κόσμῳ πεποίητο, οὕτω δὴ ἀνήγοντο. παραπλώσαντες δὲ νῆσον ἐρήμην τε καὶ τραχείην ἐν ἄλλῃ νήσῳ ὁρμίζονται, μεγάλῃ ταύτῃ καὶ οἰκουμένῃ, πλώσαντες σταδίους τριηκοσίους ἔνθενπερ ὡρμήθησαν. [2] καὶ ἡ μὲν ἐρήμη νῆσος Ὀργάνα ἐκαλέετο, ἐς ἣν δὲ ὡρμίσθησαν Ὀάρακτα, ἄμπελοί τε ἐν αὐτῇ ἐπεφύκεσαν καὶ φοίνικες, καὶ σιτοφόρος <ἦν>· τὸ δὲ μῆκος [ἦν] τῆς νήσου στάδιοι ὀκτακόσιοι. καὶ ὁ ὕπαρχος τῆς νήσου Μαζήνης συνέπλει αὐτοῖσι μέχρι Σούσων ἐθελοντὴς ἡγεμὼν τοῦ πλόου. [3] ἐν ταύτῃ τῇ νήσῳ ἔλεγον καὶ τοῦ πρώτου δυναστεύσαντος τῆς χώρης ταύτης δείκνυσθαι τὸν τάφον· ὄνομα δὲ αὐτῷ Ἐρύθρην εἶναι, ἀπ᾽ ὅτου καὶ τὴν

a Apolo Protector, a Posidón y cuantos otros dioses marinos existen, y celebró un certamen gimnástico y musical y una procesión presidida por Nearco, sobre quien todo el ejército arrojaba cintas y flores [531]. [4] Una vez terminada la ceremonia, le dijo Alejandro a Nearco: «A ti, Nearco, no te quiero volver a exponer a ningún peligro ni sufrimiento nuevo y, por ello, será otro quien se ponga al frente de la flota a partir de este momento hasta que ésta llegue a Susa.»

[5] Nearco, sin embargo, le interrumpió y le dijo: «Rey, en todo quiero yo manifestarte mi obediencia como debe ser; pero si quieres mostrarte agradecido conmigo, no hagas eso; antes bien, déjame al frente de la flota hasta rendir viaje completo en Susa con tus naves sanas y salvas. [6] No seas de esos que habiéndome asignado las tareas más arduas y difíciles me prives de lo que a continuación viene, que no es otra cosa que lo más fácil y lo que va acompañado de la mayor fama, para que ésta pase a manos de otro.»

[7] No le dejó Alejandro terminar estas palabras y se las agradeció calurosamente; luego lo despachó de regreso con una pequeña escolta, pues el camino era por territorio amigo.

[8] Sin embargo, el regreso también le resultó a Nearco penoso, pues los bárbaros delos alrededores se habían reunido y habían ocupado todas las plazas fuertes de la región de Carmania, debido a que su sátrapa había muerto por órdenes de Alejandro y el recién nombrado, Tlepólemo [532], aún no había conseguido imponer su autoridad. [9] Por dos y tres veces en un mismo día llegaron a las manos con grupos de bárbaros que aparecían cada cierto tiempo, y fue así como los hombres de Nearco, sin detenerse a descansar y muy a duras penas, consiguieron ponerse a salvo al llegar al mar. Nearco hizo allí un sacrificio a Zeus Salvador y celebró un certamen gimnástico.

Nearco reemprende su periplo.

37 Una vez [533] cumplidas las obligaciones con los dioses, se dieron a la mar, y bordearon una desierta y agreste isla. Echaron ancla más tarde en otra de gran extensión y habitada, a trescientos estadios de donde habían partido. [2] La primera isla se llamaba Organa, y en la que se detuvieron se llamaba Oaracta. En ella crecían viñas y palmeras, y era buena productora de trigo; mediría la isla unos ochocientos estadios. El gobernador de esta isla, llamado Macenes, se ofreció para acompañarles, como piloto, hasta Susa. [3] Decían que en esta isla podía contemplarse la tumba del primer rey de este país, que se llamó Eritro, de donde el

ἐπωνυμίην τῇ θαλάσσῃ ταύτῃ εἶναι [Ἐρυθρὴν καλέεσθαι].[I]
[4] ἐνθένδε ἐκ τῆς νήσου ἄραντες ἔπλεον· καὶ τῆς νήσου αὐτῆς παραπλώσαντες ὅσον διακοσίους σταδίους ὁρμίζονται ἐν αὐτῇ αὖθις, καὶ καθορῶσιν ἄλλην νῆσον, ἀπέχουσαν τῆς μεγάλης ταύτης τεσσαράκοντα μάλιστα σταδίους. Ποσειδῶνος ἱρὴ ἐλέγετο εἶναι καὶ ἄβατος. [5] ὑπὸ δὲ τὴν ἕω ἀνήγοντο, καὶ καταλαμβάνει αὐτοὺς ἀνάπωτις οὕτω τι καρτερή, ὥστε τρεῖς τῶν νεῶν ἐποκείλασαι ἐν τῷ ξηρῷ ἐσχέθησαν, αἱ δὲ ἄλλαι χαλεπῶς διεκπλώουσαι τὰς ῥηχίας ἐς τὰ βάθεα ἀπεσώθησαν. [6] αἱ δὲ ἐποκείλασαι τῆς πλημμυρίδος ἐπιγενομένης αὖθις ἐξέπλωσάν τε καὶ δευτεραῖαι κατήγοντο ἵναπερ ὁ πᾶς στόλος. [7] ὁρμίζονται δὲ ἐς νῆσον ἄλλην, διέχουσαν τῆς ἠπείρου ὅσον τριακοσίους σταδίους, πλώσαντες τετρακοσίους. [8] ἐντεῦθεν ὑπὸ τὴν ἕω ἔπλεον, νῆσον ἐρήμην ἐν ἀριστερᾷ παραμείβοντες· ὄνομα δὲ τῇ νήσῳ Πύλωρα. καὶ ὁρμίζον<ται> πρὸς † ἰδωδώνῃ, πολιχνίῳ σμικρῷ καὶ πάντων ἀπόρῳ ὅτι μὴ ὕδατος καὶ ἰχθύων· ἰχθυοφάγοι γὰρ καὶ οὗτοι ὑπ᾽ ἀναγκαίης ἦσαν, ὅτι πονηρὸν γῆν νέμονται. [9] ἐνθένδε ὑδρευσάμενοι καταίρουσιν ἐς Ταρσίην ἄκρην ἀνατείνουσαν ἐς τὸ πέλαγος, πλώσαντες σταδίους τριακοσίους. [10] ἔνθεν ἐς Καταίην, νῆσον ἐρήμην, ἁλιτενέα· αὕτη ἱερὴ Ἑρμέω καὶ Ἀφροδίτης ἐλέγετο· στάδιοι τοῦ πλόου τριηκόσιοι. [11] ἐς ταύτην ὅσα ἔτη ἀφίεται ἐκ τῶν περιοίκων πρόβατα καὶ αἶγες ἱρὰ τῷ Ἑρμῇ καὶ τῇ Ἀφροδίτῃ, καὶ ταῦτα ἀπηγριωμένα ἦν ὁρᾶν ὑπὸ χρόνου τε καὶ ἐρημίης.
38. μέχρι τοῦδε Καρμανίη· τὰ δὲ ἀπὸ τοῦδε Πέρσαι ἔχουσι. μῆκος τοῦ πλόου παρὰ τὴν Καρμανίην χώρην στάδιοι τρισχίλιοι καὶ ἑπτακόσιοι. ζώουσι δὲ κατάπερ Πέρσαι, ὅτι καὶ ὅμοροί εἰσι Πέρσῃσι, καὶ τὰ ἐς τὸν πόλεμον ὡσαύτως κοσμέονται. [2] ἐνθένδε ἄραντες ἐκ τῆς νήσου τῆς ἱρῆς παρὰ τὴν Περσίδα ἤδη ἔπλεον, καὶ κατάγονται ἐς Ἴλαν χῶρον, ἵνα λιμὴν πρὸς νήσου σμικρῆς καὶ ἐρήμης γίνεται· οὔνομα τῇ νήσῳ Καΐκανδρος, ὁ δὲ πλόος στάδιοι τετρακόσιοι. [3] ὑπὸ δὲ τὴν ἕω ἐς ἄλλην νῆσον πλεύσαντες ὁρμίζονται οἰκουμένην, ἵνα καὶ μαργαρίτην θηρᾶσθαι λέγει Νέαρχος κατάπερ ἐν τῇ Ἰνδῶν θαλάσσῃ. ταύτης τῆς νήσου τὴν ἄκρην παραπλώσαντες σταδίους ὡς τεσσαράκοντα,

[I] Glosa (Hercher).

mar que baña sus costas pasó a denominarse mar Eritreo [534].
[4] Desde aquí se hicieron nuevamente a la mar y, después de haber costeado unos doscientos estadios, de nuevo hicieron un alto en la misma isla, desde donde pudieron divisar otra isla que distaba de esta tan grande unos cuarenta estadios. Según decían, esta isla estaba consagrada a Posidón y estaba prohibido poner pie en ella. [5] Al amanecer reemprendieron la marcha y, al bajar la marea, se produjo una retirada del agua tan violenta que tres naves se entrechocaron y quedaron en seco, y las demás a duras penas consiguieron esquivar los escollos y alcanzar seguridad en aguas más profundas. [6] Al producirse la pleamar, las naves que habían quedado en seco de nuevo subieron a flote y se reunieron con el resto de la flota. [7] Echaron luego el ancla en una isla a unos trescientos estadios de la tierra firme, después de haber recorrido cuatrocientos estadios.
[8] A buena hora de la mañana se hicieron a la mar y pasaron a lo largo de una isla desierta que quedaba a su izquierda y que se llamaba Pilora [535]. Luego recalaron en Dodona [536], que es una villa sin importancia, pequeña y sin recursos, a no ser su agua y su abundante pesca, razón por la cual sus moradores también eran ictiófagos por necesidad, al vivir en isla de tierra tan pobre.
[9] Repostaron aquí agua y, después de trescientos estadios de marcha, arribaron al cabo Tarsie que penetra mar adentro un buen trecho.
[10] Desde él llegaron a Catea, una isla desierta y poco prominente, que, según se decía, estaba consagrada a Hermes y a Afrodita. En este trayecto recorrieron unos trescientos estadios.
[11] A esta isla enviaban los habitantes de los pueblos vecinos ovejas y cabras como ofrendas anuales a Hermes y a Afrodita, y ellos pudieron ver estos animales en estado asilvestrado por el paso del tiempo y la soledad.
38 Esta zona es el límite occidental de la región de Carmania y, a partir de aquí, comienzan los dominios persas. Costear esta región de Carmania supone unos tres mil setecientos estadios [537]. Sus habitantes viven al modo persa, de los que son sus vecinos, y cuando van a la guerra lo hacen con una panoplia semejante. [2] Se hicieron a la mar desde esta isla sagrada y entraron ya en dominio persa hasta recalar en un paraje llamado Ilas, en un puerto formado por una pequeña isla desierta; la isla se llamaba Caicandros y la distancia recorrida, unos cuatrocientos estadios. [3] Al alba salieron de allí para ir a parar a otra isla habitada, en donde según Nearco se pescaban las perlas de ostras igual que en el mar Índico. Costearon el extremo de esta isla y, de nuevo, echaron el ancla después de haber recorrido unos cuarenta estadios.

ἐνταῦθα ὡρμίσθησαν. [4] ἐνθένδε πρὸς ὄρει ὁρμίζονται ὑψηλῷ — Ὦχος ὄνομα τῷ ὄρει — ἐν λιμένι εὐόρμῳ, καὶ ἁλιέες αὐτοῦ ᾤκεον.

[5] καὶ ἔνθεν πλώσαντες σταδίους τετρακοσίους τε καὶ πεντήκοντα ὁρμίζονται ἐν Ἀποστάνοισι· καὶ πλοῖα πολλὰ αὐτόθι ὥρμεε, κώμη τε ἐπῆν ἀπέχουσα ἀπὸ θαλάσσης σταδίους ἑξήκοντα. [6] νυκτὸς δὲ ἐπάραντες ἔνθεν ἐσπλώουσιν ἐς κόλπον συνοικεόμενον πολλῇσι κώμῃσι. στάδιοι τοῦ πλόου τετρακόσιοι· ὁρμίζονται δὲ πρὸς ὑπωρείῃν. ταύτῃ φοίνικές τε πολλοὶ ἐπεφύκεσαν καὶ ὅσα ἄλλα ἀκρόδρυα ἐν τῇ Ἑλλάδι γῇ φύεται. [7] ἔνθεν ἄραντες ἐς Γώγανα παραπλέουσι σταδίους μάλιστα ἐς ἑξακοσίους ἐς χώρην οἰκουμένην· ὁρμίζονται δὲ τοῦ ποταμοῦ τοῦ χειμάρρου — ὄνομα δὲ Ἀρεών — ἐν τῇσιν ἐκβολῇσιν. ἐνταῦθα χαλεπῶς ὁρμίζονται· στεινὸς γὰρ ἦν ὁ ἔσπλους κατὰ τὸ στόμα, ὅτι βράχεα τὰ κύκλῳ αὐτοῦ ἡ ἀνάπωτις ἐποίεε. [8] καὶ ἔνθεν αὖ ἐν στόματι ἄλλου ποταμοῦ ὁρμίζονται, διεκπλώσαντες σταδίους ἐς ὀκτακοσίους· Σιτακὸς ὄνομα τῷ ποταμῷ ἦν· οὐδὲ ἐν τούτῳ εὐμαρέως ὁρμίζονται, καὶ ὁ πλόος ἅπας οὗτος ὁ παρὰ τὴν Περσίδα βράχεα τε ἦσαν καὶ ῥηχίαι καὶ τενάγεα. [9] ἐνταῦθα σῖτον καταλαμβάνουσι πολὺν ξυγκεκομισμένον κατὰ πρόσταξιν βασιλέως, ὡς σφίσιν εἶναι ἐπισιτίσασθαι· ἐνταῦθα ἔμειναν ἡμέρας τὰς πάσας μίαν καὶ εἴκοσι, καὶ τὰς νεῦς ἀνειρυσάμενοι, ὅσαι μὲν πεπονήκεσαν ἐπεσκεύαζον, τὰς δὲ ἄλλας ἐθεράπευον.

39. ἐνθένδε ὁρμηθέντες εἰς Ἱερατιν πόλιν ἀφίκοντο, ἐς χῶρον οἰκούμενον. ἑπτακόσιοι καὶ πεντήκοντα στάσιοι ὁ πλόος· ὡρμίσθησαν δὲ ἐν διώρυχι ἀπὸ τοῦ ποταμοῦ ἐμβεβλημένῃ ἐς θάλασσαν, ᾗ ὄνομα ἦν Ἡράτεμις. [2] ἅμα δὲ ἡλίῳ ἀνίσχοντι παραπλέουσιν ἐς ποταμὸν χειμάρρουν, ὄνομα Πάδαργον, ὁ δὲ χῶρος χερρόνησος ἅπας. καὶ ἐν αὐτῷ κῆποί τε πολλοὶ καὶ ἀκρόδρυα παντοῖα ἐφύετο· ὄνομα τῷ χώρῳ Μεσαμβρίη. [3] ἐκ Μεσαμβρίης δὲ ὁρμηθέντες καὶ διεκπλώσαντες σταδίους μάλιστα ἐς διακοσίους ἐς Ταόκην ὁρμίζονται ἐπὶ ποταμῷ Γράνιδι. καὶ ἀπὸ τούτου ἐς τὸ ἄνω <τὰ> Περσῶν βασίλεια ἦν, ἀπέχοντα τοῦ ποταμοῦ τῶν ἐκβολέων σταδίους ἐς διακοσίους. [4] κατὰ τοῦτον τὸν παράπλουν λέγει Νέαρχος ὀφθῆναι κῆτος ἐκβεβλημένον ἐς τὴν ἠιόνα, καὶ τοῦτο προσπλώσαντάς τινας τῶν ναυτῶν ἐκμετρῆσαι καὶ φάναι εἶναι πήχεων πεντήκοντα·[5] δέρμα δὲ αὐτῷ εἶναι φολιδωτόν,

[4] La siguiente parada la efectuaron junto a un elevado monte, llamado Oco, en un cómodo puerto donde vivían unos pescadores. [5] Haciéndose a la mar y tras cuatrocientos cincuenta estadios de marcha llegaron a Apóstana. Allí encontraron anclados un buen número de barcos, junto a una aldea que distaba del mar unos sesenta estadios.

[6] De nuevo se hicieron a la mar durante la noche y, tras una travesía de unos cuatrocientos estadios, se internaron en un golfo en el que había establecidas varias aldeas. Echaron el ancla en un paraje al pie de unos acantilados donde crecían abundantes palmeras y otros árboles frutales de los que se crían en Grecia.

[7] Desde allí se pusieron nuevamente en marcha hasta llegar a una zona habitada llamada Gogana, después de costear unos seiscientos estadios, y echaron el ancla en la desembocadura de un riachuelo llamado Areón. No les resultó cómodo fondear allí, pues el acceso hasta la boca del torrente era estrecho, debido a que los escollos, que al bajar la marea sobresalían, dejaban muy reducido el paso. [8] Recorrieron unos ochocientos estadios, al cabo de los cuales, fondearon en la desembocadura de otro riachuelo llamado Sítacos. Tampoco resultó cómoda su estancia aquí, pues el itinerario por esta zona de Persia está plagado de escollos, rompientes y lagunas de escasa profundidad.

[9] Aquí se aprovisionaron abundantemente de trigo que les trajeron por órdenes del rey como avituallamiento. Permanecieron en este lugar veintiún días, arrastraron a tierra sus naves para ser reparadas las que tenían avería y se entretuvieron en el mantenimiento de las demás.

39 Puestos de nuevo en marcha, llegaron a un territorio habitado, a la ciudad de Hieratis, tras una travesía de setecientos cincuenta estadios. Fondearon en un canal que parte del río en dirección al mar y que se llama Herátemis.

[2] Al levantarse el sol costearon la zona (que es toda ella una península) hasta un río torrentero llamado Padargo. En esta región, llamada Mesembria, abundan los jardines, donde crecen árboles de todas las especies.

[3] Salieron de Mesembria y, al cabo de doscientos estadios, fondearon en Taoque, junto al río Granis. A unos doscientos estadios de la desembocadura del río había una residencia real de los persas.

[4] Cuenta Nearco haber visto, en este trayecto de su viaje, una ballena varada en laarena; algunos marineros se acercaron a medirla y dijeron que tenía cincuenta codos [538]. [5] Su piel estaba cubierta de escamas y

οὕτω τι ἐς βάθος ἧκον ὡς καὶ ἐπὶ πῆχυν ἐπέχειν, ὄστρειά τε καὶ λοπάδας καὶ φυκία πολλὰ ἔχειν ἐπιπεφυκότα. καὶ δελφῖνας λέγει ὅτι καθορᾶν ἦν πολλοὺς ἀμφὶ τῷ κήτει, καὶ τῶν ἐν τῇ ἔσω θαλάσσῃ μείζονας τοὺς δελφῖνας. [6] ἐνθένδε ὁρμηθέντες κατάγονται ἐς Ῥώγονιν ποταμὸν χειμάρρουν ἐν λιμένι εὐόρμῳ· μῆκος τοῦ παράπλου στάδιοι διακόσιοι. [7] ἐνθένδε τετρακοσίους σταδίους διεκπλώσαντες αὐλίζονται ἐν ποταμῷ χειμάρρῳ· Βρίζανα τῷ ποταμῷ ὄνομα. ἐνταῦθα χαλεπῶς ὡρμίσαντο, ὅτι ῥηχίη ἦν καὶ βράχεα, καὶ χοιράδες ἐκ τοῦ πόντου ἀνεῖχον. [8] ἀλλ᾽ ὅτε ἡ πλήμμυρα ἐπῄει, τότε ὡρμίσαντο· ὑπονοστήσαντος δὲ τοῦ ὕδατος, ἐπὶ ξηρῷ ὑπελείφθησαν αἱ νῆες. ἐπεὶ δὲ ἡ πλημμυρὶς ἐν τάξει ἀμείβουσα ἐπῆλθε, τότε δὴ ἐκπλώσαντες ὁρμίζονται ἐπὶ ποταμῷ· [9] ὄνομα δὲ τῷ ποταμῷ Ἄροσις, μέγιστος τῶν ποταμῶν, ὡς λέγει Νέαρχος, ὅσοι ἐν τῷ παράπλῳ τῷδε ἐμβάλλουσιν ἐς τὸν ἔξω πόντον.

40. μέχρι τοῦδε Πέρσαι οἰκέουσι, τὰ δὲ ἀπὸ τούτων Σούσιοι. Σουσίων δὲ ἔθνος αὐτόνομον κατύπερθε προσοικέει· Οὔξιοι καλοῦνται, ὑπὲρ ὅτων λέλεκταί μοι ἐν τῇ ἄλλῃ συγγραφῇ ὅτι λῃσταί εἰσι. μῆκος τοῦ παράπλου τῆς Περσίδος χώρης στάδιοι τετρακόσιοι καὶ τετρακισχίλιοι. [2] τὴν δὲ Περσίδα γῆν τρίχα νενεμῆσθαι τῶν ὡρέων λόγος κατέχει. τὸ μὲν αὐτῆς πρὸς τῇ Ἐρυθρῇ θαλάσσῃ οἰκεόμενον ἀμμῶδές τε εἶναι καὶ ἄκαρπον ὑπὸ καύματος, [3] τὸ δὲ ἐπὶ τῷδε ὡς πρὸς ἄρκτον τε καὶ βορέην ἄνεμον ἰόντων καλῶς κεκρᾶσθαι τῶν ὡρέων, καὶ τὴν χώρην ποιώδεά τε εἶναι καὶ λειμῶνας ὑδρηλούς, καὶ ἄμπελον πολλὴν φέρειν καὶ ὅσοι ἄλλοι καρποὶ πλὴν ἐλαίης, [4] παραδείσοις τε παντοίοισι τεθηλέναι καὶ ποταμοῖσι καθαροῖσι διαρρέεσθαι καὶ λίμνῃσι, καὶ ὄρνισιν ὁκόσοισιν ἀμφὶ ποταμούς τε καὶ λίμνας ἐστὶ τὰ ἤθεα ἵπποισί τε ἀγαθὴν εἶναι καὶ τοῖσιν ἄλλοισιν ὑποζυγίοισι νέμεσθαι, καὶ ὑλώδεά τε πολλαχῇ καὶ πολύθηρον. [5] τὴν δὲ πρόσω ἔτι ἐπ᾽ ἄρκτον ἰόντων χειμερίην τε καὶ νιφετώδεα * * *, ὥστε πρέσβεις τινὰς ἐκ τοῦ Εὐξείνου πόντου λέγει Νέαρχος κάρτα ὀλίγην ὁδὸν διελθόντας ἐντυχεῖν κατ᾽ ὁδὸν ἰόντι τῆς Περσίδος καὶ θῶμα γενέσθαι Ἀλεξάνδρῳ καὶ εἰπεῖν Ἀλεξάνδρῳ τῆς ὁδοῦ τὴν βραχύτητα. [6] Σουσίοις δὲ πρόσοικοι ὅτι εἰσὶν Οὔξιοι λέλεκταί μοι, κατάπερ Μάρδοι μὲν Πέρσαισι προσεχέες οἰκέουσι, λῃσταὶ καὶ οὗτοι, Κοσσαῖοι δὲ Μήδοισι.

era de un codo de espesor y, sobre ella, se habían asentado colonias de ostras, conchas y toda clase de algas. Dice también que vieron en torno a la ballena muchos delfines que eran de mayor tamaño que los de nuestro mar Mediterráneo.

[6] Desde aquí enfilaron el mar con sus proas y, después de doscientos estadios de marcha, arribaron a un puerto muy cómodo junto a un riachuelo llamado Rogonis. [7] Al poco recorrieron unos cuatrocientos estadios y arribaron a un nuevo riachuelo llamado Brizana, aunque el fondeadero era peligroso, debido a los escollos, rompientes y salientes que del agua emergían.

[8] Cuando la marea estaba llena podían fondear, pero, al retirarse el agua durante la bajamar, los barcos quedaban en seco. Por ello, aprovecharon la siguiente subida de la marea para poner proa en dirección al [9] río Oroatis, que es el mayor río de los que por esta parte, según dice Nearco, desembocan en el mar.

40 Hasta aquí se extiende el territorio de la región llamada Persia y, a partir de él, comienza el territorio de los susios y, más allá de éstos, vive un pueblo independiente, el de los uxios, de los que ya he tenido ocasión de decir en mi otra obra que se dedican a la piratería [539].

La distancia recorrida por la flota durante su cabotaje por la región de Persia fue de cuatro mil cuatrocientos estadios.

[2] Esta región de Persia se divide, según dicen, en tres zonas climáticas: así, la parte vecina al mar Eritreo [540] es arenosa y estéril a causa del calor.

[3] Al subir hacia el Norte, de donde sopla el Bóreas, se llega a una zona templada en la que crecen las yerbas, se ven prados húmedos, abunda la viña y todo tipo de árboles frutales, excepto el olivo.

[4] En ella florecen jardines de variadas flores y riegan sus tierras riachuelos de aguas puras e, incluso, lagos en los que anidan toda clase de aves acuáticas; es famosa también por sus caballos y otros animales domésticos; se trata de una zona, finalmente, boscosa en la que abundan los gamos.

[5] Al subir uno un poco más al Norte, encuentra la zona fría que la nieve cubre. Dice Nearco que unos embajadores que regresaban del Ponto Euxino [541] encontraron a Alejandro, después de haber recorrido ellos un corto trayecto cuando éste caminaba por Persia, y que Alejandro quedó de ello por completo extrañado, hasta que aquéllos le explicaron lo corto que era ese camino.

[6] Ya he dicho que los uxios son vecinos de los susios, al igual que lo son mardos y persas (también éstos viven como piratas), y los coseos y medos.

[7] καὶ ταῦτα πάντα τὰ ἔθνεα ἡμέρωσεν Ἀλέξανδρος, χειμῶνος ὥρῃ ἐπιπεσὼν αὐτοῖσιν, ὅτε ἄβατον σφῶν τὴν χώρην ἦγον. [8] καὶ πόληας ἐπέκτισε τοῦ μὴ νομάδας ἔτι εἶναι ἀλλὰ ἀροτῆρας καὶ γῆς ἐργάτας, καὶ ἔχειν ὑπὲρ ὅτων δειμαίνοντες μὴ κακὰ ἀλλήλους ἐργάσονται. ἐνθένδε τὴν Σουσίων γῆν παρήμειβεν ὁ στρατός. [9] καὶ ταῦτα οὐκέτι ὡσαύτως ἀτρεκέως λέγει Νέαρχος ὅτι ἔστιν οἱ ἐκφράσαι, πλήν γε δὴ τοὺς ὅρμους τε καὶ τὸ μῆκος τοῦ πλόου· [10] τὴν χώρην γὰρ τεναγώδεά τε εἶναι τὴν πολλὴν καὶ ῥηχίῃσιν ἐπὶ μέγα ἐς τὸν πόντον ἐσέχουσαν καὶ ταύτῃ σφαλερὴν ἐγκαθορμίζεσθαι· πελαγίοισιν ὦν σφίσι τὴν κομιδὴν τὸ πολὺ γίνεσθαι. [11] ὁρμηθῆναι μὲν δὴ ἐκ τοῦ ποταμοῦ τῶν ἐκβολέων, ἵναπερ ηὐλίσθησαν ἐπὶ τοῖσιν οὔροισι τῆς Περσίδος, ὕδωρ δὲ ἐμβαλέσθαι καὶ πέντε ἡμερέων· οὐκ ἔφασκον γὰρ εἶναι ὕδωρ οἱ καθηγεμόνες τοῦ πλόου.

41. σταδίους δὲ πεντακοσίους κομισθέντες ὁρμίζονται ἐπὶ στόματι λίμνης ἰχθυώδεος, ᾗ οὔνομα Κατάδερβις· καὶ νησὶς ἐπῆν τῷ στόματι· Μαργάστανα τῇ νησῖδι οὔνομα. [2] ἐνθένδε ὑπὸ τὴν ἕω ἐκπλώσαντες κατὰ βράχεα ἐκομίζοντο ἐπὶ μιᾶς νεώς· πασσάλοις δὲ ἔνθεν καὶ ἔνθεν πεπηγόσιν ἀπεδηλοῦτο τὸ βράχεα, κατάπερ ἐν τῷ μεσσηγὺς Λευκάδος τε νήσου ἰσθμῷ καὶ Ἀκαρνανίης ἀποδέδεικται σημεῖα τοῖσι ναυτιλλομένοισι τοῦ μὴ ἐποκέλλειν ἐν τοῖσι βράχεσι τὰς νέας. [3] ἀλλὰ τὰ μὲν κατὰ Λευκάδα ψαμμώδεα ὄντα καὶ τοῖσιν ἐποκείλασι ταχεῖαν τὴν ὑπονόστησιν ἐνδιδοῖ· κεῖθι δὲ πηλός ἐστιν ἐφ᾽ ἑκάτερα τοῦ πλεομένου βαθὺς καὶ ἰλυώδης, ὥστε οὐδεμιᾷ μηχανῇ ἐποκείλασιν ἦν ἀποσωθῆναι. [4] οἵ τε γὰρ κοντοὶ κατὰ τοῦ πηλοῦ δύνοντες αὐτοὶ οὐδέν τι ἐπωφέλουν, ἀνθρώπῳ τε ἐκβῆναι τοῦ ἀπῶσαι τὰς νέας ἐς τὰ πλεόμενα ἄπορον ἐγίνετο· ἔδυνον γὰρ κατὰ τοῦ πηλοῦ ἔστε ἐπὶ τὰ στήθεα. [5] οὕτω δὴ χαλεπῶς διεκπλώσαντες σταδίους ἑξακοσίους κατὰ ναῦν ἕκαστοι ὁρμισθέντες ἐνταῦθα δείπνου ἐμνήσθησαν. [6] τὴν νύκτα δὲ ἤδη κατὰ βάθεα ἔπλεον καὶ τὴν ἐφεξῆς ἡμέρην ἔστε ἐπὶ βουλυτόν· καὶ ἦλθον σταδίους ἐνακοσίους, καὶ καθωρμίσθησαν ἐπὶ τοῦ στόματος τοῦ Εὐφράτου πρὸς κώμῃ τινὶ τῆς Βαβυλωνίης χώρης — ὄνομα δὲ αὐτῇ Διρίδωτις —, [7] ἵνα λιβανωτόν τε ἀπὸ τῆς Γερραίης γῆς οἱ ἔμποροι ἀγινέουσι καὶ τὰ ἄλλα ὅσα θυμιήματα ἡ Ἀράβων γῆ φέρει.

[7] Alejandro domeñó a todas estas tribus cayendo sobre ellas en pleno invierno, cuando creían que su país era inaccesible. [8] Fundó entre ellos ciudades, a fin de que dejaran ya de ser nómadas y se hicieran agricultores ocupados en las faenas del campo, y así, teniendo intereses que perder, no se dedicaran a guerrear entre sí.

Pues bien, la flota de Nearco también dejó atrás esta región llamada Persia. [9] Dice Nearco que las noticias que nos puede dar del resto del viaje hasta su final ya no son tan exactas, como no sea la relación de fondeaderos y las distancias recorridas.

[10] En su mayor parte, esta zona de costa es de aguas poco profundas y, en gran medida, avanzan mar adentro las escolleras, haciendo muy inseguro recalar en un puerto donde poder echar anclas. De ahí que la mayor parte de lo que duró la travesía la hicieron bien mar adentro.

[11] Reemprendieron la marcha partiendo de la desembocadura del río donde habían acampado, allí en los límites de Persia, e hicieron subir a bordo agua como para cinco días, pues los pilotos afirmaban que más adelante no había agua.

41 Tras una marcha de unos quinientos estadios, anclaron a la entrada de una laguna en la que abundaban los peces, llamada *Cataderbis,* a cuyo lado se encontraba una pequeña isla, de nombre Margástana.

[2] Al alba se pusieron de nuevo en movimiento por aquellas aguas de escaso fondo, marchando las naves unas detrás de otras. Balizaron con piquetes clavados al fondo los escollos más peligrosos aquí y allá, al igual que las señales que avisan a los navegantes (en evitación de que sus naves encallen) allá en el estrecho entre la isla de Léucade y Acarnania.

[3] En Léucade, al menos, la costa es de arena y, si algún navio encalla, se le puede reflotar en seguida sin dificultad, mientras que en esta zona lo que hay es fango a ambos lados del canal, espeso y pegajoso, de modo que no hay forma de sacar de allí al barco siniestrado. [4] De otro lado, las señales de balizamiento se terminaron por hundir en el fango, de suerte que perdieron toda su eficacia, y los hombres no podían tampoco echarse abajo para empujar las naves al canal, pues se hundían también en el fango hasta el pecho.

[5] Muy penosamente recorrieron así seiscientos estadios y cada nave amarró como pudo y sus tripulantes allí mismo se pusieron a cenar.

[6] A la noche volvieron ya a encontrar aguas profundas y durante todo el día siguiente hasta la tarde. Recorrieron unos novecientos estadios y echaron anclas en la desembocadura del Eufrates, junto a una aldea del distrito de Babilonia, llamada Diridotis.

[7] Es allí donde los comerciantes compran el incienso de la región y otros perfumes que la tierra de Arabia produce.

[8] ἀπὸ δὲ τοῦ στόματος τοῦ Εὐφράτου ἔστε Βαβυλῶνα πλοῦν λέγει Νέαρχος σταδίους εἶναι ἐς τρισχιλίους καὶ τριακοσίους.

42. ἐνταῦθα ἀγγέλλεται Ἀλέξανδρον ἐπὶ Σούσων στέλλεσθαι. ἔνθεν καὶ αὐτοὶ τὸ ὀπίσω ἔπλεον, ὡς κατὰ τὸν Πασιτίγριν ποταμὸν ἀναπλώσαντες συμμῖξαι Ἀλεξάνδρῳ. [2] ἔπλεον δὴ τὸ ἔμπαλιν ἐν ἀριστερᾷ τὴν γῆν τὴν Σουσίδα ἔχοντες, καὶ παραπλέουσι λίμνην, ἐς ἣν ὁ Τίγρης ἐσβάλλει ποταμός, [3] ὃς ῥέων ἐξ Ἀρμενίης παρὰ πόλιν Νῖνον, πάλαι ποτὲ μεγάλην καὶ εὐδαίμονα, τὴν μέσην ἑωυτοῦ τε καὶ τοῦ Εὐφράτου ποταμοῦ γῆν Μεσοποταμίην ἐπὶ τῷδε κλῄζεσθαι ποιέει.

[4] ἀπὸ δὲ τῆς λίμνης ἐς αὐτὸν τὸν ποταμὸν ἀνάπλους στάδιοι ἑξακόσιοι, ἵνα καὶ κώμη τῆς Σουσίδος, ἣν καλέουσιν Ἄγινιν· αὕτη δὲ ἀπέχει Σούσων σταδίους ἐς πεντακοσίους. μῆκος τοῦ παράπλου τῆς Σουσίων γῆς ἔστε ἐπὶ <τὸ> στόμα τοῦ Πασιτίγριδος ποταμοῦ στάδιοι δισχίλιοι. [5] ἐνθένδε κατὰ τὸν Πασιτίγριν ἄνω ἀνέπλεον διὰ χώρης οἰκουμένης καὶ εὐδαίμονος. ἀναπλώσαντες δὲ σταδίους ὡς πεντήκοντα καὶ ἑκατὸν αὐτοῦ ὁρμίζονται, προσμένοντες οὕστινας ἐστάλκει Νέαρχος σκεψομένους ἵνα ὁ βασιλεὺς εἴη. [6] αὐτὸς δὲ ἔθυε θεοῖς τοῖς σωτῆρσι, καὶ ἀγῶνα ἐποίεε, καὶ ἡ στρατιὴ ἡ ναυτικὴ πᾶσα ἐν εὐθυμίῃσιν ἦν. [7] ὡς δὲ προσάγων ἤδη Ἀλέξανδρος ἠγγέλλετο, ἔπλεον ἤδη αὖθις ἐς τὸ ἄνω κατὰ τὸν ποταμόν· καὶ πρὸς τῇ σχεδίῃ ὁρμίζονται, ἐφ᾽ ᾗ τὸ στράτευμα διαβιβάσειν ἔμελλεν Ἀλέξανδρος ἐς Σοῦσα.

[8] ἐνταῦθα ἀνεμίχθη ὁ στρατός, καὶ θυσίαι πρὸς Ἀλεξάνδρου ἐθύοντο ἐπὶ τῶν νεῶν τε καὶ τῶν ἀνθρώπων τῇ σωτηρίῃ, καὶ ἀγῶνες ἐποιέοντο· καὶ Νέαρχος ὅποι παραφανείη τῆς στρατιῆς, ἄνθεσί τε καὶ ταινίῃσιν ἐβάλλετο. [9] ἔνθα καὶ χρυσῷ στεφάνῳ στεφανοῦνται ἐξ Ἀλεξάνδρου Νέαρχός τε καὶ Λεόννατος, Νέαρχος μὲν ἐπὶ τοῦ ναυτικοῦ τῇ σωτηρίῃ, Λεόννατος δὲ ἐπὶ τῇ νίκῃ, ἣν Ὠρείτας τε ἐνίκησε καὶ τοὺς Ὠρείταις προσοικέοντας βαρβάρους. [10] οὕτω μὲν ἀπεσώθη Ἀλεξάνδρῳ ἐκ τοῦ Ἰνδοῦ τῶν ἐκβολέων ὁρμηθεὶς ὁ στρατός.

43. τὰ δὲ ἐν δεξιᾷ τῆς Ἐρυθρῆς θαλάσσης ὑπὲρ τὴν Βαβυλωνίην Ἀραβίη ἡ πολλή ἐστι, καὶ ταύτης τὰ μὲν κατήκει ἔστε ἐπὶ τὴν θάλασσαν τὴν κατὰ Φοινίκην τε καὶ τὴν Παλαιστίνην Συρίην, πρὸς δυομένου δὲ ἡλίου ὡς ἐπὶ τὴν εἴσω θάλασαν Αἰγύπτιοι τῇ Ἀραβίῃ ὁμουρέουσι. [2] κατὰ δὲ Αἴγυπτον εἰσέχων ἐκ τῆς μεγάλης θαλάσσης κόλπος δῆλον ποιέει ὅτι

[8] Desde la desembocadura del Eufrates a Babilonia hay, según Nearco, tres mil trescientos estadios.

Camino hacia Susa.

42 Fue allí donde se enteraron de que Alejandro andaba en camino hacia Susa, ante lo cual ellos deshicieron parte del trayecto ya recorrido para subir por el río Pasitigris en busca de Alejandro.

[2] Emprendieron, pues, la navegación en sentido inverso (dejando a su izquierda la costa de la Susia) y dejaron atrás el lago en que desemboca el Tigris. [3] Este río fluye desde Armenia y pasa junto a la antaño importante y feliz ciudad de Nino, sirviendo de límite oriental a la región situada entre él y el Eufrates, llamada, precisamente por ello, Mesopotamia.

[4] El lago dista del río, aproximadamente, unos seiscientos estadios y allí se halla una ciudad de la Susia, llamada Aginis, que dista unos quinientos estadios. Por su parte, la distancia de la costa de Susia hasta llegar al Pasitigris es de unos dos mil estadios.

[5] Subieron por el Pasitigris atravesando este país que es habitado y rico. Tras ciento cincuenta estadios de subida por el río echaron el ancla y allí aguardaron a que llegaran los que Nearco había enviado a que se informaran dónde estaba Alejandro. [6] Mientras tanto ofreció sacrificios a los dioses que le habían salvado y celebró un certamen en medio de la felicidad general de su ejército. [7] Al llegarles noticias de que Alejandro también venía de camino, reemprendieron de nuevo su marcha río arriba; al poco echaron anclas en el puente de balsas que Alejandro debía utilizar para que sus tropas tomaran el camino de Susa.

[8] Allí se encontraron los dos ejércitos y Alejandro ofreció sacrificios por la salvación de sus naves y de sus hombres y celebró competiciones y juegos. Por cualquier parte que apareciera Nearco, los soldados le lanzaban cintillas y flores en señal de saludo. [9] También fue coronado Nearco, al igual que Leónato, con una corona de oro, enviada para cada uno de ellos de parte de Alejandro. Nearco la recibió en recompensa por haber conducido sana y salva la flota, y Leónato, por la victoria que había obtenido sobre los oritas y otros bárbaros vecinos.

[10] Fue así como Alejandro salvó al ejército que había partido de la desembocadura del Indo.

La península Arábiga.

43 La mayor parte de Arabia [542] es la que se halla a la derecha del mar Eritreo, detrás de Babilonia. Por una parte Arabia limita con el mar de Fenicia y de la Siria Palestina, y por el Oeste, en dirección al Mediterráneo, Arabia limita con los egipcios. [2] Egipto está cortado por un golfo que procede del Gran Mar, lo que hace evidente que,

ἕνεκά γε τοῦ σύρρουν εἶναι τὴν ἔξω θάλασσαν περίπλους ἂν ἦν ἐκ Βαβυλῶνος ἐς τὸν κόλπον τοῦτον <τὸν> ἐπέχοντα ὡς ἐπ᾽ Αἴγυπτον.

[3] ἀλλὰ γὰρ οὔ τις παρέπλωσε ταύτῃ οὐδαμῶν ἀνθρώπων ὑπὸ καύματος καὶ ἐρημίης, εἰ μή τινές γε πελάγιοι κομιζόμενοι. [4] ἀλλὰ οἱ ἀπ᾽ Αἰγύπτου γὰρ ἐς Σοῦσα ἀποσωθέντες τῆς στρατιῆς τῆς Καμβύσεω καὶ οἱ παρὰ Πτολεμαίου τοῦ Λάγου παρὰ Σέλευκον τὸν Νικάτορα σταλέντες ἐς Βαβυλῶνα [5] διὰ τῆς Ἀραβίης χώρης ἰσθμόν τινα διαπορευθέντες ἐν ἡμέρῃσιν ὀκτὼ ταῖς πάσαις ἄνυδρον καὶ ἐρήμην χώρην ἐπῆλθον ἐπὶ καμήλων σπουδῇ ἐλαύνοντες ὕδωρ τέ σφιν ἐπὶ τῶν καμήλων φέροντες καὶ νυκτοπορέοντες· τὰς γὰρ ἡμέρας ὑπαίθριοι ἀνέχεσθαι διὰ καῦμα ἀδύνατοι ἦσαν. [6] τοσούτου δεῖ τά γε ἐπέκεινα ταύτης τῆς χώρης, ἥντινα ἰσθμὸν ἀπεφαίνομεν ἐκ τοῦ κόλπου τοῦ Ἀραβίου κατήκοντα ἐς τὴν Ἐρυθρὰν θάλασσαν, οἰκεόμενα εἶναι, ὁπότε τὰ πρὸς ἄρκτον μᾶλλον αὐτῶν ἀνέχοντα ἔρημά τέ ἐστι καὶ ψαμμώδεα. [7] ἀλλὰ γὰρ ἀπὸ τοῦ Ἀραβίου κόλπου τοῦ κατ᾽ Αἴγυπτον ὁρμηθέντες ἄνθρωποι ἐκπεριπλώσαντες τὴν πολλὴν Ἀραβίην ἐλθεῖν ἐς τὴν κατὰ Σοῦσά τε καὶ Πέρσας θάλασσαν, ἐς τοσόνδε ἄρα παραπλώσαντες τῆς Ἀραβίης ἐς ὅσον σφίσι τὸ ὕδωρ ἐπήρκεσε τὸ ἐμβληθὲν ἐς τὰς νέας, ἔπειτα ὀπίσω ἀπενόστησαν. [8] ἐκ Βαβυλῶνός τε οὕστινας ἔστειλεν Ἀλέξανδρος ὡς ἐπὶ μήκιστον πλέοντας ἐν δεξιᾷ τῆς Ἐρυθρῆς θαλάσσης γνῶναι τοὺς ταύτῃ χώρους, οὗτοι νήσους μέν τινας κατεσκέψαντο ἐν τῷ παράπλῳ κειμένας, [9] καί που καὶ τῆς ἠπείρου τῆς Ἀραβίης προσέσχον, τὴν δὲ ἄκρην, ἥντινα καταντικρὺ τῆς Καρμανίης ἀνέχουσαν λέγει φανῆναι σφίσι Νέαρχος, οὐκ ἔστιν ὅστις ὑπερβαλὼν ἐπικάμψαι ἐς τὸ ἐπὶ θάτερα δυνατὸς ἐγένετο. [10] δοκέω δὲ ὡς εἴπερ πλωτά τε ἦν καὶ βαδιστὰ <τὰ> ταύτῃ, ὑπ᾽ Ἀλεξάνδρου ἂν τῆς πολυπραγμοσύνης ἐξελήλεγκτο πλωτά τε καὶ βαδιστὰ ἐόντα. [11] καὶ Ἄννων δὲ ὁ Λίβυς ἐκ Καρχηδόνος ὁρμηθεὶς ὑπὲρ μὲν Ἡρακλείας στήλας ἐξέπλωσεν ἐς τὸν ἔξω πόντον, ἐν ἀριστερᾷ τὴν Λιβύην γῆν ἔχων, καὶ ἔστε μὲν πρὸς ἀνίσχοντα ἥλιον ὁ πλόος αὐτῷ ἐγένετο τὰς πάσας πέντε καὶ τριάκοντα ἡμέρας· [12] ὡς δὲ δὴ ἐς μεσημβρίην ἐξετράπετο, πολλῇσιν ἀμηχανίῃσιν ἐνετύγχανεν ὕδατός τε ἀπορίῃ καὶ καύματι ἐπιφλέγοντι καὶ ῥύαξι πυρὸς ἐς τὸν πόντον ἐμβάλλουσιν. [13] ἀλλ᾽ ἡ Κυρήνη γὰρ τῆς Λιβύης ἐν τοῖς ἐρημοτέροις πεπολισμένη ποιώδης τέ

si este golfo comunica con el mar exterior, es posible un periplo que, partiendo de Babilonia, alcance este golfo. [3] Nadie, sin embargo, ha realizado hasta ahora este periplo, debido sin duda a los calores y al desierto, a no ser que a alguno lo empujaran los vientos desde alta mar.

[4] Unos soldados de Cambises consiguieron pasar sanos y salvos de Egipto a Susa y los refuerzos enviados por Tolomeo, hijo de Lago, a Seleuco Nicator a Babilonia, [5] a través del territorio de Arabia, dicen que cruzaron un istmo, y que atravesaron todo este territorio, seco y desierto, en ocho días a todo correr, montados en camellos, llevando en ellos agua para beber y haciendo la marcha por la noche, ya que durante el día no podían permanecer al aire libre a causa del sofocante calor.

[6] La región que se encuentra más allá del mencionado istmo, entre el golfo Arábigo [543] y el mar Eritreo, dista mucho de ser una tierra habitada, ya que su parte Norte es un desierto de arena.

[7] Algunos marineros partieron del golfo Arábigo [543], en Egipto, para intentar dar la vuelta a la península Arábiga y llegar a Susa y Persia, pero sólo pudieron seguir el viaje por Arabia mientras les duró el agua subida a bordo de las naves, pero cuando se les acabó tuvieron que regresar.

[8] El propio Alejandro despachó unos navegantes desde Babilonia para costear por el mar Eritreo [544] la península Arábiga, dejando ésta a su derecha, y avanzar lo más posible a fin de recabar informaciones sobre el país. Éstos encontraron algunas islas en su camino [9] y recalaron, incluso, en algún punto de la tierra firme de Arabia. Pero nadie ha sobrepasado el cabo que Nearco divisara desde la costa de Carmania, ni siquiera lo han doblado para pasar a su otra cara.

[10] A mi entender, yo creo que si estas tierras hubieran tenido algún acceso que las hubiera hecho transitables, a buen seguro que el ánimo infatigable de Alejandro se habría encargado de comprobarlo y verificarlo.

[11] De otra parte, también el libio Anón se hizo a la mar desde Cartago y atravesó las Columnas de Hércules hasta el mar Exterior, dejando a su lado izquierdo las costas de Libia [545], y luego puso rumbo al Este durante treinta y cinco días. [12] Y cuando se encaminó en dirección Sur, le acaecieron toda suerte de dificultades: le faltó el agua, y el calor asfixiante, en medio de corrientes de fuego que hacia el mar se precipitaban, era insoportable. [13] En cambio, Cirene, aunque construida en la región más desértica de Libia, está cubierta de un tapiz de yerba,

ἐστι καὶ μαλθακὴ καὶ εὔυδρος καὶ ἄλσεα καὶ λειμῶνες, καὶ καρπῶν παντοίων καὶ κτηνέων πάμφορός <ἐστι> ἔστε ἐπὶ τοῦ σιλφίου τὰς ἐκφύσεις· ὑπὲρ δὲ τὸ σίλφιον τὰ ἄνω αὐτῆς ἔρημα καὶ ψαμμώδεα.

[14] οὗτός μοι ὁ λόγος ἀναγεγράφθω, φέρων καὶ αὐτὸς ἐς Ἀλέξανδρον τὸν Φιλίππου, τὸν Μακεδόνα.

es fértil y bien regada. Se crían en ella toda clase de plantas y de bestias hasta la zona en que el silfio crece. [546] Más allá de donde esta planta crece está ya el desierto de arena.

[14] Aquí termina este relato escrito por mí, también relacionado con Alejandro, el hijo de Filipo, macedonio.

NOTAS

[1] También en este libro cuarto reciben un tratamiento muy detallado las operaciones militares en todo loreferente a sus aspectos geográficos y topográficos, continuando así Arriano sus descripciones con gran precisión, a modo de los tratadistas de poliorcética.

[2] En *Ilíada* XIII 6.

[3] Q. CURCIO, VII 6, 11, con nuevos detalles.

[4] La actual Chojend fue la «última Alejandría». Ya hemos dicho que Alejandro heredó de su padre esta costumbre de dar nombre a las ciudades fundadas por él durante sus campañas. Cf. III 1, 5, y nota correspondiente.

[5] En plena región sogdiana, muy próxima al extremo nororiental que Alejandro visitara.

[6] Detalles en Q. CURCIO, VII 7, 1.

[7] Curcio sólo menciona a Menedemo, acompañado de tres mil soldados de infantería y ochocientos jinetes.

[8] Leyendo *aûthis* con Castiglioni.

[9] Cf. HERÓDOTO, IV 122-142.

[10] Q. CURCIO, VII 7, 24, hace modificar a Aristandro la interpretación del oráculo.

[11] El empleo aquí del término hiparquía, al igual que en III 29, 7, no corresponde a un uso técnico y preciso, pues designa un contingente de caballería bajo las órdenes de un comandante.

[12] Son el cuerpo de caballería equipado con la sarisa.

[13] Sobre la táctica de estas escaramuzas, cf. J. F. C. FULLER, *The Generalship of Alexander the Great,* Londres, 1958, páginas 236-241; también puede confrontarse con el testimonio de CURCIO, VII 7, 1-9.

[14] Q. CURCIO, VII 9, 17.

[15] Unos mil hombres, según el relato de Curcio.

[16] Mantenemos la lectura de los códices, *basíleia,* corregida por Polak, Roos, en *bóreia.* El error se debe, al parecer, a que se nos dice que ante la llegada de Farnuces a Samarcanda, Espitamenes abandonó el sitio sobre ésta y se retiró a la «residencia real» de Sogdiana. Ahora bien, se trata de que Samarcanda es, precisamente, la capital de Sogdiana, y de ahí que algunos editores hayan enmendado el texto transmitido, inventando un «*bóreia*» («en la región norte»).

[17] Sea ésta la versión correcta, sea la que a continuación nos narra Aristobulo, no es menos cierto que éstefue un serio revés sufrido por las tropas de Alejandro, cuya responsabilidad debió de alcanzar, incluso, al propio Rey. Cf. J. R. HAMILTON, *Alexander the Great,* Londres, 1973, pág. 99; además, CURCIO, IV 7, 30.

[18] Las pérdidas pueden cifrarse en dos mil infantes y unos trescientos jinetes.

[19] Unos doscientos setenta kilómetros en tres días y una noche; cf., al respecto, C. NEUMAN, «A Note on Alexander's March-Rates», *Historia* 20 (1971), 196 ss., en respuesta a R. D. MILNS, «Alexander's pursuit of Darius through Iran», *Historia* 15 (1966), 256 ss., que critica, a su vez, a TARN, *CAH* 6, 385.

[20] Actual Zarafshan.

